Herodotus' Histories Book 7

Greek Text with Facing Vocabulary and Commentary

Geoffrey Steadman

Herodotus' Histories Book 7
Greek Text with Facing Vocabulary and Commentary

© 2011 by Geoffrey D. Steadman

All rights reserved. Subject to the exception immediately following, this book may not be reproduced, in whole or in part, in any form (beyond that copying permitted by Sections 107 and 108 of the U.S. Copyright Law and except by reviewers for the public press), without written permission from the publisher.

The author has made an online version of this work available (via email) under a Creative Commons Attribution-Noncommercial-Share Alike 3.0 License. The terms of the license can be accessed at creativecommons.org.

Accordingly, you are free to copy, alter, and distribute this work freely under the following conditions:

(1) You must attribute the work to the author (but not in any way that suggests that the author endorses your alterations to the work).
(2) You may not use this work for commercial purposes.
(3) If you alter, transform, or build upon this work, you may distribute the resulting work only under the same or similar license as this one.

The Greek text is the edition by Karl Hude, first published by Oxford University Press in 1908.

ISBN-13: 978-0-9843065-9-6
ISBN-10: 0-9843065-9-5

Published by Geoffrey Steadman
Cover Design: David Steadman

Fonts: Times New Roman, SPIonic, GFS Porson

geoffreysteadman@gmail.com

Table of Contents

Pages

Preface……...v-vi
Ionic Dialect…….vii-viii
How to Use this Commentary……...ix
Running CoreVocabulary…….x-xv
Abbreviations…….xvi
Verb Synopsis ……238-239
Alphabetized Core Vocabulary ……..240-245

Histories Book VII

Xerxes Decides to Invade Greece (sections 7.1-19)…….2-33

The Expedition Crosses the Hellespont (7.20-60)…….34-71

Catalogue of Xerxes' Forces (7.61-100)…….....72-97

Xerxes' Expedition Invades Northern Greece (7.101-131)…….98-125

The Greeks' Reaction to Xerxes' Invasion (7.132-152)…….....126-151

Greek Embassy to Syracuse, Corcyra, and Crete (7.153-171)…….....152-171

The Persians and Greeks Meet at Thermopylae (7.172-209)…….....172-207

The Battle of Thermopylae (7.210-225)……...…….208-223

The Persians Emerge Victorious (7.226-239)…….224-237

Preface to the Series

The aim of this commentary is to make Herodotus' *Histories* Book 7 as accessible as possible to intermediate and advanced Greek readers so that they may experience the joy, insight, and lasting influence that comes from reading one of greatest works in classical antiquity in the original Greek. To accomplish this goal, I have decided to eschew the traditional commentary format and adopt the best features of Clyde Pharr's widely popular edition of Vergil's *Aeneid*.

Facing each of the 118 pages of the Greek text (Hude's 1908 Oxford Classical Text) is a single page of commentary, which is divided into halves. The top half includes all of the corresponding vocabulary words that occur 19 or fewer times in the Greek, arranged alphabetically in two columns. The bottom half of the commentary is devoted to grammatical notes, which are organized according to the OCT page line numbers and likewise arranged in two columns.

To complement the vocabulary within the commentary, I have added a Running Core Vocabulary List at the beginning of this commentary that includes all words occurring 20 or more times arranged in the order in which they first occur in the dialogue. An alphabetized form of this list can be found in the glossary. Together, this book has been designed in such a way that, once readers have reviewed and mastered the Running Core List, they will be able to rely solely on the Greek text and facing commentary and not need to turn a page or consult outside dictionaries as they read.

The grammatical notes are designed to help beginning readers read the text, and so I have passed over detailed literary and philosophical explanations in favor of short, concise, and frequent entries that focus exclusively on grammar and morphology. The notes are intended to complement, not replace, an advanced level commentary, and so I encourage readers to consult some of the additional readings listed in the bibliography. Assuming that readers finish elementary Greek with varying levels of ability, I draw attention to subjunctive and optative constructions, identify unusual aorist and perfect forms, and in general explain aspects of the Greek that they should have encountered in first year study but perhaps forgotten. As a rule, I prefer to offer too much assistance rather than too little.

Print on Demand Books

This volume is a self-published, print-on-demand (POD) book, and as such it gives its author distinct freedoms and limitations that are not found in traditional publications. After writing this commentary, I simply purchased an ISBN number (the owner is *de facto* the publisher) and submitted a digital copy for printing. The most significant limitation regarding a POD book is that it has not undergone extensive peer-review or general editing. This is a serious shortcoming that should make readers wary. There are sure to be typographical and factual errors that an extra pair of eyes could have spotted immediately. Until all of the mistakes have been identified and corrected, I hope the reader will excuse the occasional error.

The benefits of POD, however, outweigh the costs. This commentary and others in the series simply would not exist without POD. Since there is no traditional publisher acting as a middle man, there is no one to deny publication of this work because it is a financial gamble and may not be profitable *for the publisher*. In addition, since the production costs are so low and there is no standing inventory of unsold books, I am able to offer this book at a comparatively low price. Finally, since this book is no more than a .pdf file waiting to be printed, I am able to make corrections and place a revised edition of a POD book for sale as often as I want. In this regard, we should liken PODs to software instead of traditional typeset books. Although the first edition of a POD may not be as polished as a traditional book, I am able to respond very quickly to readers' recommendations and criticisms and create an emended and augmented POD that is far superior to previous editions. Consider, therefore, what you hold in your hand as an inexpensive beta version of the commentary. If you would like to recommend changes to this volume or download a free .pdf copy, please contact me at the email address or URL below.

I would like to thank E. B. for saving the reader from a quite a few callous errors and typos found in earlier versions of this commentary.

Geoffrey Steadman Ph.D.
geoffreysteadman@gmail.com
geoffreysteadman.wordpress.com

How to Use this Commentary

Research shows that, as we learn how to read in a second language, a combination of reading and direct vocabulary instruction is statistically superior to reading alone. One of the purposes of this book is to encourage active acquisition of vocabulary.

1. Master the core vocabulary list as soon as possible.

A. Develop a daily regimen for memorizing running vocabulary and forms before you begin reading. Start with an intensive review of the running core list on the next page and then turn to less frequent vocabulary words as you encounter them.

B. If you have to consult the alphabetized core list as you read, either photocopy the list or print it from online and keep it by your book to avoid page-flipping. More importantly, place a dot or similar mark by all core words that you consult. As review progresses, focus extra effort on the words that accumulate marks.

C. Download and use the core list flashcards available online (ppt or jpg format). Research has shown that you must review new words at least seven to nine times before you are able to commit them to long term memory, and flashcards are particularly efficient at promoting repetition. Develop the habit of deleting flashcards that you have mastered and focus your efforts on the remaining words.

2. Read actively and make lots of educated guesses

One of the benefits of traditional dictionary work is that it gives readers an interval between the time they encounter a questionable word or form and the time they find the dictionary entry. That span of time often compels readers to make educated guesses and actively seek out understanding of the Greek.

Despite the benefits of facing vocabulary lists (see the preface), there is a risk that without that interval of time you will become complacent in your reading habits and treat the Greek as a puzzle to be decoded rather than a language to be learned. ***Your challenge, therefore, is to develop the habit of making an educated guess under your breath each time before you consult the facing vocabulary and grammar***. If you guess correctly, the commentary will reaffirm your understanding of the Greek. If you answer incorrectly, you will become more aware of your weaknesses and therefore more capable of correcting them.

3. Reread a passage immediately after you have completed it.

Repeated readings not only help you commit Greek to memory but also increase your ability to read the Greek as Greek. Always read the words out loud (or at least whisper them to yourself). While you may be inclined to translate the text into English as you reread, develop the habit of reading Greek as Greek and acquiring meaning without turning the text into English.

4. Reread the most recent passage immediately before you begin a new one.

This additional repetition will strengthen your ability to recognize vocabulary, forms, and syntax quickly, bolster your confidence, and most importantly provide you with much-needed context as you begin the next selection in the text.

Major Differences between Ionic and Attic Greek

Herodotus wrote in an Ionic dialect, and below is a summary of some of the differences that readers will encounter from the Attic dialect that they learned in elementary Greek. Many of these examples are taken from the first pages of Book 7.

	Attic	**Herodotus (Ionic)**
1. Vowel Changes		
a. **ᾱ → η** after **ε, ι, ρ**	πρᾶγμα ἀγγελία	πρῆγμα ἀγγελίη
b. **ε → ει** before **ν, ρ, λ**	ξένος ἕνεκα	ξεῖνος, εἵνεκα
c. **ο → ου** before **ν, ρ, λ**	μόνος ὄνομα	μούνος οὔνομα
d. **ει → ηϊ**	βασιλεία στρατεία	βασιληίη στρατηίη
d. **αυ** or **ου → ω**	οὖν ἑαυτοῦ	ὦν ἑωυτοῦ
2. Consonant Changes		
a. **ττ → σσ**	θάλαττα τέτταρες	θάλασσα, τέσσερες
b. **π → κ** in **κοῦ, κοῖος** etc.	πῶς πότερος	κῶς κότερος
c. **φ, θ, χ → π, τ, κ**	ἀφικνέομαι αὖθις δέχομαι	ἀπικνέομαι, αὖτις δέκομαι
3. Changes in Declension Endings		
a. First Declension		
1. masc. gen. sg. **-ου → -εω**	Καμβύσου	Καμβύσεω
2. gen. pl. **-ων → -έων**	Περσῶν	Περσέων
3. dat. pl. **-αις → -ησι(ν)**	Πέρσαις	Πέρσησι
b. Second Declension		
1. dat. pl. **-οις → -οισι(ν)**	ἑκάστοις	ἑκαστοισι
c. Third Declension		
1. endings are uncontracted	βασιλεῖς βασιλῆ γένους	βασιλέες βασιλέα γένεος

	Attic	Herodotus (Ionic)
4. Changes in Verbs		
a. **ε**-augment sometimes omitted:	ὥρμητο	ὅρμητο
	ἠμείβετο	ἀμείβετο
b. uncontracted vowel stems:	ὤν	ἐών (pple εἰμί)
	ὄντες	ἐόντες
	ἐδονεῖτο	ἐδονέετο
	δοκεῖν	δοκέειν
c. 3rd pl. mid./pass. often changes:		
i. **-νται → -ται**	τίθενται	τιθέται
ii. **-ντο → -τα**	ἀφανίζοιντο	ἀφανίζοίατο

5. Personal Pronouns

a. 1st person	gen. sg.	ἐμοῦ	ἐμέο (ἐμεῦ)
	gen. pl.	ἡμῶν	ἐμέων
b. 2nd person	gen. sg.	σοῦ	σέο (σεῦ)
	dat. sg.	σοί	τοι
	gen. pl.	ὑμῶν	ὑμέων
	acc. pl.	ὕμας	ὑμέας
c. 3rd person	acc. sg.	αὐτῷ, ῇ	οἱ
	acc. sg.	αὐτόν, ήν, ό	μιν
	nom. pl.	αὐτοί, αί, ά	σφεῖς
	gen.. pl.	αὐτῶν	σφέων
	dat. pl.	αὐτοῖς, αῖς	σφι, σφιν
	acc. pl.	αὐτούς, άς, ά	σφέας

6. Reflexive Pronoun

αυ → ωυ	all forms	ἐμαυτοῦ, ῆς, οῦ	ἐμωυτοῦ, ῆς, οῦ
		σεαυτοῦ, ῆς, οῦ	σεωυτοῦ, ῆς, οῦ
		ἑαυτοῦ, ῆς, οῦ	ἑωυτοῦ, ῆς, οῦ

7. Relative Pronoun

Non-nominative forms are identical to the definite article (ὅς ἥ, τό; τοῦ, τῆς, τοῦ; τῷ, τῇ, τῷ…).

ἐν ᾧ	ἐν τῷ	*in which*
ὃν	τόν	*whom*

adapted from *Herodotus Book III* S. Newmyer (Bryn Mawr, 1986)

Running Core Vocabulary

The following includes all words that occur 20 or more times (and a few other common words) in Herodotus' *Histories* Book 7 in a running list. The number in the left column indicates the page on which the word first occurs. For an alphabetized core vocabulary, consult the glossary.

3 ἄγγελος, ὁ: messenger, envoy
3 Ἀθηναῖος, -α, -ον: Athenian, of Athens
3 ἀμφότερος, -η, -ον: each of two, both, 20
3 ἀπ-ικνέομαι: to come, arrive
3 ἀπό: from, away from. (+ gen.)
3 ἀπο-δείκνυμι: show, indicate, declare
3 ἄριστος, -η, -ον: best, most excellent
3 αὐτός, -ή, -ό: -self; he, she, it; the same
3 βασιλεύς, ὁ: a king, chief
3 Δαρεῖος, -ου, ὁ: Darius
3 δέ: but, and, on the other hand
3 δεῖ: it is necessary, must, ought (+ inf.), 20
3 δεινός, -ή, -όν: terrible; wondrous, clever
3 δή: indeed, surely, really, certainly, just
3 διά: through (gen.) on account of (acc.)
3 εἰμί: to be, exist
3 ἐκ, ἐξ: out of, from (+ gen.)
3 ἕκαστος, -η, -ον: each, every one
3 Ἑλλάς, -άδος, ἡ : Hellas, Greece
3 ἐν: in, on, among. (+ dat.)
3 ἐνθαῦτα: here, hither, there, thither, then
3 ἐπεί (ἐπείτε): when, after, since, because
3 ἐπί: near, at (gen), to (acc), upon (dat)
3 ἐς: into, to, in regard to (acc.)
3 ἕτερος, -η, -ον: one (of two), other
3 ἔτος, -εως, τό: a year
3 γάρ: for, since
3 γίνομαι: to come to be, become; happen
3 γυνή, γυναικός, ἡ: a woman, wife
3 ἤ: or (either...or); than
3 ἵππος, ὁ: a horse (ἵππος, ἡ: cavalry)
3 καί: and, also, even, too
3 κατά: down from (gen) or along (acc)
3 μᾶλλον: more, rather
3 μάχη, ἡ: battle, fight, combat
3 μεγάλως: greatly, exceedingly, very much
3 μέν: on the one hand
3 μιν: him, her, it; acc. sg. αὐτόν
3 νηῦς, νεός, ἡ: a ship, boat, (νηῖ, νέα; νέες)
3 νόμος, ὁ: law, custom

3 **Ξέρξης, ὁ**: Xerxes
3 **ὁρμάω**: to set out, begin; set in motion
3 **οὐ, οὐκ, οὐχ**: not
3 **οὗτος, αὕτη, τοῦτο**: this, these
3 **οὕτως**: in this way, thus, so
3 **παῖς, παιδός, ὁ, ἡ**: a child, boy, girl; slave
3 **παρά**: from, at, *or* to the side of
3 **παρ-έχω**: to provide, furnish, grant
3 **πᾶς, πᾶσα, πᾶν**: every, all, the whole
3 **πέμπω**: to send; dismiss
3 **περί**: around; about, concerning
3 **Πέρσης, -ου, ὁ**: a Persian
3 **πλέων, πλεῦν (πλέον)**: more, greater
3 **ποιέω**: to do, make, create; *mid*. consider
3 **πόλις, ἡ**: a city
3 **πολύς, πολλά, πολύ**: much, many
3 **πρότερος, -α, -ον**: former, earlier; before
3 **στρατεύω**: march, wage war, campaign
3 **στρατίη, ἡ**: army, expedition, campaign
3 **τε**: and, both
3 **τις, τι**: anyone, -thing; someone, -thing
3 **τότε**: at that time, then
3 **τρεῖς, τρία**: three
3 **ὑπό**: by, because of (gen), under (dat)
3 **ὡς**: as, thus, so, that; when, since
5 **ἀλλά**: but
5 **ἄλλος, -η, -ο**: other, one...another
5 **ἄν**: modal adv.
5 **ἄνευ**: without (+ gen.), 20
5 **ἄνθρωπος, ὁ**: human being, human, man
5 **ἀνήρ, ἀνδρός, ὁ**: a man; husband
5 **ἀπο-θνήσκω**: to die off, perish, 20
5 **ἀρχή, ἡ**: a beginning; rule, office
5 **βασιληίη, -ης, ἡ**: a kingship, rule
5 **γε**: at least, at any rate; indeed
5 **γνώμη, ἡ**: opinion, intention, purpose
5 **δοκέω**: to seem, seem best, think, imagine
5 **ἐγώ**: I
5 **ἐκεῖνος, -η, -ον**: that, those
5 **ἔπος, -εος, τό**: a word
5 **ἔρχομαι**: to come or go
5 **ἔτι**: still, besides, further
5 **ἔχω**: to have, hold; be able; be disposed
5 **ἑωυτοῦ, -ῆς, -οῦ**: himself, her-, it- (**ἑαυτοῦ**)
5 **ἤδη**: already, now, at this time
5 **ἢν (ἐάν)**: εἰ ἄν, if (ever) (+ subj.)

5 **κτάομαι**: to procure, get, gain, acquire, 24
5 **κω**: yet, up to this time, 20
5 **λέγω**: to say, speak
5 **μετά**: with (+ gen.); after (+ acc.)
5 **ὅτι**: that; because
5 **οἰκός, -ότος**: likely, reasonable (Att. **εἰκός**)
5 **οὐδαμός, -ή, -όν**: no one; *adv*. in no way
5 **οὐ-δέ**: and not, but not, nor, not even
5 **οὔ-τε**: and not, neither...nor
5 **πρό**: before, in front; in place of (+ gen.)
5 **πρός**: to (acc), near, in addition to (+ dat.)
5 **πυνθάνομαι**: to learn by inquiry or hearsay
5 **σφεῖς**: they
5 **ὕστερος, -α, -ον**: after, later, next, last
5 **φημί**: to say, claim, assert
5 **χράομαι**: to use, employ, possess (+ dat.)
5 **ὦν**: and so, then; at all events (Att. **οὖν**)
7 **Αἴγυπτος, ὁ**: Egypt
7 **ἄκρος, -η, -ον**: topmost, excellent
7 **ἄξιος, -η, -ον**: worthy of, deserving of
7 **γῆ, ἡ**: earth
7 **δίδωμι**: to give, offer, grant, provide
7 **ἐθέλω**: to be willing, wish, desire
7 **εἰ**: if, whether
7 **ἵνα**: in order that (+ subj.); where (+ ind.)
7 **κακός, -ή, -όν**: bad, base, cowardly, evil
7 **λόγος, ὁ**: word, speech, account
7 **μή**: not, lest
7 **μοῦνος, -η, -ον**: alone, only, solitary
7 **νῦν**: now; as it is
7 **ὅδε, ἥδε, τόδε**: this, this here
7 **οἷος, -α, -ον**: of what sort, as, 24
7 **πάρ-ειμι**: to be near, be present
7 **πείθω**: to persuade, trust; *mid*. obey
7 **σός, -ή, -όν**: your, yours
7 **σύ**: you
7 **τοιοῦτος, -αύτη, -οῦτο**: such
7 **φέρω**: to bring, carry, bear
7 **φυλάσσω**: to keep watch, keep guard
7 **χείρ, χειρός, ἡ**: hand
7 **χρόνος, ὁ**: time
7 **χώρη, ἡ**: land, region, area, place
9 **ἄγω**: to lead, to bring, to carry, convey
9 **ἁλίσκομαι**: to be taken, be caught
9 **βάρβαρος, ὁ**: foreigner, a non-Greek
9 **δεύτερος, -η, -ον**: second; *adv*. next, 20

9 διό: δι᾽ ὅ, on which account
9 δοῦλος, ὁ: a slave; *adj*. slavish, 20
9 εἶπον: *aor*., said, spoke
9 θάλασσα, ἡ: sea
9 μάλιστα: most of all; certainly, especially
9 μέλλω: to be about to, to intend to
9 νῆσος, ἡ: an island, 23
9 ὅκως: how, in what way; in order that, that
9 οὐδ-είς, οὐδε-μία, οὐδ-έν: no one, nothing
9 πρῶτος, -η, -ον: first, earliest
9 τίθημι: to set, put, place, arrange, 21
9 χράω: declare, proclaim, direct by oracle
11 ἅμα: at the same time; along with (+ dat.)
11 ἔθνος, -εος, τό: race, people, tribe
11 ἐλάσσων, -ον: smaller, fewer
11 ἐλαύνω: to march, drive, set in motion
11 ἐμός, -ή, -όν: my, mine
11 ἐπίσταμαι: to know (how), understand
11 εὖ: well
11 θεός, ὁ: a god, divinity
11 ἱρός, -ή, -όν: holy, divine; temple (ἱερός)
11 κού: anywhere, somewhere; I suppose
11 λείπω: to leave, forsake, abandon
11 ὁράω: to see, look, behold
11 ὅσος, -η, -ον: as much as, as many as
11 ὅτε: when, 21
11 στρατηγέω: wage war, campaign against
11 στρατός, τό: army, encamped army
13 αἴτιος, -α, -ον: responsible, blameworthy
13 βούλομαι: to wish, be willing, desire
13 ἐάω: to permit, allow, let be, suffer
13 εἷς, μία, ἕν: one, single, alone
13 Ἕλλην, Ἕλληνος, ὁ: Greek
13 Ζεύς, ὁ: Zeus (gen. Διός, Ζηνός, dat. Διί, acc. Δία)
13 ἥλιος, ὁ: the sun
13 κελεύω: to bid, order, command, exhort
13 μέγας, μεγάλη, μέγα: big, large important
13 μέσος, - η, -ον: middle, in the middle of
13 πρῆγμα, τό: deed, act; affair, trouble
13 χρή: it is necessary or fitting; must, ought
15 ἀπ-αλλάσσω: set free, release; *mid*. depart 21
15 ἄρα: then, after all, as it turned out
15 δεῖ: it is necessary, must, ought (+ inf.)
15 καλέω: to call, summon, invite
15 καλός, -ή, -όν: beautiful, fair, noble, fine
15 μάχομαι: to fight, contend, dispute

15 **ὀλίγος, -η, -ον**: few, little, small, 22
15 **πειράω**: try, attempt; make trial of (gen.) 22
15 **πλῆθος, -εος, ἡ**: crowd, multitude; size
15 **πόλεμος, ὁ**: war, battle, fight
15 **πολεμέω**: wage war, fight (+ dat.)
15 **σύν**: along with, with, together (+ gen.)
15 **τρόπος, ὁ**: manner, way; turn
15 **χρῆμα, -ατος, τό**: money, goods
17 **ἀντίος, -η, -ον**: opposite; ἀντίον in reply
17 **εἰρέω**: will say (pres. often **λέγω, φημί**)
17 **πολέμιος, -α, -ον**: hostile, of the enemy
19 **ἀκούω**: to hear, listen to
19 **ἀνάγκη, ἡ**: necessity, force, constraint
19 **δια-βαίνω**: to walk across, cross
19 **κοτέ**: ever, at some time, once
19 **πλέω**: to sail
19 **ποταμός, ὁ**: river, stream
19 **τοι**: ya know, let me tell you, surely
19 **τοιόσδε, -άδε, -όνδε**: such
19 **φυλακή, ἡ**: a watch, guard
19 **χωρέω**: to go, come; have room for
21 **ἀνά**: up, upon (dat.); up to, on to (acc.)
21 **δύο**: two
21 **λαμβάνω**: to take, receive, catch, grasp
21 **μένω**: to stay, remain, 20
23 **Λακεδαίμόνιος, -η, -ον**: Lacedaemonian
23 **μάλα**: very, very much, exceedingly, 24
23 **ὁδός, ἡ**: road, way, path, journey
25 **εἶδον**: saw, beheld (aor. of ὁράω)
25 **ἡμέρη, ἡ**: day
25 **ἐπ-ίστημι**: to stand near, set over
25 **φαίνω**: to show; *mid*. appear, seem
27 **ἄνεμος, -ου, ὁ**: wind
27 **βασίληιος, -ον**: royal, kingly
27 **ὁμοῖος, -η, -ον**: like, similar, resembling
27 **ὀπίσω**: back(wards), again, hereafter
27 **σκευή, ὁ**: attire, equipment, gear, 22
29 **θεῖος, -η, -ον**: from god, divine
29 **ὀφείλω**: to owe, ought (+ inf.), 22
31 **Ἀρταβανος, ὁ**: Artabanus
73 **πάλαι**: long ago, formerly, of old
75 **αἰχμή, ἡ**: spear(point); war, battle
75 **ἐπι-χώριος, -η, -ον**: local, native
77 **ἀντί**: instead of, in place of (+ gen.)
77 **ἔπ-ειμι**: to be upon, be set upon
81 **πρόσ-ειμι**: to be in addition, 21

33 **ἄνω**: up, above, 32
33 **ἤπειρος, ἡ**: mainland, land
33 **κεφαλή, ἡ**: the head
33 **οἶδα**: to know
33 **οἶκα**: to seem likely; it seems, (Att. **ἔοικά**)
33 **ὅτε**: when
33 **χῶρος, ὁ**: ground, place, land
35 **οἰκέω**: to inhabit, dwell, live
35 **ὁρμέω**: to lie at anchor
35 **ὄρος, -εος, τό**: a mountain, hill
35 **πεδίον, τό**: plain
35 **πεζός, ή, όν**: on foot, infantry
35 **πλήν**: except, but (+ gen.)
35 **στάδιον, τό**: a stade, (600 Greek feet)
35 **τάσσω**: to arrange, put in order
39 **ὅπλον, τό**: a tool, implement; arms
39 **οὔνομα, -ατος τό**: name (Att. **ὄνομα**)
39 **πορεύομαι**: to travel, journey, march
39 **τυγχάνω**: to chance to, get; meet; happen
41 **εἴρομαι**: to ask, enquire, question
41 **βίος, ὁ**: life
43 **δεξιός, -ή, -όν**: on the right hand or side
43 **ἔξω**: out of (+ gen.); adv. outside
45 **ἀπο-πέμπω**: to send away, to dismiss
45 **στρατηγός, ὁ**: general, leader
47 **θύω**: to sacrifice
47 **κατ-ίημι**: to send down, let go down
49 **ἀγγέλλω**: to announce, proclaim, report
51 **θυμός, ὁ**: desire, heart; soul, life, 20
53 **δέκα**: ten
53 **μυρίος, -η, -ον**: countless, endless, infinite, 24
53 **χίλιοι, -αι, -α**: a thousand
55 **θηέομαι**: to see, watch, look at; consider
57 **συμ-φορή, ἡ**: event, accident, misfortune, 24
59 **ναυτικός, ή, όν**: naval; navy; *neut*. fleet
61 **ἄρχω**: to begin; to rule, be leader of
63 **ἀναγκαῖος, -η, -ον**: necessary, inevitable
63 **ὅμοιος, -η, -ον**: like, similar; adv likewise
63 **ὁμοιόω**: to make like, assimilate; be like
65 **ἀγαθός, -ή, -όν**: good, brave, noble
65 **οἶκος, ὁ**: a house, abode, dwelling
69 **ἄκρη, ἡ**: promontory (on the sea), headland
69 **ἔξ-εστι**: it is allowed, permitted; is possible
71 **βασίληιον, τό**: palace. 22
71 **ῥέω**: to flow, run, stream
71 **τεῖχος, -εος τό** : wall, city-wall

87 **μυριάς, άδος, ἡ**: ten-thousand, countless
93 **ἀναγκαίη, ἡ**: necessity, force, (Ion ἀναγκή)
93 **τοσοῦτος, αὑτη, οῦτο**: so great/much/many
95 **σύμ-μαχος, -ον**: allied; an ally
97 **ἅρμα, -ατος, τό**: a chariot
97 **ἐπ-έρχομαι**: come upon, approach, attack
101 **ἀν-ίημι**: to send up, let go, give up
101 **εἴκοσι**: twenty
103 **ἀπ-όλλυμι**: to lose, destroy, kill, ruin
115 **ὅμως**: nevertheless, however, yet
119 **ἐξ-ίημι**: to send out, let out
119 **στεινός, -ή, -όν**: narrow
123 **ὀνομάζω**: to name, call by name
133 **χρηστήριον, τό**: an oracle
135 **πάλλω**: to brandish, poise, shake
147 **παύω**: to stop, make cease
153 **ἑπτά**: seven

Abbreviations

abs.	absolute	imp.	imperative	pf.	perfect
acc.	accusative	impf.	imperfect	pl.	plural
act.	active	imper.	impersonal	plpf.	pluperfect
adj.	adjective	indic.	indicative	pred.	predicate
adv.	adverb	i.o.	indirect object	prep.	preposition
aor.	aorist	inf.	infinitive	pres.	present
app.	appositive	inter.	interrogative	pron.	pronoun
comp.	comparative	m.	masculine	reflex.	reflexive
dat.	dative	n.	neuter	rel.	relative
dep.	deponent	nom.	nominative	seq.	sequence
d.o.	direct object	obj.	object	sg.	singular
f.	feminine	opt.	optative	subj.	subject
fut.	future	pple.	participle	superl.	superlative
gen.	genitive	pass	passive	voc.	vocative

“To make the ancients speak, we must feed them with our own blood.”

-von Wilamowitz-Moellendorff

ΙΣΤΟΡΙΩΝ Η

1 ἐπεὶ δὲ ἀγγελίη ἀπίκετο περὶ τῆς μάχης τῆς ἐν Μαρα-
θῶνι γενομένης παρὰ βασιλέα Δαρεῖον τὸν Ὑστάσπεος, καὶ
πρὶν μεγάλως κεχαραγμένον τοῖσι Ἀθηναίοισι διὰ τὴν ἐς
Σάρδις ἐσβολήν, καὶ δὴ καὶ τότε πολλῷ τε δεινότερα ἐποίεε
2 καὶ μᾶλλον ὅρμητο στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. καὶ
αὐτίκα μὲν ἐπηγγέλλετο πέμπων ἀγγέλους κατὰ πόλις ἑτοι-
μάζειν στρατιήν, πολλῷ πλέω ἐπιτάσσων ἑκάστοισι ἢ πρό-
τερον παρεῖχον, καὶ νέας τε καὶ ἵππους καὶ σῖτον καὶ πλοῖα.
τούτων δὲ περιαγγελλομένων ἡ Ἀσίη ἐδονέετο ἐπὶ τρία
ἔτεα, καταλεγομένων τε τῶν ἀρίστων ὡς ἐπὶ τὴν Ἑλλάδα
3 στρατευομένων καὶ παρασκευαζομένων. τετάρτῳ δὲ ἔτεϊ
Αἰγύπτιοι <οἱ> ὑπὸ Καμβύσεω δουλωθέντες ἀπέστησαν ἀπὸ
Περσέων. ἐνθαῦτα δὴ καὶ μᾶλλον ὅρμητο καὶ ἐπ᾽ ἀμφοτέ-
2 ρους στρατεύεσθαι. στελλομένου δὲ Δαρείου ἐπ᾽ Αἴγυπτον
καὶ Ἀθήνας τῶν παίδων αὐτοῦ στάσις ἐγένετο μεγάλη περὶ
τῆς ἡγεμονίης, ὡς δεῖ μιν ἀποδέξαντα βασιλέα κατὰ τὸν
2 Περσέων νόμον οὕτω στρατεύεσθαι. ἦσαν γὰρ Δαρείῳ καὶ
πρότερον ἢ βασιλεῦσαι γεγονότες τρεῖς παῖδες ἐκ τῆς προ-
τέρης γυναικός, Γοβρύεω θυγατρός, καὶ βασιλεύσαντι ἐξ
Ἀτόσσης τῆς Κύρου ἕτεροι τέσσερες. τῶν μὲν δὴ προτέρων
ἐπρέσβευε Ἀρτοβαζάνης, τῶν δὲ ἐπιγενομένων Ξέρξης.
3 ἐόντες δὲ μητρὸς οὐ τῆς αὐτῆς ἐστασίαζον, ὁ μὲν [γὰρ]
Ἀρτοβαζάνης κατ᾽ ὅ τι πρεσβύτατός τε εἴη παντὸς τοῦ

ἀγγελίη, ἡ: message, report, news, 1
Ἀθῆναι, αἱ: Athens, 13
Αἰγύπτιος, -η, -ον: Egyptian, 8
Αἴγυπτος, ὁ: Egypt, 7
ἀπ-ίστημι: stand away, remove; to revolt, 4
Ἀσίη, ἡ: Asia, 17
Ἀτόσσα, -ης, ἡ: Atossa, 5
αὐτίκα: straightway, at once; presently, 11
βασιλεύω: to rule, be king, reign, 9
Γοβρύης, -εω, ὁ: Gobryas (male) 6
δονέω: to shake, agitate, trouble, disturb, 1
δουλόω: to make a slave, enslave, 12
ἐπ-αγγέλλω : to tell, proclaim, announce, 8
ἐπι-γίνομαι: to be born after, come after, 6
ἐπι-τάσσω: arrange (behind), order (dat) 4
ἐσ-βολή, ἡ: inroad, invasion, attack, 12
ἑτοιμάζω: to make ready, prepare, 1
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
θυγάτηρ, ἡ: a daughter, 14
Καμβύσης, -εω, ὁ: Cambyses, 5
κατα-λέγω: to pick, recount, 14
Κῦρος, -ου, ὁ: Cyrus, 11
Μαραθῶν, -θῶνος, ὁ: Marathon, 2
μεγάλως: greatly, mightily, 10
μήτηρ, ἡ: a mother, 1
παρα-σκευάζω: to prepare, get ready, 15
περι-αγγέλλω: to send a message around, 2
πλοῖον τό: ship, transport, vessel, 11
πρεσβεύω: to be elder; venerate, honor, 1
πρέσβυς, -εως, ὁ: old, old (man), 10
πρίν: until, before, 10
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σῖτος, ὁ: to grain, food, 10
στασιάζω: to dispute, quarrel, rebel, revolt, 1
στάσις, ἡ: party, faction; quarrel, 4
στέλλω: to send, set forth, 9
τέσσερες, -α: four, (Att. **τέσσαρες**) 12
τέταρτος, -η, -ον: fourth, 5
Ὑστάσπης, -εος ὁ: Hystaspes, 5
χαράσσω: exasperate; make sharp/pointed, 1

---

1 **ἀπίκετο**: 3rd sg. aor. mid. ἀπ-ικνέομαι; Att. ἀφίκετο (Att. φ → Ion. π)
2 **γενομένης**: aor. pple γίνομαι with **μάχης**
παρὰ: *to…*; acc. place to which
βασιλέα: 3rd decl. acc. sg. βασιλεύς
τὸν Ὑστάσπεος: *(son) of Hystapes*; a patronymic (article + proper name in gen.)
3 **κεχαραμένον**: pf. pass pple χαράσσω modifies acc. sg. Δαρεῖον above
τοῖσι Ἀθηναίουσι: *by…*; dat. of agent
ἐς Σάρδις: *against Sardis*; Ion. Σάρδῑς (Att. Σάρδεις) is plural, here acc. pl.
4 **καὶ δὴ καὶ**: *and especially*; 'and indeed also'
πολλῷ: *much*; dat. degree of difference as often with a comparative adj. δεινότερα
δεινότερα: comparative neut., add 'things'
ἐποίεε: uncontracted impf. ποιέω
5 **ὥρμητο**: ὥρμάετο, impf. ὁρμάω; Att. ὥρμητο, Ion. verbs often lack ἐ-augment
ἐπὶ: *against…*
6 **κατὰ πόλις**: *city to city*; distributive κατά 'by cities;' πολῑς (Att. πόλεις) is acc. pl.
πολλῷ: *far*; 'much,' dat. degree difference
7 **πλέω**: *more (things)*; πλέο(ν)α, contracted comparative neuter. acc. pl. πλέων, -ον
ἐπιτάσσων ἑκάστοισι: *ordering each (to provide)*; add inf. παρέχειν; pres. pple
ἤ: *than*; following the comparative πλέω
πρότερον: *previously*; comparative adverb
8 **παρεῖχον**: 3rd pl. impf. παρ-έχω
νέας: *ships*; acc. pl.; in apposition to πλέω
πλοῖα: *transport ships*; acc. pl.
9 **τούτων…περιαγγελλομένων**: gen. absolute
ἐδονέετο: impf. passive (Att. ἐδονεῖτο)
ἐπὶ: *over…*
10 **καταλεγομένων…ἀρίστων…**: gen. abs.
ὡς ἐπὶ: *as if against…*
11 **τετάρτῳ ἔτεϊ**: *on…*; dat. time when, ἔτος
ὑπὸ: *by…*; gen. of agent with pass. pple
12 **Καμβύσεω**: -εω is a common gen. sg. form
δουλωθέντες: aor. pass. pple δουλόω
13 **ἐνθαῦτα δὴ**: *at that very moment, just then*
καὶ μᾶλλον: *even more*; καὶ is adverbial
ὥρμητο: ὥρμάετο, impf. ὁρμάω; see l. 5
στελλομένου…Δαρείου: gen. abs.
15 **τῶν..αὐτοῦ**: *of his sons*; modifies στάσις
16 **ὡς**: *that*
ἀποδέξαντα: acc. aor. pple ἀπο-δείκνυμι
κατὰ…νόμον: *according to the custom*
17 **ἦσαν….γεγονότες**: *had been born*; periphrastic plpf (pf. pple + impf εἰμί)
18 **ἢ βασιλεῦσαι**: *than (he) ruled*; aor. inf.
19 **Γοβρύεω θυγατρός**: *daughter of Gobryas*
βασιλεύσαντι: *(to him) while ruling*
21 **ἐπιγενομένων**: *of (sons) born afterwards*
22 **ἐόντες**: *being (from)*; nom. pl. pple εἰμί
23 **κατ᾽ ὅ τι**: *insofar as*; on account of that'
εἴη: *he was*; opt. εἰμί of alleged cause

γόνου καὶ ὅτι νομιζόμενον εἴη πρὸς πάντων ἀνθρώπων τὸν πρεσβύτατον τὴν ἀρχὴν ἔχειν, Ξέρξης δὲ ὡς Ἀτόσσης τε παῖς εἴη τῆς Κύρου θυγατρὸς καὶ ὅτι Κῦρος εἴη ὁ κτησά-
3 μενος τοῖσι Πέρσῃσι τὴν ἐλευθερίην. Δαρείου δὲ οὐκ ἀποδεικνυμένου κω γνώμην, ἐτύγχανε κατὰ τὠυτὸ τούτοισι καὶ Δημάρητος ὁ Ἀρίστωνος ἀναβεβηκὼς ἐς Σοῦσα, ἐστερημένος τε τῆς ἐν Σπάρτῃ βασιληίης καὶ φυγὴν ἐπι-
2 βαλὼν ἑωυτῷ ἐκ Λακεδαίμονος. οὗτος ὡνὴρ πυθόμενος τῶν Δαρείου παίδων τὴν διαφορήν, ἐλθών, ὡς ἡ φάτις μιν ἔχει, Ξέρξῃ συνεβούλευε λέγειν πρὸς τοῖσι ἔλεγε ἔπεσι, ὡς αὐτὸς μὲν γένοιτο Δαρείῳ ἤδη βασιλεύοντι καὶ ἔχοντι τὸ Περσέων κράτος, Ἀρτοβαζάνης δὲ ἔτι ἰδιώτῃ ἐόντι Δαρείῳ·
3 οὐκ ὦν οὔτε οἰκὸς εἴη οὔτε δίκαιον ἄλλον τινὰ τὸ γέρας ἔχειν πρὸ ἑωυτοῦ· ἐπεί γε καὶ ἐν Σπάρτῃ ἔφη ὁ Δημάρητος ὑποτιθέμενος, οὕτω νομίζεσθαι, ἢν οἱ μὲν προγεγονότες ἔωσι πρὶν ἢ τὸν πατέρα σφέων βασιλεῦσαι, ὁ δὲ βασιλεύοντι ὀψίγονος ἐπιγένηται, τοῦ ἐπιγενομένου τὴν ἔκδεξιν τῆς
4 βασιληίης γίνεσθαι. χρησαμένου δὲ Ξέρξεω τῇ Δημαρήτου ὑποθήκῃ, γνοὺς ὁ Δαρεῖος ὡς λέγοι δίκαια βασιλέα μιν ἀπέδεξε. δοκέειν δέ μοι, καὶ ἄνευ ταύτης τῆς ὑποθήκης ἐβασίλευσε ἂν Ξέρξης· ἡ γὰρ Ἄτοσσα εἶχε τὸ πᾶν κράτος.
4 ἀποδέξας δὲ βασιλέα Πέρσῃσι Ξέρξεα Δαρεῖος ὁρμᾶτο στρατεύεσθαι. ἀλλὰ γὰρ μετὰ ταῦτά τε καὶ Αἰγύπτου ἀπόστασιν τῷ ὑστέρῳ ἔτεϊ παρασκευαζόμενον συνήνεικε αὐτὸν Δαρεῖον, βασιλεύσαντα τὰ πάντα ἕξ τε καὶ τριήκοντα ἔτεα, ἀποθανεῖν, οὐδέ οἱ ἐξεγένετο οὔτε τοὺς ἀπεστεῶτας Αἰγυπτίους οὔτε Ἀθηναίους τιμωρήσασθαι. ἀποθανόντος δὲ Δαρείου ἡ
5 βασιληίη ἀνεχώρησε ἐς τὸν παῖδα τὸν ἐκείνου Ξέρξην. ὁ τοίνυν Ξέρξης ἐπὶ μὲν τὴν Ἑλλάδα οὐδαμῶς πρόθυμος ἦν

Αἰγύπτιος, -η, -ον: Egyptian, 8
Αἴγυπτος, ὁ: Egypt, 7
ἀνα-βαίνω: to go up, climb, mount, 12
ἀνα-χωρέω: come back, withdraw, retreat, 2
ἀπ-ίστημι: stand away, remove; to revolt, 4
ἀπο-στασις, -εως, ἡ: revolt, defection, 3
Ἀρίστων, -ωνος, ὁ: Ariston, 4
Ἀρτοβαζάνης, -ου, ὁ: Artobazanes, 3
Ἀτόσσα, -ης, ἡ: Atossa, 5
βασιλεύω: to rule, be king, reign, 9
γέρας, ὁ: a gift of honor, 5
γιγνώσκω: come to know, to learn, realize, 5
γόνος, ὁ: offspring, a child, 6
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δια-φορά, ἡ: disagreement, difference, 2
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
ἐκ-γίνομαι: be born from; *imp* it is allowed 2
ἔκ-δεξις, -εως, ἡ: succession, inheritance, 1
ἐλευθερίη, ἡ: freedom, liberty, 4
ἕξ: six, 3
ἐπι-βάλλω: to cast upon, put on, 2
ἐπι-γίνομαι: to be born after, come after, 6
θυγάτηρ, ἡ: a daughter, 14
ἰδιώτης, -ου, ὁ: a private citizen, 1
κράς, κρατός, ἡ: the head, 12
Κῦρος, -ου, ὁ: Cyrus, 11
Λακεδαίμων, -ονος, ἡ: Lacedaemon, 6
νομίζω: believe, consider; be accustomed, 16
ὀψί-γονος, -ον: late-born, born afterward, 1
παρα-σκευάζω: to prepare, get ready, 15
πατήρ, ὁ: a father, 18
πρέσβυς, -εως, ὁ: old, old (man), 10
πρίν: until, before, 10
προ-γίνομαι: to be born before; arise before, 1
πρό-θυμος, -ον: eager, zealous; ready, 6
Σοῦσα, τά: Susa, 8
Σπάρτη, ἡ: Sparta, 16
στερέω: to deprive from, rob, defraud, 1
συμ-βουλεύω: advise, deliberate together, 16
συμ-φέρω: to gather; happens, be expedient, 6
τιμωρέω: to help; avenge, seek vengeance, 17
τοί-νυν: well then; therefore, accordingly, 8
τριήκοντα: thirty, 9
ὑπο-θήκη, ἡ: a suggestion, proposal, advice, 4
ὑπο-τίθημι: to place under, propose, suggest, 5
φάτις, ἡ: report, rumor, 2
φυγή, ἡ: flight, 6

---

1 **γόνου**: *of…*; partitive genitive
ὅτι: *(on account of) that…*; add κατ᾽
εἶη: *it was*; opt. εἰμί of alleged cause
νομιζόμενον: *believed*; pass. pple, predicate
πρὸς: *before*; + gen expresses point of view
2 **Ξέρξης…ὡς**: *Xerxes (argued)…that*; supply form of verb στάσιάζω
3 **εἶη**: *he was*; opt. εἰμί of alleged cause
τῆς…θυγατρὸς: in apposition to Ἀτόσσης
ὅτι: *and because*; '(on account of) that…' parallel to κατ᾽ ὅτι above
ὁ κτησάμενος: *the one having acquired*
4 **Δαρείου…ἀποδεικνυμένου**: gen. absolute
5 **ἐτύγχανε…ἀναβεβηκώς**: *happened to have come*; idiom τυγχάνω + pple: "happen to;" impf. and pf. pple ἀναβαίνω
κατὰ τὠυτὸ τούτοισι: *at the same time as these*; Att. ταὐτὸ, crasis for τὸ αὐτὸ
6 **ὁ**: *son of…*; patronymic
7 **ἐστερημένος**: pf. passive pple στερέω
τῆς…βασιληίης: *from…*; gen. separation
ἐπιβαλὼν: aor. pple ἐπιβάλλω
8 **ἑωυτῷ**: *himself*; dat. reflexive, Att. ἑαυτῷ
ὠνήρ: crasis, ὁ ἀνήρ
πυθομενος: aor. mid. pple πυνθάνομαι
ἐλθών: nom. sg. aor. pple ἔρχομαι
9 **ὡς…ἔχει** *so rumor has it; 'as it goes'*
10 **πρὸς τοῖσι…ἔπεσι** *in addition to the words (which) he said*; dat. pl. ἔπος
11 **ὡς…γένοιτο**: *that he himself was born to*; aor. opt. γίνομαι in secondary sequence
12 **Ἀρτοβαζάνης**: *Artobazanes (was born to)*
ἐόντι: *(while) being…*; dat. sg. pres. pple εἰμί (Att. ὄντι) modifying Δαρείῳ
13 **οὐκ…οὔτε…ἔιη οὔτε**: *it was not either…or*
οἰκὸς: *reasonable*; Att. ἐοικός
ἄλλον τινὰ: *that someone else*; acc. subj.
14 **πρὸ ἑωυτοῦ**: *instead of him*; Att. ἑαυτοῦ
ἔφη: 3rd sg. impf. φημί
15 **νομίζεσθαι**: *that it is customary*
ἤν…ἔωσι: *if ever…are*; 3rd pl. subj. εἰμί
18 **χρησαμένου Ξέρξεω**: gen. abs., χράομαι
19 **γνοὺς**: *acknowledging*; pple γινωσκω
20 **ἀπέδεξε**: *declared*; aor. ἀπο-δείκνυμι
21 **ἐβασίλευε ἂν**: *would be*; past potential
24 **συνήνεικε**: *it happened that*; aor. συμφέρω
26 **οἱ**: *for him*; 3rd person pronoun, dat. sg. μιν
ἐξεγένετο: *it was allowed*; impersonal
ἀπεστεῶτας: acc. pl. pf. pple ἀπ-ίστημι
29 **ἦν**: 3rd sg. impf. εἰμί

κατ᾽ ἀρχὰς στρατεύεσθαι, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατιῆς 1
ἄγερσιν. παρεὼν δὲ καὶ δυνάμενος παρ᾽ αὐτῷ μέγιστον
Περσέων Μαρδόνιος ὁ Γοβρύεω, ὃς ἦν Ξέρξῃ μὲν ἀνεψιὸς
Δαρείου δὲ ἀδελφεῆς παῖς, τοιούτου λόγου εἴχετο, λέγων
2 ‘Δέσποτα, οὐκ οἰκός ἐστι Ἀθηναίους ἐργασαμένους πολλὰ 5
δὴ κακὰ Πέρσας μὴ οὐ δοῦναι δίκην τῶν ἐποίησαν. ἀλλ᾽
εἰ τὸ μὲν νῦν ταῦτα πρήσσοις τά περ ἐν χερσὶ ἔχεις·
ἡμερώσας δὲ Αἴγυπτον τὴν ἐξυβρίσασαν στρατηλάτεε ἐπὶ
τὰς Ἀθήνας, ἵνα λόγος τέ σε ἔχῃ πρὸς ἀνθρώπων ἀγαθός,
καί τις ὕστερον φυλάσσηται ἐπὶ γῆν τὴν σὴν στρατεύεσθαι.’ 10
3 οὗτος μέν οἱ [ὁ] λόγος ἦν τιμωρός· τοῦδε δὲ τοῦ λόγου
παρενθήκην ποιεέσκετο τήνδε, ὡς ἡ Εὐρώπη περικαλλὴς
[εἴη] χώρη, καὶ δένδρεα παντοῖα φέρει τὰ ἥμερα ἀρετήν τε
6 ἄκρη, βασιλέϊ τε μούνῳ θνητῶν ἀξίη ἐκτῆσθαι. ταῦτα δὲ
ἔλεγε οἷα νεωτέρων ἔργων ἐπιθυμητὴς ἐὼν καὶ θέλων αὐτὸς 15
τῆς Ἑλλάδος ὕπαρχος εἶναι. χρόνῳ δὲ κατεργάσατό τε καὶ
ἀνέπεισε Ξέρξην ὥστε ποιέειν ταῦτα· συνέλαβε γὰρ καὶ
2 ἄλλα οἱ σύμμαχα γενόμενα ἐς τὸ πείθεσθαι Ξέρξην. τοῦτο
μὲν ἀπὸ τῆς Θεσσαλίης παρὰ τῶν Ἀλευαδέων ἀπιγμένοι
ἄγγελοι ἐπεκαλέοντο βασιλέα πᾶσαν προθυμίην παρεχόμενοι 20
ἐπὶ τὴν Ἑλλάδα (οἱ δὲ Ἀλευάδαι οὗτοι ἦσαν Θεσσαλίης
βασιλέες), τοῦτο δὲ Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς
Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ οἱ Ἀλευάδαι,
3 καὶ δή τι πρὸς τούτοισι ἔτι πλέον προσωρέγοντό οἱ. ἔχοντες
<δ> Ὀνομάκριτον ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ δια- 25
θέτην χρησμῶν τῶν Μουσαίου, ἀναβεβήκεσαν, τὴν ἔχθρην
προκαταλυσάμενοι· ἐξηλάσθη γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πει-

ἄγερσις, -εως, ἡ: gathering, mustering, 2
ἀδελφεή, ἡ: a sister, 5
Ἀθῆναι, αἱ: Athens, 13
Αἴγυπτος, ὁ: Egypt, 7
Ἀλευάδαι, -έων, οἱ: Aleuadae, 4
ἀνα-βαίνω: to go up, climb, mount, 12
ἀνα-πείθω: to persuade, convince, 2
ἀνεψιός, ὁ: nephew, a sister's son, 2
ἀρετή, ἡ: excellence, goodness, virtue, 15
Γοβρύης, -εω, ὁ: Gobryas (male) 6
δένδρον, τό: tree; also, **δένδρος, -εος, τό**, 4
δεσπότης, ὁ: master, lord, 11
δια-θέτης, -ου, ὁ: an arranger, 1
δίκη, ἡ: justice, penalty; lawsuit, trial, 15
δύναμαι: to be able, can, be capable, 13
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐξ-υβρίζω: break into insolence, run riot, 1
ἐπι-θυμητής, -οῦ, ὁ: one who longs for (gen) 2
ἐπι-καλέω: to call upon, 5
ἐργάζομαι: to work, labor, toil, 6
ἔργον, τό: work, task, deed, act, 12
ἔχθρη, ἡ: hatred, enmity, 15
Εὐρώπη, ἡ: Europe, 13
ἥμερος, -ον: tame, cultivated, gentle, 1
ἡμερόω: to tame; subdue, civilize, 1
Θεσσαλίη, ἡ: Thessaly, 19
θνητός, -ή, -όν: liable to death, mortal, 3
Ἱππάρχος, -ου, ὁ: Hipparchus, 2
κατ-εργάζομαι: to make, achieve; overcome 7
Μαρδόνιος, ὁ: Mardonius, 9
μέγιστος, -η, -ον: greatest, best, longest, 16
Μουσαίος, ὁ: Musaeus, 2
νεώτερος, -α, -ον: younger; rather recent, 4
Ὀνομάκριτος, -ου, ὁ: Onomacritus, 2
παντοῖος, -η, -ον: of all sorts, various, 9
παρ-εν-θήκη, ἡ: addition, 2
Πεισιστρατίδαι, -έων, οἱ: Pisistratidae, 3
Πεισίστρατος, ὁ: Pisistratos, 1
πέρ: just; all, however, though, 1
περι-καλλής, -ές: beautiful, fair, lovely, 1
πρήσσω: to do, accomplish, make, act, 10
προ-θυμίη, ἡ: eagerness, zeal, readiness, 5
προ-κατα-λύω: to break up or end before, 1
προσ-ορέγομαι: to stretch or reach out, offer 1
Σοῦσα, τά: Susa, 8
στρατ-ηλατέω: to lead an army, command, 8
συλ-λαμβάνω: to collect, gather together, 4
τιμωρός, -όν: helping, aiding, avenging, 4
ὕπ-αρχος, ὁ: commander (under another), 12
χρησμο-λόγος, ὁ: reader of oracles, 10
χρησμός, ὁ: prophecy, oracle's reply, 3
ὥστε: so that, that, so as to + inf. 18

---

1 **κατ' ἀρχὰς**: *at the beginning*; 'during…'
ἐποιέετο: impf. mid. ποιέω (Att. ἐποιεῖτο)
παρεὼν: nom. sg. pple πάρ-ειμι
2 **δυνάμενος…μέγιστον**: *being most powerful*; idiomatic, inner acc. superlative of μέγας
παρ' αὐτῷ: *beside him*; i.e. as an advisor
3 **ὁ Γοβρύεω**: *(son) of…;* patronymic
ἦν: impf. εἰμί
4 **Δαρείου…ἀδελφεῆς**: *of the sister of Darius*
τοιούτου λόγου εἴχετο: *was clinging to this sort of account*; impf. ἔχω + partitive gen.
5 **Δέσποτα**: vocative direct address
οἰκός ἐστι: *it is not fitting*; Att. ἐοικος
Ἀθηναίους: *that the Athenians…*; acc. subj.
ἐργασαμένους: *doing (acc) to (acc)*
6 **μὴ οὐ**: *not*; duplicated negative + inf. when followed by a negativized verb
δοῦναι: *pay the penalty*; aor. inf. δίδωμι
7 **εἰ…πρήσσοις**: *would that you do*; likely an optative of wish rather than a conditional
τὸ…νῦν: *now*; 'the present'
τά περ: *which very things..*; relative clause
χερσὶ: dat. pl. χείρ; i.e. in your power
9 **ἵνα…**: *so that…may*; purpose, 3rd sg. subj.
πρὸς ἀνθρώπων: *before (the eyes of) men*
ὕστερον: *later*; adverbial acc.
10 **φυλάσσηται**: *may guard against* + inf.; 3rd sg. subj. in the purpose clause with ἔχῃ
11 **οἱ**: *to him*; dat. sg. μιν
12 **τήνδε, ὡς…**: *this here…(namely) that…*
13 **εἴη**: *was*; opt. εἰμί in secondary sequence
ἀρετήν: *highest in excellence*; acc. respect
14 **ἐκτῆσθαι**: pf. inf. κτάομαι with ἀξίη
15 **οἷα**: *which sort (one says)*; add verb
νεωτέρων ἔργων: *for newer deeds*; objective gen. of predicate ἐπιθυμητὴς
ἐὼν: nom. sg. pres. pple εἰμί
θέλων: wishing; pres. pple (ἐ)θέλω
16 **χρόνῳ**: *in time*
18 **οἱ σύμμαχα**: *helpful to him*; dat. sg. μιν
ἐς τὸ…: *for persuading…*; articular inf.
ἀπιγμένοι: pf. pple ἀπικνέομαι
22 **τοῦτο δε**: *in respect to this*; acc. respect
οἱ ἀναβεβηκότες: pf. pple ἀναβαίνω
23 **τῶν…ἐχόμενοι**: *clinging to* + gen;. cf. l. 4
27 **ἐξηλάσθη**: *was driven out*; 3rd sg. aor. pass.

σιστράτου ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ᾽ αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμόν ὡς αἱ ἐπὶ Λήμνῳ ἐπικείμεναι νῆσοι ἀφανιζοίατο κατὰ
4 τῆς θαλάσσης. διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεώμενος τὰ μάλιστα. τότε δὲ συναναβὰς ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατιδέων περὶ αὐτοῦ σεμνοὺς λόγους κατέλεγε τῶν χρησμῶν· εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῷ βαρβάρῳ, τῶν μὲν ἔλεγε οὐδέν, ὁ δὲ τὰ εὐτυχέστατα ἐκλεγόμενος ἔλεγε, τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὸν εἴη ὑπ᾽ ἀνδρὸς Πέρσεω, τήν τε ἔλασιν
5 ἐξηγεόμενος. οὗτός τε δὴ χρησμῳδέων προσεφέρετο, καὶ οἵ τε Πεισιστρατίδαι καὶ οἱ Ἀλευάδαι γνώμας ἀποδεικνύ-
7 μενοι. ὡς δὲ ἀνεγνώσθη Ξέρξης στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἐνθαῦτα δευτέρῳ μὲν ἔτεϊ μετὰ τὸν θάνατον τὸν Δαρείου πρῶτα στρατηίην ποιέεται ἐπὶ τοὺς ἀπεστεῶτας. τούτους μέν νυν καταστρεψάμενος καὶ Αἴγυπτον πᾶσαν πολλὸν δουλοτέρην ποιήσας ἢ ἐπὶ Δαρείου ἦν, ἐπιτράπει Ἀχαιμένεϊ ἀδελφεῷ μὲν ἑωυτοῦ, Δαρείου δὲ παιδί. Ἀχαιμένεα μέν νυν ἐπιτροπεύοντα Αἰγύπτου χρόνῳ μετέπειτα
8 ἐφόνευσε Ἰνάρως ὁ Ψαμμητίχου ἀνὴρ Λίβυς. Ξέρξης δὲ μετὰ Αἰγύπτου ἅλωσιν ὡς ἔμελλε ἐς χεῖρας ἄξεσθαι τὸ στράτευμα τὸ ἐπὶ τὰς Ἀθήνας, σύλλογον ἐπίκλητον Περσέων τῶν ἀρίστων ἐποιέετο, ἵνα γνώμας τε πύθηται σφέων καὶ αὐτὸς ἐν πᾶσι εἴπῃ τὰ θέλει. ὡς δὲ συνελέχθησαν,
α ἔλεξε Ξέρξης τάδε. ‘ἄνδρες Πέρσαι, οὔτ᾽ αὐτὸς κατηγήσομαι νόμον τόνδε ἐν ὑμῖν τιθείς παραδεξάμενός τε αὐτῷ χρήσομαι. ὡς γὰρ ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, οὐδαμά κω ἠτρεμίσαμεν, ἐπείτε παρελάβομεν τὴν ἡγεμονίην

ἀδελφεός, ὁ: a brother, 17
Ἀθῆναι, αἱ: Athens, 13
Αἴγυπτος, ὁ: Egypt, 7
Ἀλευάδαι, -έων, οἱ: Aleuadae, 4
ἅλωσις, -ιος ἡ: capturing, capture, conquest 2
ἀνα-γιγνώσκω: persuade, recognize; read 3
ἀπ-ίστημι: stand away, remove; to revolt, 4
ἀ-τρεμίζω: to keep quiet, keep idle or still, 2
αὐτό-φωρος, -ον: caught in the act, detected 1
ἀ-φανίζω: to hide, remove from sight, 6
Ἀχαιμένης, -έος ὁ: Achaemenes, 7
ἐκ-λέγω: to pick out, select, choose, 1
ἔλασις, -εως, ἡ: march, expedition, drive, 6
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐμ-ποιέω: to put in, fit in, 1
ἔν-ειμι: be in, on, among, 3
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐξ-ηγέομαι: to lead out, explain, command, 6
ἐπι-καλέω: to call upon, summon, 5
ἐπί-κειμαι: to lie on or near, set to, 4
ἐπι-τρέπω: to turn over, commit, bequeath, 8
ἐπι-τροπεύω: to be governor/administrator, 2
Ἑρμιονῆς, -έος, ὁ: Hermione, 1
εὐ-τυχής, -ές: lucky, fortunate, 3
ζεύγνυμι: to yoke, join together, 11
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
θάνατος, ὁ: death, 12
Ἰνάρως, ὁ: Inarus, 1
Ἱππάρχος, -ου, ὁ: Hipparchus, 2
κατα-λέγω: pick, recount, 14
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κατ-ηγέομαι: to be the first, lead the way, 4
λάσος, -ου, ὁ: Lasos, 1
Λῆμνος, -ου, ἡ: Lemnos, 1
Λιβῦς, -ῦος, - ὁ: a Libyan, 6
μετ-έπειτα: thereafter, 5
Μουσαίος, ὁ: Musaeus, 2
Ὀνομάκριτος, -ου, ὁ: Onomacritos, 2
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
παρα-δέκομαι: to take in charge, inherit, 4
παρα-λαμβάνω: to receive, undertake, 16
Πεισιστρατίδαι, -έων, οἱ: Pisistratidae, 3
πρέσβυς, -εως, ὁ: old, old (man), 10
προσ-φέρω: to bring to or forth, apply to, 4
σεμνός, -ή, -όν: revered, august, 2
στράτευμα, τό: an expedition, campaign, 8
στρατηίη, ἡ: expedition, campaign, 3
συλ-λέγω: to collect, gather, 10
σύλ-λογος, ὁ: an assembly, 2
συν-ανα-βαίνω: come together, climb with 1
σφάλμα, -ατος, τό: fall, failing, error, 3
φρονέω: to think, to be wise, prudent, 7
χρεόν, τό: necessity, need; (it is) necessary, 8
χρησμός, ὁ: prophecy, oracle's reply, 3
χρησῳδέω: to chant or deliver an oracle, 1
Ψαμμήτιχος, -ου, ὁ: Psamettichus, 1

---

1 ἐπ' αὐτφώρῳ: *in the act*; i.e. of a crime
ἁλοὺς: *being caught*; nom. sg aor. pple ἁλίσκομαι
2 ὑπὸ: *by…*; gen. of agent with ἁλοὺς
ἐς τὰ Μουσαίου: *into the words of Musaeus*
χρησμόν ὡς: *oracle, (namely) that…*
3 ἀφανιζοίατο: *would disappear*; 3rd pl pres. opt. in secondary sequence, future in sense
κατὰ: *beneath…*; 'down over' + gen.
4 ἐξήλασε: aor. ἐξελαύνω
5 χρεώμενος: *having dealings with (him)*; i.e. befriending him; pres. pple χράομαι
τὰ μάλιστα: *very often*; superlative adv.
συναναβὰς: nom. sg. aor. pple -αναβαίνω
ὅκως: *that he might…*; purpose, aor. opt. ἀπ-ικνέομαι in secondary sequence
6 λεγόντων…Πεισιστρατιδέων: gen. abs.
8 ἐν-έοι: *something was therein*; opt. ἔν-ειμι, past general condition (εἰ opt, impf.)
σφάλμα φέρον: *bearing misfortune*; neut. sg. pres. pple φέρω modifying neut. sg. τι
10 ζευχθῆναι: *be bridged*; aor. pass. inf.
ὡς…χρεὸν εἴη: *that it was necessary that*
13 ὡς: *when*; temporal
ἀνεγνώσθη: *was persuaded*; aor. pass.
14 δευτέρῳ…ἔτεϊ: *in…*; dat. time when, ἔτος
15 ἀπεστεῶτας: acc. pl. pf. pple ἀπ-ίστημι
16 πολλὸν δουλοτέρον: *much more slavish*
ποιήσας: *making (acc) (acc)*; double acc.
ἐπὶ Δαρείου: *under (the rule of) Darius*
18 ἑωυτοῦ: *his own*; Att. ἑ-αυτοῦ
19 χρόνῳ: *in time*
21 μετὰ: *after…*; acc. sg. ἅλωσιν is the obj.
ὡς: *since*; 'as,' likely causal in sense
ἐς χεῖρας ἄξεσθαι: *to bring into hand*; fut.
22 ἐπίκλητον: *summoned*; adj. ἐπικαλέω
23 ἵνα..πύθηται…εἴπῃ: *that he may*; purpose, aor. subj. πυνθάνομαι, εἶπον
τὰ θέλει: *which…*; relative clause, (ἐ)θέλω
ὡς: *when*; with 3rd pl. aor. pass. συλλέγω
26 τιθείς: *establishing*; nom. sg. pple τίθημι
παραδεξάμενος: *but inheriting*; a constrast

τήνδε παρὰ Μήδων, Κύρου κατελόντος Ἀστυάγεα· ἀλλὰ θεός τε οὕτω ἄγει καὶ αὐτοῖσι ἡμῖν πολλὰ ἐπέπουσι συμφέρεται ἐπὶ τὸ ἄμεινον. τὰ μέν νυν Κῦρός τε καὶ Καμβύσης πατήρ τε <ὁ> ἐμὸς Δαρεῖος κατεργάσαντο καὶ προσεκτήσαντο
2 ἔθνεα, ἐπισταμένοισι εὖ οὐκ ἄν τις λέγοι. ἐγὼ δὲ ἐπείτε παρέλαβον τὸν θρόνον τοῦτον, ἐφρόντιζον ὅκως μὴ λείψομαι τῶν πρότερον γενομένων ἐν τιμῇ τῇδε μηδὲ ἐλάσσω προσκτήσομαι δύναμιν Πέρσῃσι· φροντίζων δὲ εὑρίσκω ἅμα μὲν κῦδος τε ἡμῖν προσγινόμενον χώρην τε τῆς νῦν ἐκτήμεθα οὐκ ἐλάσσονα οὐδὲ φλαυροτέρην παμφορωτέρην τε, ἅμα δὲ τιμωρίην τε καὶ τίσιν γινομένην. διὸ ὑμέας νῦν ἐγὼ συνέ-
β λεξα, ἵνα τὸ νοέω πρήσσειν ὑπερθέωμαι ὑμῖν. μέλλω ζεύξας τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθηναίους τιμωρήσωμαι ὅσα δὴ πεποιήκασι
2 Πέρσας τε καὶ πατέρα τὸν ἐμόν. ὡρᾶτε μέν νυν Δαρεῖον ἰθύοντα στρατεύεσθαι ἐπὶ τοὺς ἄνδρας τούτους. ἀλλ᾽ ὃ μὲν τετελεύτηκε καὶ οὐκ ἐξεγένετο αὐτῷ τιμωρήσασθαι· ἐγὼ δὲ ὑπέρ τε ἐκείνου καὶ τῶν ἄλλων Περσέων οὐ πρότερον παύσομαι πρὶν ἢ ἕλω τε καὶ πυρώσω τὰς Ἀθήνας, οἵ γε
3 ἐμὲ καὶ πατέρα τὸν ἐμὸν ὑπῆρξαν ἄδικα ποιεῦντες. πρῶτα μὲν ἐς Σάρδις ἐλθόντες ἅμα Ἀρισταγόρῃ τῷ Μιλησίῳ, δούλῳ δὲ ἡμετέρῳ [ἀπικόμενοι] ἐνέπρησαν τά τε ἄλσεα καὶ τὰ ἱρά· δεύτερα δὲ ἡμέας οἷα ἔρξαν ἐς τὴν σφετέρην ἀποβάντας, ὅτε Δᾶτίς τε καὶ Ἀρταφρένης ἐστρατήγεον, [τὰ] ἐπίστασθέ κου
γ πάντες. τούτων μέντοί εἵνεκα ἀνάρτημαι ἐπ᾽ αὐτοὺς στρα-

ἄ-δικος, -ον: unjust, unrighteous, 5
Ἀθῆναι, αἱ: Athens, 13
αἱρέω: to seize, take; *mid*. choose, 17
ἄλσος, τό: grove, sacred grove, 3
ἀμείνων, -ον: better, nobler, braver, 12
ἀν-αρτέομαι: to be ready, prepared, 2
ἀπο-βαίνω: to turn out, result; disembark, 4
Ἀρισταγόρας, ὁ: Aristogoras, 1
Ἀρταφρένης, ὁ: Artaphrenes, 4
Ἀστυάγης, -εος, ὁ: Astyages, 1
Δάτις, Δάτιος, ὁ: Datis, 4
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-γίνομαι: to be born to, be made from, 2
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐμ-πίμπρημι: to kindle, burn, 2
ἐπ-έπομαι: to pursue, attend to, follow after, 6
ἔρδω: to do, perform, 3
εὑρίσκω: to find, discover, devise, invent, 19
Εὐρώπη, ἡ: Europe, 13
ζεύγνυμι: to yoke, join together, 11
ἡμέτερος, -α, -ον: our, 12
θρόνος, ὁ: chair, seat, 12
ἰθύω: to go straight, press on, 1
Καμβύσης, -εω, ὁ: Cambyses, 5
καθ-αιρέω: to take down, reduce, destroy, 2
κατ-εργάζομαι: to make, achieve; overcome 7
κῦδος, -εος, ὁ: glory, majesty, might, 2
Κῦρος, -ου, ὁ: Cyrus, 11
μέντοι: however, nevertheless; certainly, 13
μη-δέ: and not, but not, nor, 18
Μῆδος, ὁ: Mede, Median, 13
Μιλήσιος, ὁ: Milesian, 1
νοέω: to think, have in mind, suppose, 4
πάμ-φορος, η, ον: all-bearing all-productive 1
παρα-λαμβάνω: to receive, undertake, 16
πατήρ, ὁ: a father, 18
πρήσσω: to do, accomplish, make, act, 10
πρίν: until, before, 10
προσ-γίνομαι: to come to, attach oneself to, 2
προσ-κτάομαι: to win over, acquire besides, 3
πυρόω: to destroy by fire, enflame, 1
Σάρδεις, ἴων, αἱ: Sardis, capital of Lydia, 14
συλ-λέγω: to collect, gather, 10
συμ-φέρω: to gather; happens, be expedient, 6
σφέτερος, -η, -ον: their own, their, 9
τελευτάω: to end, complete, finish; die, 18
τιμή, ἡ: honor; state offices, 16
τιμωρέω: to help; avenge, seek vengeance, 17
τιμωρίη, ἡ: revenge, vengeance, 4
τίσις, ἡ: revenge, vengeance, payback, 4
ὑπ-άρχω: begin (gen); be at hand; belong, 14
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
ὑπερ-τίθημι: to set over, communicate 3
φλαῦρος, -η, -ον: inferior, trivial, petty, 4
φροντίζω: to think, worry, give heed to, 4

---

1 παρὰ: *from*
κατελόντος: gen. abs., aor. pple κατ-αιρέω
2 οὕτω ἄγει: *proceeds in this way*
αὐτοῖσι ἡμῖν: *to ourselves*
ἐπέπουσι: dat. pl. pres. pple ἐπ-έπομαι
συμφέρεται: *it is profitable*; impersonal
3 ἐπὶ τὸ ἄμεινον: *for the better*; purpose
τὰ...ἔθνεα: *which peoples…*
5 ἐπισταμένοισι..λέγοι: *no one would tell (you) knowing well*; potential opt., dat. pple
6 ὅκως μη: *consider*ed *how…not*; clause of effort, ὅκως governs fut. ind.
λείψομαι: *I will fall (short) from*;
7 γενομένων: *events*; gen. of separation
ἐλάσσω: *lesser*; ἐλάσσο(ν)α with δύναμιν
8 Πέρσῃσι: *for the Persians*; dat. interest
ἡμῖν: *to us*; dat. of compound verb
9 τῆς…ἐκτήμεθα*: than which (land);* relative pronoun, a genitive of comparison
ἐκτήμεθα: 1st pl. perfect κτάομαι
11 ὑμέας: *you all*; acc. pl., Att. ὑμᾶς
12 ἵνα: *so that we may communicate*; "set over," purpose, aor. subj. ὑποτίθημι
τὸ νοέω: *(that) which…*; relative clause
ζεύξας: nom sg. aor. pple ζεύγνυμι
13 ἐλᾶν: *to march*; fut. inf. ἐλαύνω
14 τιμωρήσωμαι: *may avenge (acc) for (acc)* purpose (ἵνα), aor. mid. subj. τιμωρέω
πεποιήκασι: *they have done to*; pf. ποιέω
15 ὡρᾶτε: 2nd pl. impf. ὁράω
ὃ μὲν: *this one*; 'and he,' i.e. Darius
17 τετελεύτηκε: *is dead*; 'has died,' perf.
ἐξεγένετο: *it was allowed*; impersonal
18 πρότερον..πρὶν ἢ: *previously..sooner than*
ἕλω, πυρώσω: aor. subj. αἱρέω, πυρόω instead of opt. present general time
19 οἵ γε: *since they…;* γε is causal in force
20 ποιεῦντες: pple Att. ποιοῦντες (ου→ευ)
πρῶτα μὲν…δεύτερα δὲ: *the first….the second*; in apposition to neut. pl. ἄδικα
24 τὰ: *which things…*; relative pronoun
25 ἀνάρτημαι: pf. ἀν-αρτέομαι

τεύεσθαι, ἀγαθὰ δὲ ἐν αὐτοῖσι τοσάδε ἀνευρίσκω λογιζό-
μενος· εἰ τούτους τε καὶ τοὺς τούτοισι πλησιοχώρους κατα-
στρεψόμεθα, οἳ Πέλοπος τοῦ Φρυγὸς νέμονται χώρην, γῆν
2 τὴν Περσίδα ἀποδέξομεν τῷ Διὸς αἰθέρι ὁμουρέουσαν. οὐ
γὰρ δὴ χώρην γε οὐδεμίαν κατόψεται ἥλιος ὁμουρέουσαν.
τῇ ἡμετέρῃ, ἀλλὰ σφέας πάσας ἐγὼ ἅμα ὑμῖν μιαν χώρην
3 θήσω, διὰ πάσης διεξελθὼν τῆς Εὐρώπης. πυνθάνομαι
γὰρ ὧδε ἔχειν, οὔτε τινὰ πόλιν ἀνδρῶν οὐδεμίαν οὔτε ἔθνος
οὐδὲν ἀνθρώπων ὑπολείπεσθαι, τὸ ἡμῖν οἷόν τε ἔσται ἐλθεῖν
ἐς μάχην, τούτων τῶν κατέλεξα ὑπεξαραιρημένων. οὕτω
δ οἵ τε ἡμῖν αἴτιοι ἔξουσι δούλιον ζυγὸν οἵ τε ἀναίτιοι. ὑμεῖς
δ' ἄν μοι τάδε ποιέοντες χαρίζοισθε· ἐπεὰν ὑμῖν σημήνω
τὸν χρόνον ἐς τὸν ἥκειν δεῖ, προθύμως πάντα τινὰ ὑμέων
χρήσει παρεῖναι. ὃς ἂν δὲ ἔχων ἥκῃ παρεσκευασμένον
στρατὸν κάλλιστα, δώσω οἱ δῶρα τὰ τιμιώτατα νομίζεται
2 εἶναι ἐν ἡμετέρου. ποιητέα μέν νυν ταῦτα ἐστὶ οὕτω· ἵνα
δὲ μὴ ἰδιοβουλεύειν ὑμῖν δοκέω, τίθημι τὸ πρῆγμα ἐς μέσον,
γνώμην κελεύων ὑμέων τὸν βουλόμενον ἀποφαίνεσθαι.'
9 ταῦτα εἶπας ἐπαύετο. μετ' αὐτὸν δὲ Μαρδόνιος ἔλεγε "Ὦ
δέσποτα, οὐ μοῦνον εἷς τῶν γενομένων Περσέων ἄριστος
ἀλλὰ καὶ τῶν ἐσομένων, ὃς τά τε ἄλλα λέγων ἐπίκεο ἄριστα
καὶ ἀληθέστατα, καὶ Ἴωνας τοὺς ἐν τῇ Εὐρώπῃ κατοικημέ-
2 νους οὐκ ἐάσεις καταγελάσαι ἡμῖν ἐόντας ἀναξίους. καὶ γὰρ
δεινὸν ἂν εἴη πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς καὶ Αἰθίο-
πάς τε καὶ Ἀσσυρίους ἄλλα τε ἔθνεα πολλὰ καὶ μεγάλα
ἀδικήσαντα Πέρσας οὐδέν, ἀλλὰ δύναμιν προσκτᾶσθαι βου-
λόμενοι, καταστρεψάμενοι δούλους ἔχομεν, Ἕλληνας δὲ

ἀ-δικέω: to be unjust, do wrong, injure, 8
αἰθήρ, -έρος, ἡ: sky, air. upper sky, 1
Αἰθίοψ, Αἰθίοπος, ὁ: Ethiopian, 5
ἀληθής, -ές: true, 7
ἀν-αίτιος, -η, -ον: not responsible, innocent, 2
ἀν-άξιος, -ον: unworthy, not worthy, 4
ἀν-ευρίσκω: to find out, discover, 1
ἀπο-φαίνω: to show, make clear; perform, 5
Ασσύριος, -η, -ον: Assyrian, 3
δεσπότης, ὁ: master, lord, 11
δι-εξ-έρχομαι: to go through; recount, 10
δούλιος, -ον: slavish, servile, 1
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
δῶρον, τό: a gift, present, 5
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπ-ικνέομαι: to fall upon, 5
Εὐρώπη, ἡ: Europe, 13
Ζεύς, ὁ: Zeus
ζυγόν, τό: yoke, 2
ἥκω: to have come, be present, 10
ἡμέτερος, -α, -ον: our, 12
ἰδιο-βουλέω: to follow one's own counsel, 1
Ἰνδός, -ή, -όν: Indian, 6
Ἴων, Ἴωνος, ὁ: Ionian, 9
κάλλιστα: very well, 15
κατα-γελάω: to laugh at, mock, jeer, 1
κατα-λέγω: pick, recount, 14
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κατ-οικέω: to inhabit, dwell in, 5
κατ-οράω: to look down, perceive, 4
λογίζομαι: to consider, reckon, calculate, 8
Μαρδόνιος, ὁ: Mardonius, 9
νέμω: to distribute, assign; inhabit, 10
νομίζω: believe, consider; be accustomed, 16
ὁμουρέω: to border upon, march with (dat) 4
παρ-ίστημι: to set before the mind, stand, 2
Πέλοψ, -οπος, ὁ: Pelops, 2
Περσίς, Περσίδος: Persian, 3
πλησι-όχωρος, -ον: adjacent, bordering to, 1
ποιητέος, -α, -ον: to be made or done, 4
πρό-θυμος, -ον: eager, zealous; ready, 6
προσ-κτάομαι: to win over, gain besides, 3
Σάκαι, αἱ: Sacae, 6
σημαίνω: to show, indicate, declare, 9
τίμιος, -η, -ον: honored, 1
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
ὑπ-εξ-αιρέω: to take away from, remove, 1
ὑπο-λείπω: to leave behind; fail, 2
Φρύξ, -υγός, ὁ: a Phrygian, 8
χαρίζομαι: to do a favor, gratify, indulge, 2
ὧδε: in this way, so, thus, 17

---

1 ἀγαθὰ τοσάδε: *this many benefits*; 'goods"
ἐν αὐτοῖσι: *among them*; i.e. Athenians
2 εἰ καταστρεψόμεθα, ἀποδέξομεν: *if we subdue*...fut. more vivid condition (fut., fut)
νέμονται: *inhabits*; 'are assigned to settle'
4 ἀποδέξομεν: fut. ἀπο-δέκομαι (Att. δέχ)
Διός: *of Zeus*; gen. sg. Ζεύς
5 γὰρ δὴ: *for in fact*
γε: emphasizes preceding word
κατόψεται: fut. deponent κατ-οράω
6 τῇ ἡμετέρῃ: supply χώρῃ, with ὁμουρέω
7 θήσω: *will make (acc) (acc)*; fut. τίθημι
διεξελθὼν: nom. sg. aor. pple διεξ-έρχομαι
8 ὧδε ἔχειν: *that it is so*; 'it holds thus,' ἔχω + adv. is often translated as 'to be' + adj.
πόλιν: *that no city*...; subject of pass. inf.
9 τὸ: *which*…; nom. sg. relative, after ἔθνος
οἷόν τε ἔσται: *will be able*; 'will be the sort to' common idiom, οἷος τε + form of εἰμί, here future; subject is neuter τό
ἡμῖν ἐλθεῖν: *to come to battle with us*; idiom
10 τοῦτων…ὑπεξαραιρήμενων: gen. abs. pf. pple (reduplicated stem) ὑπ-εξ-αιρέω
τῶν: *which*..; acc. τὰ attracted into gen.
11 οἵ τε αἴτιοι…οἵ τε ἀναίτιοι: *both those… and those*
ἕξουσι: *will bear*; 3rd pl. fut. ἔχω
12 ἄν…χαρίζοισθε: *you would*...; potential opt
μοι: *me*; dat. object of χαρίζοισθε
13 ἐπεαν σημήνω, χρήσει: *whenever*...; aor. subj. and fut., equal to a future more vivid
ἐς τὸν: *at which (time)*; relative clause
14 χρήσει: fut. of the impersonal χρή
παρεῖναι: inf. πάρ-ειμί
ὅς ἂ…ἥκῃ: *whoever comes*; subj. ἥκω
15 κάλλιστα: with pf pple παρεσκευασμένον
δώσω: 1st sg. fut. δίδωμι
οἱ: *to him*; dat. sg. μιν, 3rd person pronoun
τὰ: *which*; relative subject of νομίζεται
16 ποιητέα…ἐστὶ: *are to be done*; verbal adj. + εἰμί expresses necessity or obligation
19 εἴπας: nom. sg. aor. pple εἶπον
20 οὐ μοῦνον…ἀλλὰ καὶ: *not only…but also*
21 ἐσομένων: *of (Persians) going to be*; εἰμί
ἐπίκεο: ἐπίκε(σ)ο; 2nd sg. aor. ἐπ-ίκνεομαι
24 ἂν εἴη: *it would be*; potential opt. εἶη

α ὑπάρξαντας ἀδικίης οὐ τιμωρησόμεθα. τί δείσαντες; κοίην πλήθεος συστροφήν; κοίην δὲ χρημάτων δύναμιν; τῶν ἐπιστάμεθα μὲν τὴν μάχην, ἐπιστάμεθα δὲ τὴν δύναμιν ἐοῦσαν ἀσθενέα· ἔχομεν δὲ αὐτῶν παῖδας καταστρεψάμενοι, τούτους οἳ ἐν τῇ ἡμετέρῃ κατοικημένοι Ἴωνές τε καὶ Αἰολέες
2 καὶ Δωριέες καλέονται. ἐπειρήθην δὲ καὶ αὐτὸς ἤδη ἐπελαύνων ἐπὶ τοὺς ἄνδρας τούτους ὑπὸ πατρὸς τοῦ σοῦ κελευσθείς, καί μοι μέχρι Μακεδονίης ἐλάσαντι καὶ ὀλίγον ἀπολιπόντι ἐς αὐτὰς Ἀθήνας ἀπικέσθαι οὐδεὶς ἠντιώθη
β ἐς μάχην. καίτοι [γε] ἐώθασι Ἕλληνες, ὡς πυνθάνομαι, ἀβουλότατα πολέμους ἵστασθαι ὑπό τε ἀγνωμοσύνης καὶ σκαιότητος. ἐπεὰν γὰρ ἀλλήλοισι πόλεμον προείπωσι, ἐξευρόντες τὸ κάλλιστον χωρίον καὶ λειότατον, ἐς τοῦτο κατιόντες μάχονται, ὥστε σὺν κακῷ μεγάλῳ οἱ νικῶντες ἀπαλλάσσονται· περὶ δὲ τῶν ἐσσουμένων οὐδὲ λέγω ἀρχήν·
2 ἐξώλεες γὰρ δὴ γίνονται· τοὺς χρῆν ἐόντας ὁμογλώσσους κήρυξί τε διαχρεωμένους καὶ ἀγγέλοισι καταλαμβάνειν τὰς διαφορὰς καὶ παντὶ μᾶλλον ἢ μάχῃσι· εἰ δὲ πάντως ἔδεε πολεμέειν πρὸς ἀλλήλους, ἐξευρίσκειν χρῆν τῇ ἑκάτεροι εἰσὶ δυσχειρωτότατοι καὶ ταύτῃ πειρᾶν. τρόπῳ τοίνυν οὐ χρηστῷ Ἕλληνες διαχρεώμενοι, ἐμέο ἐλάσαντος μέχρι Μακεδονίης [γῆς] οὐκ ἦλθον ἐς τούτου
γ λόγον ὥστε μάχεσθαι. σοὶ δὲ δὴ μέλλει τίς, ὦ βασιλεῦ, ἀντιώσεσθαι πόλεμον προφέρων, ἄγοντι καὶ πλῆθος τὸ ἐκ τῆς Ἀσίης καὶ νέας τὰς ἁπάσας; ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων πρήγματα· εἰ δὲ ἄρα ἔγωγε ψευσθείην γνώμῃ καὶ ἐκεῖνοι ἐπαερθέντες ἀβουλίῃ

ἀ-βουλίη, ἡ: poor advise, thoughtlessness, 2
ἄ-βουλος, -ή, -όν: ill-advised or considered, 1
ἀ-γνωμοσύνη, ἡ: folly, pride, senselessness 1
ἀ-δικίη, ἡ: injustice, wrong-doing, 1
Ἀθῆναι, αἱ: Athens, 13
Αἰολεύς, -έως, ὁ: Aeolian, 2
ἀλλήλος, -α, -ον: one another, 8
ἀν-ήκω: to have come up, have reached, 7
ἀντιόομαι: to resist, oppose, 6
ἀπο-λείπω: to leave (off); lack, fail, 5
ἀ-σθενής, -ές: weak; sickly, ill 3
Ἀσίη, ἡ: Asia, 17
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
δείδω: to fear, 12
δια-φορά, ἡ: disagreement, difference, 2
δια-χράομαι: use constantly; destroy (dat) 5
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
δυσ-χείρωτος, -ον: hard to subdue or handle 1
Δωριεύς, -έως, ὁ: Doric, 3
ἔθω: to be accustomed, 7
ἑκάτερος, -α, -ον: each of two, either, 10
ἐξ-ευρίσκω: to find out, discover, 7
ἐξ-ώλης, -ες: utterly destroyed, 1
ἐπ-αείρω: to lift, raise up, incite (**ἐπ-αίρω**) 4
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπ-ελαύνω: to drive upon, 3
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
ἡμέτερος, -α, -ον: our, 12
θράσυς, -εος, ὁ: boldness, daring, 1
ἵστημι: to make stand; set up, stop, 18
Ἴων, Ἴωνος, ὁ: Ionian, 9
καί-τοι: and yet, and indeed, and further 6
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κατ-έρχομαι: to return; descend, 2
κατ-οικέω: to inhabit, dwell in, 5
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
κοῖος, -α, -ον: what sort of, what kind of, 4
λεῖος, -η, -ον: smooth, not obstructed from, 1
Μακεδονίη, ἡ: Macedonia, 4
μέχρι: up to; until, as long as (+ gen.), 16
νικάω: to conquer, defeat, win, 10
ὁμό-γλωσσος, ον: speaking the same tongue 1
πάντως: altogether, by all means, certainly, 7
πατήρ, ὁ: a father, 18
προ-εἶπον: to proclaim, order, say before, 4
προ-φέρω: bring, bring forth, 2
σκαιότης, ητος, ἡ: awkwardness, lefthanded 1
συστροφή, ἡ: mass, twisted mass, gathering, 1
τιμωρέω: to help; avenge, seek vengeance, 17
τοί-νυν: well then; therefore, accordingly, 8
ὑπ-άρχω: begin (gen); be at hand; belong, 14
χρηστός, -ή, -όν: good, worthy, 19
χωρίον, τό: place, spot, region, 14
ψεύδομαι: to lie, cheat, beguile, 4
ὥστε: so that, that, so as to, 18

---

1 **κοίην…συστροφήν**: assume pple δείσαντες
2 **πλήθεος**: uncontracted gen. sg.
τῶν: *of those*; i.e. Athenians
ἐοῦσαν: uncontracted pres. pple εἰμί
4 **τούτους**: in apposition to παῖδας
5 **οἳ**: *who*; relative pronoun
ἐν τῇ ἡμετέρῃ: supply χώρῃ
ἐπειρήθην: 1st sg. aor. pass. dep. πειράω
7 **ἐπὶ**: *against*
ὑπὸ: *by*…;gen. of agent with κελευσθείς
κελευσθείς: nom. sg. aor. pass. pple κελεύω
8 **μοι…ἐλάσαντι…ἀπολιπόντι**: dat. sg. aor. pple ἐλαύνω, ἀπολείπω, obj. of ἠντιώθη
ὀλίγον: *almost*; 'a little,' adverbial acc.
αὐτὰς: *itself*; intensive, Athens is plural
9 **ἠντιώθη**: 3rd sg. aor. pass. dep. ἀντιόομαι
10 **ἐωθασι**: 3rd pl. pf. with pres. sense ἔθω
ὡς: *as*; parenthetical
11 **ἀβουλότατα**: superlative adverb
ἵστασθαι: *to wage*
ὑπό: *out of, because*; + gen. of cause
12 **ἀλλήλοισι**: *against one another*; dat. i.o.
προείπωσι: 3rd pl. aor. subj. προείπον in a general temporal clause
13 **ἐξευρόντες**: aor. pple ἐξ-ευρίσκω
14 **κατιόντες**: pres. pple κατ-έρχομαι
15 **ἐσσουμένων**: *those defeated*; 'those inferior (in battle)' pres. mid. pple
λέγω ἀρχήν: *I am not to start speaking*; 'and I do not speak a beginning'
16 **χρῆν**: *it is necessary*; impf. χρή expresses what ought to have been but still is not
17 **κήρυξί, ἀγγέλοισι**: dat. with δια-χράομαι
καταλαμβάνειν: *to control*; 'lay hold of'
18 **παντὶ…μάχῃσι**: *by*…; both are dat. means
19 **ἔδεε**: uncontracted impf. δεῖ
20 **τῇ…ταύτῃ**: *in which way…in this way*; τῇ is a relative pronoun; dat. of respect
πειρᾶν: pres. inf. πειράω
21 **ἐμέο ἐλάσαντος**: gen. abs., aor. ἐλαύνω
26 **ἐς…θράσεος**: *to this point of boldness*
27 **ψευσθείην**: *I should*…; aor. pass. dep. opt.

ἔλθοιεν ἡμῖν ἐς μάχην, μάθοιεν ἂν ὡς εἰμὲν ἀνθρώπων ἄριστοι τὰ πολέμια. ἔστω δ' ὧν μηδὲν ἀπείρητον· αὐτόματον γὰρ οὐδέν, ἀλλ' ἀπὸ πείρης πάντα ἀνθρώποισι φιλέει γίνεσθαι.'

10 Μαρδόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην ἐπέπαυτο· σιωπώντων δὲ τῶν ἄλλων Περσέων καὶ οὐ τολμώντων γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ, Ἀρτάβανος ὁ Ὑστάσπεος, πάτρως ἐὼν Ξέρξῃ, τῷ δὴ καὶ
α πίσυνος ἐὼν ἔλεγε τάδε. 'Ὦ βασιλεῦ, μὴ λεχθεισέων μὲν γνωμέων ἀντιέων ἀλλήλῃσι οὐκ ἔστι τὴν ἀμείνω αἱρεόμενον ἑλέσθαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρᾶσθαι, λεχθεισέων δὲ ἔστι, ὥσπερ τὸν χρυσὸν τὸν ἀκήρατον αὐτὸν μὲν ἐπ' ἑωυτοῦ οὐ διαγινώσκομεν, ἐπεὰν δὲ παρατρίψωμεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω. ἐγὼ δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ Δαρείῳ ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας οὐδαμόθι γῆς ἄστυ νέμοντας. ὁ δὲ ἐλπίζων Σκύθας τοὺς νομάδας καταστρέψεσθαι ἐμοί τε οὐκ ἐπείθετο, στρατευσάμενός τε πολλοὺς καὶ ἀγαθοὺς τῆς στρατιῆς ἀποβαλὼν
3 ἀπῆλθε. σὺ δὲ, ὦ βασιλεῦ, μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἔτι ἀμείνονας ἢ Σκύθας, οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν λέγονται εἶναι. τὸ δὲ αὐτοῖσι ἔνεστι
β δεινόν, ἐμὲ σοὶ δίκαιον ἐστὶ φράζειν. ζεύξας φῆς τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς τὴν Ἑλλάδα. καὶ δὴ καὶ συνήνεικέ σε ἤτοι κατὰ γῆν ἢ [καὶ] κατὰ θάλασσαν ἐσσωθῆναι, ἢ καὶ κατ' ἀμφότερα· οἱ γὰρ ἄνδρες λέγονται εἶναι ἄλκιμοι, πάρεστι δὲ καὶ σταθμώσασθαι, εἰ στρατιήν γε τοσαύτην σὺν Δάτι καὶ Ἀρταφρένεϊ ἐλθοῦσαν
2 ἐς τὴν Ἀττικὴν χώρην μοῦνοι Ἀθηναῖοι διέφθειραν. οὐκ

ἀγορεύω: to speak, tell, proclaim, 2
ἀδελφεός, ὁ: a brother, 17
αἱρέω: to seize, take; *mid*. choose, 17
ἀ-κήρατος, -η, -ον: unmixed, pure 1
ἀλλήλος, -α, -ον: one another, 8
ἀμείνων, -ον: better, nobler, braver, 12
ἀ-πείρητος, -όν: untried, unattempted, 1
ἀπ-έρχομαι: to go away, depart, 4
ἀπο-βάλλω: to throw off, or away, 2
ἄλκιμος, -η, -ον: strong, stout, 1
Ἀρταφρένης, ὁ: Artaphrenes, 4
Ἀρτοβαζάνης, -ου, ὁ: Artobazanes, 3
ἄστυ, τὸ: a city, town, 15
Ἀττικός, -ή, -όν: Attic, 5
αὐτό-ματος, η, ον: accidental, self-moving, 1
Δάτις, Δάτιος, ὁ: Datis, 4
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
δια-γινώσκω: distinguish, discern exactly 2
δια-φθείρω: to destroy, corrupt, kill, 11
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐλπίζω: to hope for, look for, expect, 7
ἔν-ειμι: be in, on, among, 3
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπι-λεαίνω: to smooth, smooth over, 1
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
Εὐρώπη, ἡ: Europe, 13
ζεύγνυμι: to yoke, join together, 11
ἤ-τοι: either (**ἤ**) in truth…or (**ἤ**), 1
κατα-στρέφω: overturn; *mid*. subdue, 16
μανθάνω: to learn, understand, 18
Μαρδόνιος, ὁ: Mardonios, 1
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
νέμω: to distribute, assign; inhabit, 10
νομάς, νομάδος: nomadic, roaming, 3
οὐδαμο-θι: in no place, nowhere, 3
παρα-τρίβω: to rub beside (for comparison) 1
πάτρως, -ωος, ὁ: uncle, father's brother, 2
πατήρ, ὁ: a father, 18
πειρα, ἡ: an attempt, venture, trial, 1
πίσυνος, -όν: trusting in, relying upon, 3
πρό-κειμαι: to lie before, be proposed, 7
σιωπάω: to be silent, 4
Σκύθης, -ου, ὁ: Scythian, 11
σταθμάομαι: to judge, estimate, conclude, 4
συμ-φέρω: to gather; happens, be expedient, 6
τολμάω: to dare, undertake, endure, 5
Ὑστάσπης, -εος ὁ: Hystaspes, 5
φιλέω: to love; tend to (+ ind.), 16
φράζω: to point out, tell, indicate, 16
χρυσός, ὁ: gold, 5
ὥσπερ: as, just as, as if, 3

---

1 **ἔθλοιεν**: *they should…;* 3rd pl. aor. opt. ἔρχομαι and ψευσθείην are the protasis in a future less vivid (should, would)
ἡμῖν: *to come to battle with us*; cf. 8.γ.3
μάθοιεν ἄν: *would…*; aor. opt. μανθάνομαι is the apodosis of the condition above
εἰμεν: 1st pl. pres. indicative εἰμί
2 **πολέμια**: *in (respect to) war*; acc. of respect
ἔστω: *let….be*; 3rd person imperative εἰμί
3 **οὐδὲν**: *nothing (is)*; subject, add verb
φιλέει: *tend, are inclined to*; subject πάντα
5 **ἐπιλεήνας**: nom. sg. aor. pple ἐπιλεαίνω
6 **ἐπέπαυτο**: plpf. mid. παύω
σιωπώντων…τολμώντων: gen. abs.
7 **τῇ προκειμένῃ**: to the (opinion) being set out; dat. governed by the adj. ἀντίην
8 **ἐὼν**: uncontracted pple εἰμί (Att. ὤν)
Ξέρξῃ: dat. of interest
τῷ: *to whom…*; relative with πίσυνος
9 **μὴ λεχθεισέων…ἀλλήλῃσι**: *if opinions opposing…*; gen. abs. conditional in force
λεχθεισέων: *spoken*; aor. pass. pple λέγω
10 **οὐκ ἔστι**: *it is not possible*; impersonal
τὴν…αἱρεόμενον: *a choice*; 'something being chosen,' pres. pass pple αἱρέω
ἀμείνω: ἀμείνο(ν)α, acc. sg. of ἀμείνων
11 **ἑλεσθαι**: aor. mid. inf. αἱρέω
εἰρημένῃ: *the one spoken*; pf. pass. pple (stem ερ) of ἐρέω; obj. of inf. χράομαι
λεχθεισέων.. ἔστι: parallel to ll. 9-10
12 **ἐπ ἑωυτοῦ**: *in itself*; i.e. by itself, alone
13 **παρατρίψωμεν**: aor. subj. in a general temporal clause, translate as present tense
14 **ἀμείνω**: ἀμείνο(ν)α, acc. sg. of ἀμείνων
15 **ἄνδρας**: in apposition to Σκύθας
οὐδαμόθι γῆς: *in no land*; partitive gen.
16 **ὁ δὲ**: *but he…*; i.e. Darius, noted above
18 **ἀποβαλὼν**: nom. aor. pple ἀπο-βάλλω
19 **ἀπῆλθε**: 3rd sg. aor. ἀπ-έρχομαι
20 **πολλὸν**: *much*; adverb
κατὰ θάλασσάν…γῆν: *by sea…by land*
21 **αὐτοῖσι ἔνεστι**: *is…in them*; ἔν-ειμι
22 **φῂς..ἐλᾶν**: *you claim to march*; ἐλαύνω
24 **καὶ δὴ καὶ**: *and especially*; and indeed also
συνήνεικε: *it happened that*; aor. συμφέρω
26 **πάρεστι**: *it is possible*; + inf. 'it is at hand'

ὧν ἀμφοτέρῃ σφι ἐχώρησε. ἀλλ᾽ ἢν τῇσι νηυσὶ ἐμβάλωσι καὶ νικήσαντες ναυμαχίῃ πλέωσι ἐς τὸν Ἑλλήσποντον καὶ ἔπειτα λύσωσι τὴν γέφυραν, τοῦτο δή, βασιλεῦ, γίνεται
γ δεινόν. ἐγὼ δὲ οὐδεμιῇ σοφίῃ οἰκηίῃ αὐτὸς ταῦτα συμβάλλομαι, ἀλλ᾽ οἷον κοτὲ ἡμέας ὀλίγου ἐδέησε καταλαβεῖν πάθος, ὅτε πατὴρ <ὁ> σὸς ζεύξας Βόσπορον τὸν Θρηίκιον, γεφυρώσας δὲ ποταμὸν Ἴστρον διέβη ἐπὶ Σκύθας. τότε παντοῖοι ἐγένοντο Σκύθαι δεόμενοι Ἰώνων λῦσαι τὸν πόρον, τοῖσι ἐπετέτραπτο ἡ φυλακὴ τῶν γεφυρέων τοῦ Ἴστρου.
2 καὶ τότε γε Ἰστιαῖος ὁ Μιλήτου τύραννος εἰ ἐπέσπετο τῶν ἄλλων τυράννων τῇ γνώμῃ μηδὲ ἠναντιώθη, διέργαστο ἂν τὰ Περσέων πρήγματα. καίτοι καὶ λόγῳ ἀκοῦσαι δεινόν, ἐπ᾽
δ ἀνδρί γε ἑνὶ πάντα τὰ βασιλέος πρήγματα γεγενῆσθαι. σὺ ὧν μὴ βούλευ ἐς κίνδυνον μηδένα τοιοῦτον ἀπικέσθαι μηδεμιῆς ἀνάγκης ἐούσης, ἀλλὰ ἐμοὶ πείθευ· νῦν μὲν τὸν σύλλογον τόνδε διάλυσον· αὖτις δέ, ὅταν τοι δοκέῃ, προσκεψάμενος ἐπὶ σεωυτοῦ προαγόρευε τά τοι δοκέει εἶναι
2 ἄριστα. τὸ γὰρ εὖ βουλεύεσθαι κέρδος μέγιστον εὑρίσκω ἐόν· εἰ γὰρ καὶ ἐναντιωθῆναί τι θέλει, βεβούλευται μὲν οὐδὲν ἧσσον εὖ, ἔσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα· ὁ δὲ βουλευσάμενος αἰσχρῶς, εἴ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα
ε εὕρηκε, ἧσσον δὲ οὐδέν οἱ κακῶς βεβούλευται. ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς κεραυνοῖ ὁ θεὸς οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ οὐδέν μιν κνίζει· ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δένδρεα τὰ τοιαῦτα ἀποσκήπτει τὰ βέλεα· φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. οὕτω δὲ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλίγου διαφθείρεται κατὰ τοιόνδε·

αἰεί: always, forever, in every case, 17
αἰσχρός, -ή -όν: shameful, disgraceful; ugly 2
ἀπο-σκήπτω: to fall down, fall on, 1
αὖτις: back again, later, 8
βέλος, -εος, τό: a arrow, missle, dart, 1
Βόσπορος, ὁ: Bosporus, 2
βούλευμα, ατος, τό: plan, design, purpose, 2
βουλεύω: to deliberate, plan, take counsel, 19
γεφύρη, ἡ: bridge; dam, mound, 9
γεφυρόω: to bridge; dam up, 4
δένδρον, τό: tree; also, **δένδρος, -εος, τό**, 4
δέω: to lack, need; *mid*. want, ask, beg (gen) 7
δια-λύω: to unloose, route, 4
δια-φθείρω: to destroy, corrupt, kill, 11
δι-εργάζομαι: to kill, destroy, 2
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐμ-βάλλω: to board, throw in, put in, 4
ἐναντιόομαι: to oppose, withstand, 4
ἔπειτα: thereupon, then, 8
ἐπ-έπομαι: to pursue, attend to, follow after, 6
ἐπι-τρέπω: to turn over, commit, bequeath, 8
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
εὕρημα -ατος, τό: discovery, piece of luck, 3
εὑρίσκω: to find, discover, devise, invent, 19
ζεύγνυμι: to yoke, join together, 11
ζῷον, τό: a living being, animal, 2
ἥσσων, -ον: less, weaker, inferior, 5
Θρηίκιος, -η, -ον: Thracian, 7
Ἱστιαῖος, -ου, ὁ: Histiaeus, 2
Ἴστρος, ὁ: Danube river (Ister), 2
Ἴων, Ἴωνος, ὁ: Ionian, 9
καί-τοι: and yet, and indeed, and further 6
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κεραυνόω: to strick with a thunderbolt, 2
κέρδος, -εος, τό: profit, advantage, gain, 4
κίνδυνος, ὁ: risk, danger, venture, 4
κνίζω: to provoke, prick, scratch, 3
κολούω: to cut short, dock, curtail, 1
λύω: to loosen, unloose, set free, 4
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μη-δέ: and not, but not, nor, 18
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
Μίλητος, ὁ: Miletus, 1
ναυ-μαχίη, ἡ: sea-battle, 5
νικάω: to conquer, defeat, win, 10
οἰκήιος, -η, -ον: one's own; kin, 6
οἴκημα, -ατος, τό: building, dwelling, 2
ὅταν: ὅτε ἄν, whenever, 1
πάθος, τό: suffering, misfortune; experience 1
παντοῖος, -η, -ον: of all sorts, various, 9
πατήρ, ὁ: a father, 18
πόρος, ὁ: a way, path; means, plenty, 8
προ-αγορεύω: proclaim, tell beforehand, 2
σεωυτοῦ, -ῆς, -οῦ: yourself, 6
σκέπτομαι: to look about, examine, inspect 12
Σκύθης, -ου, ὁ: Scythian, 11
σμικρός, -η, -ον: small, little; insignificant, 18
σοφίη, ἡ: wisdom, skill, judgment, 6
σύλ-λογος, ὁ: an assembly, 2
συμ-βάλλω: contribute; guess, join battle, 11
τύραννος, ὁ: a sovereign, 8
τύχη, ἡ: chance, luck, fortune, success, 6
ὑπερ-έχω: to rise above, be prominent, 3
φαντάζομαι: appear, seem, become visible 4
φιλέω: to love; tend to (+ ind.), 16

---

1 **ὦν…ἐχώρησε**: *(suppose) then (success) did not come to them in both*; dat. of respect
ἢν…ἐμβάλωσι, πλέωσι, λύσωσι: *if…*; aor, and pres. subj., present general condition
4 **οὐδεμιῇ…οἰκηίῃ**: *with no wisdom of my own*
5 **οἷον κοτὲ…ὅτε**: *like time…when*; οἷον adv
ὀλίγου ἐδέησε: *was not far from* + inf.; aor. δέω and gen. of separation
8 **διέβη**: 3rd sg. aor. δια-βαίνω
δεόμενοι Ἰώνων: *begging the Ionians + inf.*
λῦσαι: aor. inf. λύω
9 **τοῖσι**: *to whom*; relative, Ionians antecedent
ἐπετέταπτο: plpf. ἐπιτράπω
10 **εἰ ἐπέσπετο**: *if he had pursued…;* aor.. ἐπ-έπομαι, past contrafactual (past, past +ἄν)
11 **ἠναντιώθη**: aor. pass. dep. ἐναντιόομαι
διέργαστο: *he would have…*; ἄν + plpf.
12 **λόγῳ**: *in speaking (it)*; dat. of respect
13 **ἐπ᾽ ἀνδρί…ἑνὶ**: *in the power of <u>one</u> man*
14 **βούλευ, πείθευ, διάλυσον**: sg. imperatives
16 **τοι δοκέῃ**: *it seems good to you*; pres. subj.
17 **τά**: *what…*; 'the things which,' relative
19 **ἐόν**: *being*; neut. sg. pple εἰμί
(ἐ)θέλει: *it is going to be opposed*; ~μέλλει
βεβούλευται: *it has been deliberated*; pf.
20 **οὐδὲν ἧσσον εὖ**: *no less well*; all adverbs
21 **οἱ**: *him*; dat. sg. μιν object of ἐπ-έπομαι
22 **οἱ**: *by him*; dat. of agent with pf. pass.
23 **ἐᾷ**: *does…allow*; ἐάει, 3rd sg. pres. ἐάω
φαντάζεσθαι: *to show themselves proud*
25 **ἀποσκήπτει..βέλεα**: *his bolts make fall…*
27 **κατὰ**: *in such a way*; 'according to such'…

ἐπεάν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ ἢ βροντήν, δι᾽ 1
ὧν ἐφθάρησαν ἀναξίως ἑωυτῶν. οὐ γὰρ ἐᾷ φρονέειν μέγα
ζ ὁ θεὸς ἄλλον ἢ ἑωυτόν. ἐπειχθῆναι μέν νυν πᾶν πρῆγμα
τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι φιλέουσι γίνεσθαι·
ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι ἀγαθά, εἰ μὴ παραυτίκα δοκέοντα 5
η εἶναι, ἀλλ᾽ ἀνὰ χρόνον ἐξεύροι τις ἄν. σοὶ μὲν δὴ ταῦτα,
ὦ βασιλεῦ, συμβουλεύω· σὺ δέ, ὦ παῖ Γοβρύεω [Μαρδόνιε],
παῦσαι λέγων λόγους ματαίους περὶ Ἑλλήνων οὐκ ἐόντων
ἀξίων φλαύρως ἀκούειν. Ἕλληνας γὰρ διαβάλλων ἐπαείρεις
αὐτὸν βασιλέα στρατεύεσθαι· αὐτοῦ δὲ τούτου εἵνεκα δοκέεις 10
μοι πᾶσαν προθυμίην ἐκτείνειν. μή νυν οὕτω γένηται.
2 διαβολὴ γὰρ ἐστὶ δεινότατον· ἐν τῇ δύο μὲν εἰσὶ οἱ ἀδικέοντες,
εἷς δὲ ὁ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλλων ἀδικέει οὐ
παρεόντι κατηγορέων, ὁ δὲ ἀδικέει ἀναπειθόμενος πρὶν ἢ
ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι 15
ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου καὶ νομισθεὶς πρὸς
θ τοῦ ἑτέρου κακὸς εἶναι. ἀλλ᾽ εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς
ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν
ἤθεσι τοῖσι Περσέων μενέτω, ἡμέων δὲ ἀμφοτέρων παραβαλ-
λομένων τὰ τέκνα, στρατηλάτεε αὐτὸς σὺ ἐπιλεξάμενός τε 20
ἄνδρας τοὺς ἐθέλεις καὶ λαβὼν στρατιὴν ὁκόσην τινὰ
2 βούλεαι. καὶ ἢν μὲν τῇ σὺ λέγεις ἀναβαίνῃ βασιλέϊ τὰ
πρήγματα, κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ αὐτοῖσι καὶ
ἐγώ· ἢν δὲ τῇ ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα πασχόντων, σὺν
3 δέ σφι καὶ σύ, ἢν ἀπονοστήσῃς. εἰ δὲ ταῦτα μὲν ὑπο- 25
δύνειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στράτευμα ἀνάξεις ἐπὶ
τὴν Ἑλλάδα, ἀκούσεσθαι τινὰ φημὶ τῶν αὐτοῦ τῇδε ὑπολει-

ἀ-δικέω: to be unjust, do wrong, injure, 8
ἀνα-βαίνω: to go up, climb, mount, 12
ἀν-άγω: to lead up, put to sea, 11
ἀν-άξιος, -ον: unworthy, not worthy, 4
ἀνα-πείθω: to persuade, convince, 2
ἄπ-ειμι: to be away, be absent, 6
ἀπο-νοστέω: to return, come home, 5
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
βροντή, ἡ: thunder, 7
Γοβρύης, -εω, ὁ: Gobryas (male) 6
δια-βάλλω: to slander, quarrel, cast over, 3
δια-βολή, ἡ: slander, false accusation, 1
δια-φθείρω: to destroy, corrupt, kill, 11
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-μανθάνω: to learn well or thoroughly, 3
ἐμ-βάλλω: to throw in, put in, 4
ἔν-ειμι: be in, on, among, 3
ἐξ-ευρίσκω: to find out, discover, 7
ἐπ-αείρω: to lift, raise up, incite (**ἐπ-αίρω**) 4
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπείγω: to urge on, hasten; *mid*. hurry, 3
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐπ-ίσχω: to wait; hold on, direct to (**ἐπ-έχω**) 6
ζημίη, ἡ: punishment, penalty, 2
ἦθος, -εος, ὁ: custom; accustomed place, 4
κατ-ηγορέω: to accuse, speak against, 2
κτείνω: to kill, slay, kill, slay, 2
Μαρδόνιος, ὁ: Mardonius, 9
μέδιμνος, ὁ: medimnus. 2
νομίζω: believe, consider; be accustomed, 16
ὁκόσος, -η, -ον: how much, many, or great, 4
πάντως: altogether, by all means, certainly, 7
παρ-αυτίκα: immediately, straightaway, 7
παρα-βάλλω: to cast to one side, compare, 2
πάσχω: to suffer, experience, 19
πρίν: until, before, 10
προ-θυμίη, ἡ: eagerness, zeal, readiness, 5
προ-λέγω: to say or order beforehand, 2
σφάλμα, -ατος, τό: a fall, failing, error, 3
στράτευμα, τό: an expedition, campaign, 8
στρατ-ηλατέω: to lead an army, command, 8
συμ-βουλεύω: advise, deliberate together, 16
τέκνον, τό: a child, 9
τίκτω: to beget, bring forth, bear, produce, 4
ὑπο-δύνω: to place underneath; undergo, 2
ὑπο-λείπω: to leave behind; fail, 2
φθείρω: to ruin, waste, destroy, 1
φθονέω: to be jealous, begrudge, refuse, 4
φιλέω: to love; tend to (+ ind.), 16
φλαῦρος, -η, -ον: inferior, trivial, petty, 4
φόβος, ὁ: fear, terror, panic, 2
φρονέω: to think, to be wise, prudent, 7

---

1 **σφι**: *on them*; dat. of compound verb
ἐμβάλῃ: 3rd sg. aor. subj. ἐμβάλλω in a general temporal clause
δι'…ἐφθάρησαν: *are destroyed*; tmesis, 3rd plural gnomic aor. pass. διαφθείρω
2 **ἑωυτῶν**: *of themselves*; modifies ἀναξίως
ἐᾷ: ἐάει, 3rd sg. pres.. ἐάω
φρονέειν μέγα: *to think haughty thoughts*; an idiom, inner accusative,
3 **οὐ ἄλλον ἤ**: *no one other than…*; acc. subj.
ἐπειχθῆναι: *to hasten*; aor. pass. inf ἐπείγω
πᾶν πρῆγμα: acc. dir. object of ἐπειχθῆναι
4 **ἐκ τῶν**: *from which*; relative pronoun
φιλέουσι: *tend, are inclined to*; + inf.
5 **ἐν…ἐπισχεῖν**: *in waiting*; articular inf.
ἀγαθά: *good things*; subj. of 3rd sg. ἐνείμι
6 **εἰ μὴ…ἄν**: *if (one would) not (find things) seeming to be (good) at present, then over time one would find (them)*; significant ellipsis; aor. potential opt. ἐξευρίκω
8 **παῖ Γοβρύεω**: *son of Gobryas*; Mardonius
παυσαι: *stop…*; aor. imperative + pple
9 **ἀξίων**: pred. gen. ἄξιος; with pple εἰμί
φλαύρως ἀκούειν: *to be badily spoken of*; inf. pass. in sense, governed by ἀξίων
ἐπαείρεις: *you incite*; 'lift up' (Att. αἴρω)
11 **μή…γένηται**: *let it not be so*; jussive subj.
12 **ἐν τῇ**: *in which*
13 **ὁ ἀδικεόμενος**: *the one suffering wrong*
14 **οὐ παρεόντι κατηγορέων**: *(by) maligning the one not being present*; causal pple
14 **ὁ δὲ**: *the other*; in contrast with ὁ μὲν
ἀναπειθόμενος: *by…*; pass. pple, causal
15 **ἐκμάθῃ**: 3rd sg. aor. subj., general temporal
ἀπεὼν: *being absent from the talk*; pple
τάδε…ἀδικέεται: *suffers these wrongs*
16 **διαβληθείς**: aor. pass. pple διαβάλλω
νομισθεὶς: *being believed*; aor. pass. pple.
19 **μενέτω**: *let…remain*; 3rd person imperative
20 **τοὺς**: *whom*; relative pronoun
22 **ἢν…ἀναβαίνῃ**: *if affairs turn out*; subj.
τῇ: *in what way*; relative, also line 23
23 **κτεινέσθων…πασχόντων**: *let…be killed, let…suffer*; 3rd pl. pass. & acc. imperative
25 **ἀπονοστήσῃς**: *if you return*; aor. subj.
27 **τινὰ…αὐτοῦ**: *one of those here*; acc. subj.

πομένων Μαρδόνιον, μέγα τι κακὸν ἐξεργασάμενον Πέρσας, ὑπὸ κυνῶν τε καὶ ὀρνίθων διαφορεύμενον ἤ κου ἐν γῇ τῇ Ἀθηναίων ἢ σέ γε ἐν τῇ Λακεδαιμονίων, εἰ μὴ ἄρα καὶ πρότερον κατ᾽ ὁδόν, γνόντα ἐπ᾽ οἵους ἄνδρας ἀναγινώσκεις στρατεύεσθαι βασιλέα.'

11 Ἀρτάβανος μὲν ταῦτα ἔλεξε, Ξέρξης δὲ θυμωθεὶς ἀμείβεται τοῖσιδε. Ἀρτάβανε, πατρὸς εἷς τοῦ ἐμοῦ ἀδελφεός· τοῦτό σε ῥύσεται μηδένα ἄξιον μισθὸν λαβεῖν ἐπέων ματαίων. καί τοι ταύτην τὴν ἀτιμίην προστίθημι ἐόντι κακῷ καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἔμοιγε ἐπὶ τὴν Ἑλλάδα αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί· ἐγὼ δὲ καὶ ἄνευ σέο ὅσα περ
2 εἶπα ἐπιτελέα ποιήσω. μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος τοῦ Ἀρσάμεος τοῦ Ἀριαράμνεω τοῦ Τεΐσπεος τοῦ Κύρου τοῦ Καμβύσεω τοῦ Τεΐσπεος τοῦ Ἀχαιμένεος γεγονώς, μὴ τιμωρησάμενος Ἀθηναίους, εὖ ἐπιστάμενος ὅτι εἰ ἡμεῖς ἡσυχίην ἄξομεν, ἀλλ᾽ οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ μάλα στρατεύσονται ἐπὶ τὴν ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι ὑπαργμένοισι ἐξ ἐκείνων, οἳ Σάρδις τε ἐνέπρησαν καὶ ἤλασαν
3 ἐς τὴν Ἀσίην. οὐκ ὦν ἐξαναχωρέειν οὐδετέροισι δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθεῖν πρόκειται ἀγών, ἵνα ἢ τάδε πάντα ὑπὸ Ἕλλησι ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ
4 γὰρ μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. καλὸν ὦν προπεπονθότας ἡμέας τιμωρέειν ἤδη γίνεται, ἵνα καὶ τὸ δεινὸν τὸ πείσομαι τοῦτο μάθω, ἐλάσας ἐπ᾽ ἄνδρας τούτους, τούς γε καὶ Πέλοψ ὁ Φρύξ, ἐὼν πατέρων τῶν ἐμῶν δοῦλος, κατεστρέψατο οὕτω ὡς καὶ ἐς τόδε αὐτοί τε ὦνθρωποι καὶ ἡ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλέονται.'

ἀγών, ὁ: competition, struggle; assembly 2
ἀδελφεός, ὁ: a brother, 17
ἄ-θυμος, -ον: spiritless, desponent, 1
ἀμείβομαι: *mid.* answer; exchange, change, 17
ἀνα-γιγνώσκω: persuade, recognize; read 3
Ἀριαράμνης, -εος ὁ: Ariaramnes, 1
Ἀρσάμης, -εος ὁ: Arsames, 4
Ἀρταβανος, ὁ: Artabanus, 18
Ἀσίη, ἡ: Asia, 17
Ἀχαιμένης, -εος ὁ: Achaemenes, 7
ἀ-τιμίη, ἡ: disgrace, dishonor, derision, 3
γιγνώσκω: come to know, to learn, realize, 5
δια-φορέω: to carry abroad, disperse, spread 1
δυνατός, -ή, -όν: capable, strong, possible, 8
ἐμ-πίμπρημι: to kindle, burn, 2
ἐξ-ανα-χωρέω: to retreat, withdraw, 1
ἐξ-εργάζομαι: to accomplish, perform, 1
ἐπι-τελης, -ές: completed, accomplished, 2
ἐπ-ωνύμιος, -ον: named after (+gen), 1
ἔχθρη, ἡ: hatred, enmity, 15
ἡμέτερος, -α, -ον: our, 12
ἡσυχίη, ἡ: idle, silence, quiet, stillness, rest, 5
θυμόω: to make angry or impassioned, 4
Καμβύσης, -εω, ὁ: Cambyses, 5
κατα-στρέφω: overturn; *mid.* subdue, 16
Κῦρος, -ου, ὁ: Cyrus, 11
κύων, κυνός, ὁ, ἡ: a dog, 15
μανθάνω: to learn, understand, 18
Μαρδόνιος, ὁ: Mardonius, 9
μάταιος, -η, -ον: empty, foolish, ineffectual, 3
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
μή-τε: and not, neither…nor, 14
μισθός, ὁ: payment; wages, pay, 1
ὄρνις, ὄρνιθος, ὁ, ἡ: a bird, 3
οὐδ-έτερος, -η, -ον: neither of the two, 3
πάσχω: to suffer, experience, 19
πατήρ, ὁ: a father, 18
Πέλοψ, -οπος, ὁ: Pelops, 2
πρό-κειμαι: to lie before, be proposed, 7
προ-πάσχω: to suffer first, experience first, 1
προσ-τίθημι: to add, attribute, impose, give, 9
ῥύομαι: to draw to oneself, rescue, 9
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σταθμάομαι: to judge, estimate, conclude, 4
Τεΐσπης, -εος ὁ: Teispes, 1
τιμωρέω: to help; avenge, seek vengeance, 17
ὑπ-άρχω: begin (gen); be at hand; belong, 14
Ὑστάσπης, -εος ὁ: Hystaspes, 5
Φρύξ, -υγὸς, ὁ: a Phrygian, 8

---

1 **Μαρδόνιον**: *that Mardonius*; acc. subject
ἐξεργασάμενον: *carrying out (acc) on (acc)*
2 **ἤ…ἤ**: *either…or*
3 **εἰ μὴ ἄρα**: *unless perhaps (scattered by…)*
κατ᾽ ὁδόν: *along the way*; 'down the road'
4 **γνόντα**: *learning*; pple γινώσκω
ἐπ᾽…ἄνδρας: *against what sort of men…*
ἀναγινώσκεις: *you persuade*
6 **θυμωθεὶς**: nom. aor. pass. pple θυμόω
τοῖσιδε: *with the following (words)*; means
7 **εἷς…ἀδελφεός**: *one brother*; appositive
8 **ῥυσεται**: *will rescue you from*; + inf.
μηδένα…μισθὸν: *some worthy payment*; prohibitive μή: translate positively
ἐπέων ματαίων: *for…*; gen. of the charge
9 **τοι…ἐόντι**: *to you…*; dat. sg., pres. pple εἰμί
10 **μὴτε συστρατεύεσθαι**: *both that (you) not march with (dat)*; μὴ used in a prohibition
αὐτοῦ: *here*
11 **ὅσα περ**: *all the very things that…*; relative
12 **εἶπα**: 1st aorist, 1st sing. εἶπον
μη…εἴην…γεγονώς: *may I not have been born…*; opt. of wish, periphrastic pf. (pf. pple γίνομαι + 1st sg. opt. εἰμί)
τοῦ…τοῦ…τοῦ: *son of…son of…son of…*
15 **μὴ**: *(if) not…*; pple is condition in force
ἡσυχίην ἄξομεν: *we keep idle*; fut. ἄγω
16 **ἀλλὰ…ἐκεῖνοι**: *still, those (will) not (keep idle)*; the apodosis of a future more vivid
τὴν ἡμετέρην: *our (land)*; supply χώρην
17 **χρή σταθμώσασθαι**: *one ought to judge*
18 **ὑπαργμένοισι**: *by things undertaken*; pf.
οἳ Σάρδις: *who…*; relative; Σάρδις acc pl
19 **οὐδετέροισι**: *for either (of us)*; dat. interest
δυνατῶς ἔχει: *is possible*; ἔχω + adv. ('is disposed') is often translated 'to be' + adj.
20 **πρόκειται ἀγών**: *the struggle lies at hand*; + inf., note ἀγών is nom. sg., not a pple
παθεῖν: *to suffer*; aor. inf. πάσχω
21 **ὑπὸ Ἕλλησι**: *under (the power of) Greeks*
22 **μέσον..ἔχθρης**: *there is no middle way of the hostility*
καλὸν γίνεται: *it turns out to be noble*
προπεπονθότας: *those having suffered*; pf
23 **τὸ πείσομαι**: *what…*; relative, fut. πάσχω
24 **μάθω**: *I may learn*; purpose aorist subj.
25 **οὕτω ὡς**: *so that…*; result clause
26 **ἐπώνυμοι**: *are called the same name of*

12 ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο. μετὰ δὲ εὐφρόνη τε ἐγίνετο καὶ Ξέρξην ἔκνιζε ἡ Ἀρταβάνου γνώμη· νυκτὶ δὲ βουλὴν διδοὺς πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. δεδογμένων δέ οἱ αὖτις τούτων κατύπνωσε, καὶ δή κου ἐν τῇ νυκτὶ εἶδε ὄψιν τοιήνδε, ὡς λέγεται ὑπὸ Περσέων· ἐδόκεε ὁ Ξέρξης ἄνδρα οἱ ἐπιστάντα
2 μέγαν τε καὶ εὐειδέα εἰπεῖν 'Μετὰ δὴ βουλεύεαι, ὦ Πέρσα, στράτευμα μὴ ἄγειν ἐπὶ τὴν Ἑλλάδα, προείπας ἁλίζειν Πέρσας στρατόν; οὔτε ὦν μεταβουλευόμενος ποιέεις εὖ οὔτε ὁ συγγνωσόμενός τοι πάρα· ἀλλ' ὥσπερ τῆς ἡμέρης ἐβουλεύσαο ποιέειν, ταύτην ἴθι τῶν ὁδῶν.' τὸν μὲν ταῦτα
13 εἴπαντα ἐδόκεε ὁ Ξέρξης ἀποπτάσθαι, ἡμέρης δὲ ἐπιλαμψάσης ὀνείρου μὲν τούτου λόγον οὐδένα ἐποιέετο, ὁ δὲ Περσέων συναλίσας τοὺς καὶ πρότερον συνέλεξε, ἔλεξέ σφι
2 τάδε. 'Ἄνδρες Πέρσαι, συγγνώμην μοι ἔχετε ὅτι ἀγχίστροφα βουλεύομαι· φρενῶν τε γὰρ ἐς τὰ ἐμεωυτοῦ πρῶτα οὔκω ἀνήκω, καὶ οἱ παρηγορεόμενοι ἐκεῖνα ποιέειν οὐδένα χρόνον μευ ἀπέχονται. ἀκούσαντι μέντοι μοι τῆς Ἀρταβάνου γνώμης παραυτίκα μὲν ἡ νεότης ἐπέζεσε, ὥστε ἀεικέστερα ἀπορρῖψαι ἔπεα ἐς ἄνδρα πρεσβύτερον ἢ χρεόν· νῦν μέντοι
3 συγγνοὺς χρήσομαι τῇ ἐκείνου γνώμῃ. ὡς ὦν μεταδεδογμένον μοι μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἥσυχοι ἔστε.' Πέρσαι μὲν ὡς ἤκουσαν ταῦτα, κεχαρηκότες προσεκύνεον.
14 νυκτὸς δὲ γενομένης αὖτις τὠυτὸ ὄνειρον τῷ Ξέρξῃ κατυπνωμένῳ ἔλεγε ἐπιστάν 'Ὦ παῖ Δαρείου, καὶ δὴ φαίνεαι ἐν Πέρσῃσί τε ἀπειπάμενος τὴν στρατηλασίην καὶ τὰ ἐμὰ ἔπεα ἐν οὐδενὶ ποιησάμενος λόγῳ ὡς παρ' οὐδενὸς ἀκούσας;

ἀγχί-στροφος, -ον: quick-turning, wheeling 1
ἀ-εικής, -ές: unseemly, shameful, 1
ἁλίζω: to collect, gather together, 13
ἀν-ήκω: to have come up, have reached, 7
ἀπ-εῖπον: to speak against, refuse, renounce, 1
ἀπ-έχω: to be absent, distant, keep from, 4
ἀπο-πέτομαι: to fly off or away, 2
ἀπο-ρρίπτω: to throw out or away, 1
Ἀρταβανος, ὁ: Artabanus, 18
αὖτις: back again, later, 8
βουλεύω: to deliberate, plan, take counsel, 19
βουλή, ἡ: plan, deliberation, advice, opinion, 7
ἐμωυτοῦ, -ῆς, -οῦ: myself, 4
ἐπι-λάμπω: to shine on, 1
ἐπι-ζέω: to boil over, 1
εὐ-ειδής, -ές: good-looking, attractive, 1
εὑρίσκω: to find, discover, devise, invent, 19
εὐ-φρόνη, ἡ: night, kindly (time), 3
ἥσυχος, -ον: silent, at rest, idle, 4
κατ-υπνόω: to fall asleep, 5
κνίζω: to provoke, prick, scratch, 3
μέντοι: however, nevertheless; certainly, 13
μετα-βουλεύομαι: to change one's mind, 1
μετα-δοκέω to change one's opinion, 1
νεότης, -ητος ὁ: youthful spirit, youth, 1
νύξ, νυκτός, ἡ: a night, 10
ὄνειρος, τό: a dream, 9
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
οὔ-κω: not yet, 2
πάγχυ: quite, wholly, entirely, altogether, 2
παρ-αυτίκα: immediately, straightaway, 7
παρ-ηγορέω: to address, exhort, speak to, 1
πρέσβυς, -εως, ὁ: old, old (man), 10
προ-εῖπον: to proclaim, order, say before, 4
προσ-κυνέω: to fall and show obeisance, 3
στράτευμα, τό: an expedition, campaign, 8
στρατ-ηλασίη, ἡ: expedition, march, 6
συγ-γινώσκω: to agree, sympathize with, 2
συγ-γνώμη, ἡ: forgiveness, pardon, 1
συλ-λέγω: to collect, gather, 10
συν-αλίζω: to bring together, collect, 2
φρήν, φρενός, ἡ: the midriff; mind, wits, 2
χαίρω: to rejoice, be glad; fare well, 2
χρεόν, τό: necessity, need; (it is) necessary, 8
ὥσπερ: as, just as, as if, 3
ὥστε: so that, that, so as to, 18

---

1 **ἐπὶ τοσοῦτο**: *to such a length*; ταῦτα subj.
μετὰ δὲ: *next, then*; 'after (which)'
2 **νυκτὶ**: *at night*; dat. time when
3 **διδοὺς**: pres. pple δίδωμι, i.e. 'deliberating'
οἱ οὐ πρῆγμα εἶναι: *that it was not his task*; dat. of possession, 3rd person pronoun
4 **δεδογμένων…τούτων**: gen. abs., pf. δοκέω
5 **εἶδε**: *he saw*; 3rd sg. εἶδον
ὡς: *as…*; parenthetical
6 **ἐδόκεε**: *imagined that…*; governs acc + inf.
οἱ: *over him*; dat. compound; pple ἐπίστημι
7 **δὴ**: *accordingly, then*; inferential use
Μετὰ..βουλεύε(σ)αι: tmesis, 2nd sg. pres. μεταβουλεύομαι; in a rhetorical question
8 **προείπας**: 1st aorist nom. pple προεῖπον
10 **ὁ συγγνωσόμενος…πάρα**: *(is there) one present going to forgive you*; παρά is perhaps short for πάρ-εστιν; fut. pple
ὥσπερ…ἐβουλεύσα(σ)ο: *just as…*; 2nd sg.
τῆς ἡμέρης: *during…*; gen. time within
11 **ἴθι**: *proceed along this one of the paths*
12 **εἴπαντα**: 1st aor. pple acc. sg. εἶπον
ἀποπτάσθαι: aor. inf. ἀπο-πέτομαι
13 **λόγον οὐδένα**: *no mention*
14 **Περσέων**: *(those) of the Persians*; partitive
συναλίσας: nom. sg. aor. pple συναλίζω
τοὺς: *whom…*; relative; καὶ is adv. 'also'
15 **ὅτι**: *because*; causal
ἀγχίστροφα: *twisting purposes*; neut. pl.
16 **φρενῶν…πρῶτα**: *to the best of my wits*; partitive gen.; πρῶτα is a superlative
17 **παρηγορευόμενοι**: *those urging (me)*; mid.
οὐδένα χρόνον: *for…*; acc. duration of time
18 **μευ** *from me*; gen. of separation (Att. μου)
ὥστε…ἀπορρῖψαι: *so as to cast out…*; result clause; aor. inf. ἀπορρίπτω
20 **χρεόν**: *(is) fitting*; predicate, supply verb
21 **συγγνοὺς**: nom sg aor. pple συγγινώσκω
χρήσομαι: fut. χράομαι governs dat. obj.
ὡς μεταδεδογμένον: *since it has been changed by me not to march against Greece*; ὡς + pple (here, a gen. absolute) is causal; pf. pass. pple and dat. of agent
22 **ἔστε**: pl. imperative, εἰμί
23 **ὡς**: *when*; temporal
κεχαρηκότες pf. pple χαίρω
24 **νυκτὸς δὲ γενομένης**: gen. abs., γίνομαι
τὠυτὸ: *the same*; Att. ταὐτὸ = τὸ αὐτὸ
ἐπιστάν: pple ἐπίστημι with neut ὄνειρον
25 **φαίνε(σ)αι**: *you appear*; + pple 2nd sg.pres.
27 **ποιησάμενος** *considering my words (in) no account*; **οὐδενὸς**: *from no one (great)*

εὖ νυν τόδ᾽ ἴσθι· ἤν περ μὴ αὐτίκα στρατηλατέῃς, τάδε τοι ἐξ αὐτῶν ἀνασχήσει· ὡς καὶ μέγας καὶ πολλὸς ἐγένεο ἐν ὀλίγῳ χρόνῳ, οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος ἔσεαι.’
15 Ξέρξης μὲν περιδεὴς γενόμενος τῇ ὄψι ἀνά τε ἔδραμε ἐκ τῆς κοίτης καὶ πέμπει ἄγγελον [ἐπὶ] Ἀρτάβανον καλέοντα· ἀπικομένῳ δέ οἱ ἔλεγε Ξέρξης τάδε· Ἄρτάβανε, ἐγὼ τὸ παραυτίκα μὲν οὐκ ἐσωφρόνεον εἴπας ἐς σὲ μάταια ἔπεα
2 χρηστῆς εἵνεκα συμβουλίης· μετὰ μέντοι οὐ πολλὸν χρόνον μετέγνων, ἔγνων δὲ ταῦτα μοι ποιητέα ἐόντα τὰ σὺ ὑπεθήκαο. οὐκ ὦν δυνατός τοι εἰμὶ ταῦτα βουλόμενος ποιέειν· τετραμμένῳ γὰρ δὴ καὶ μετεγνωκότι ἐπιφοιτέον ὄνειρον φαντάζεταί μοι οὐδαμῶς συνεπαινέον ποιέειν με
3 ταῦτα· νῦν δὲ καὶ διαπειλῆσαν οἴχεται. εἰ ὦν θεός ἐστι ὁ ἐπιπέμπων καί οἱ πάντως ἐν ἡδονῇ ἐστι γενέσθαι στρατηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιπτήσεται καὶ σοὶ τὠυτὸ τοῦτο ὄνειρον, ὁμοίως [ὡς] καὶ ἐμοὶ ἐντελλόμενον. εὑρίσκω δὲ ὧδ᾽ ἂν γινόμενα ταῦτα, εἰ λάβοις τὴν ἐμὴν σκευὴν πᾶσαν καὶ ἐνδὺς μετὰ τοῦτο ἵζοιο ἐς τὸν ἐμὸν θρόνον, καὶ ἔπειτα
16 ἐν κοίτῃ τῇ ἐμῇ κατυπνώσειας.’ Ξέρξης μὲν ταῦτά οἱ ἔλεγε· Ἀρτάβανος δὲ οὐ τῷ πρώτῳ οἱ κελεύσματι πειθόμενος, οἷα οὐκ ἀξιεύμενος ἐς τὸν βασιλήιον θρόνον ἵζεσθαι, τέλος ὡς
α ἠναγκάζετο εἴπας τάδε ἐποίεε τὸ κελευόμενον. Ἴσον ἐκεῖνο, ὦ βασιλεῦ, παρ᾽ ἐμοὶ κέκριται, φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι· τά σε καὶ ἀμφότερα περιήκοντα ἀνθρώπων κακῶν ὁμιλίαι σφάλλουσι, κατά περ τὴν πάντων χρησιμωτάτην ἀνθρώποισι θάλασσαν πνεύματα φασὶ ἀνέμων ἐμπίπτοντα οὐ περιορᾶν φύσι τῇ ἑωυτῆς

ἀναγκάζω: to force, compel, require, 15
ἀν-έχω: to uphold, endure; arise, 9
ἀξιόω: to think worthy, deem worthy, 19
Ἀρταβανος, ὁ: Artabanus, 18
αὐτίκα: straightway, at once; presently, 11
γιγνώσκω: come to know, to learn, realize, 5
δια-πειλέω: to threaten violently, 1
δυνατός, -ή, -όν: capable, strong, possible, 8
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐμ-πίπτω: to fall on, fall upon, 2
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
ἐν-τέλλομαι: to command, enjoin, 10
ἔπειτα: thereupon, then, 8
ἐπι-πέμπω: to send to, 1
ἐπι-πέτομαι: to fly over, hover (~**πταμαι**) 1
ἐπι-φοιτέω: to come to or visit repeatedly, 6
εὑρίσκω: to find, discover, devise, invent, 19
ἡδονή, ἡ: pleasure, enjoyment, delight, 3
θρόνος, ὁ: chair, seat, 12
ἵζω: to make sit, place, 8
ἴσος, -η, -ον: equal, like; balanced, 15
κατ-υπνόω: to fall asleep, 5
κοίτη, ἡ: bed; bedstead, 8
κρίνω: to choose, decide; interpret, 3
μάταιος, -η, -ον: empty, foolish, ineffectual, 3
μέντοι: however, nevertheless; certainly, 13
μετα-γινώσκω: to change one's mind, 2
οἴχομαι: to go, go off, depart, 11
ὁμιλίη, ἡ: intercourse, association, company, 1
ὄνειρος, τό: a dream, 9
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
πάντως: altogether, by all means, certainly, 7
παρ-αυτίκα: immediately, straightaway, 7
περι-δείς, -ές: very timid, very fearful, 1
περι-ήκω: to have come around, 1
περι-οράω: to look over, overlook, allow, 1
πνεῦμα, -ατος, τό: gust, a blowing, 1
ποιητέος, -α, -ον: to be made or done, 4
στρατ-ηλασίη, ἡ: expedition, march, 6
στρατ-ηλατέω: to lead an army, command, 8
συμ-βουλίη, ἡ: counsel, advise given, 3
συν-επαινέω: to approve, consent, 1
σφάλλω: to fall; make fall, overthrow; 5
σωφρονέω: to be sound, prudent, temperate, 1
ταπεινός, -η, -ον: low, low-lying; humbled, 1
τάχος, τό: speed, swiftness, 8
τέλος, -εος, τό: end, result; *adv*. at last 18
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
τρέχω: to run (aor. **ἔδραμον**) 4
ὑπο-τίθημι: to place under, propose, suggest, 5
φαντάζομαι: appear, seem, become visible 4
φρονέω: to think, to be wise, prudent, 7
φύσις, -εως ὁ: nature, property, quality 3
χρήσιμος, -η, -ον: useful, serviceable; fit 3
χρηστός, -ή, -όν: good, worthy, 19
ὧδε: in this way, so, thus, 17

---

1 **ἴσθι**: imperative **οἶδα**
ἤν…στρατηλατέῃς: *if you.,.march*; pres. subj. in a future-more-vivid (**ἄν** + subj, fut)
2 **τάδε…ἀνασχήσει**: *these things will arise*; 3rd sg. fut. **ἀν-έχω** with a neuter pl. subject
τοι: *for you*; dat. of interest, Att. **σοι**
ὡς….οὕτω: *as…so*; correllatives
ἐγένε(σ)ο: 2nd sg. aor. mid. **γίνομαι**
3 **κατὰ τάχος**: *with speed*; i.e. quickly
ἔσε(σ)αι: 2nd sg. fut. **εἰμί** (**ἔσομαι**)
4 **τῇ ὄψι**: dat. of means
ἀνά τε ἔδραμε: *leapt up*; 'ran up' likely tmesis, aor. **ἀνα-τρέχω**
6 **οἱ**: *to him*; 3rd person pronoun, dat. sg. **μιν**
τὸ παραυτίκα: *for a moment*
7 **εἴπας**: nom. sg. aor. pple **εἶπον**
9 **μετ-έγνων**: 1st sg. aor. **μεταγινώσκω**
ταῦτα μοι ποιητέα ἐόντα: *that these things are to be done by me*; ind. disc., verbal adj. + **εἰμί** expresses necessity; with dat. agent.
τὰ: *which…*; relative pronoun
10 **ὑπεθήκα(σ)ο**: 2nd sg. aor. mid. **ὑπο-τίθημι**
11 **τετραμμένῳ…μετεγνωκότι**: *having turned back and repented*; pf. with **μοι**
ἐπιφοιτέον: neut. sg. pres pple **ἐπιφοιτέω**
12 **συνεπαινέον**: neut. pres pple **συνεπαινέω**
ποιέειν…ταῦτα: *that I…*; **με** is acc. subj.
13 **διαπειλῆσαν**: aor. pple modifies **ὄνειρον**
14 **οἱ…ἐν ἡδονῇ ἐστι**: *it is in his pleasure that*;
15 **ἐπιπτήσεται**: fut. **ἐπι-πέτομαι**
ὁμοίως: *in the same manner (as)*
17 **ἂν γινόμενα**: *that…would be so; if you should*; pple replaces opt.; future less vivid
18 **ἐνδὺς**: nom. sg. pple **ἐνδυ(ν)ω**
ἵζοιο: *you should sit*; 2nd sg. pres. mid. opt.
κατυπνώσειας: *you should..*; aor. opt.
20 **οἷα**: *inasmuch as*; + pple (**ἀξιόω**) is causal
22 **Ἴσον..κέκριται**: *that is judged fair by me*
25 **περιήκοντα**: *you, having come to both*
κατά: *just as the sea, most serviceable…*
27 **φασὶ**: *they say*; 3rd pl. pres. **φημί**
οὐ περιορᾶν: *gusts do not allow to*; inf.

2 χρᾶσθαι. ἐμὲ δὲ ἀκούσαντα πρὸς σεῦ κακῶς οὐ τοσοῦτο 1
ἔδακε λύπη ὅσον γνωμέων δύο προκειμενέων Πέρσῃσι, τῆς
μὲν ὕβριν αὐξανούσης, τῆς δὲ καταπαυούσης καὶ λεγούσης
ὡς κακὸν εἴη διδάσκειν τὴν ψυχὴν πλέον τι δίζησθαι αἰεὶ
ἔχειν τοῦ παρεόντος, τοιουτέων προκειμενέων γνωμέων ὅτι 5
β τὴν σφαλερωτέρην σεωυτῷ τε καὶ Πέρσῃσι ἀναιρέο. νῦν
ὦν, ἐπειδὴ τέτραψαι ἐπὶ τὴν ἀμείνω, φής τοι μετιέντι τὸν
ἐπ᾽ Ἕλληνας στόλον ἐπιφοιτᾶν ὄνειρον θεοῦ τινος πομπῇ,
2 οὐκ ἐῶντά σε καταλύειν τὸν στόλον. ἀλλ᾽ οὐδὲ ταῦτα
ἐστι, ὦ παῖ, θεῖα· ἐνύπνια γὰρ τὰ ἐς ἀνθρώπους πεπλανη- 10
μένα τοιαῦτα ἐστὶ οἷά σε ἐγὼ διδάξω, ἔτεσι σεῦ πολλοῖσι
πρεσβύτερος ἐών· πεπλανῆσθαι αὗται μάλιστα ἐώθασι [αἱ]
ὄψιες [τῶν] ὀνειράτων, τά τις ἡμέρης φροντίζει. ἡμεῖς δὲ
τὰς πρὸ τοῦ ἡμέρας ταύτην τὴν στρατηλασίην καὶ τὸ κάρτα
γ εἴχομεν μετὰ χεῖρας. εἰ δὲ ἄρα μή ἐστι τοῦτο τοιοῦτον 15
οἷον ἐγὼ διαιρέω, ἀλλά τι τοῦ θείου μετέχον, σὺ πᾶν αὐτὸς
συλλαβὼν εἴρηκας· φανήτω γὰρ δὴ καὶ ἐμοὶ, ὡς καὶ σοὶ,
διακελευόμενον. φανῆναι δὲ οὐδὲν μᾶλλόν μοι ὀφείλει
ἔχοντι τὴν σὴν ἐσθῆτα ἢ οὐ καὶ τὴν ἐμήν, οὐδέ τι μᾶλλον
ἐν κοίτῃ τῇ σῇ ἀναπαυομένῳ ἢ οὐ καὶ ἐν τῇ ἐμῇ, εἴ πέρ γε 20
2 καὶ ἄλλως ἐθέλει φανῆναι. οὐ γὰρ δὴ ἐς τοσοῦτό γε
εὐηθίης ἀνήκει τοῦτο, ὅ τι δή κοτε ἐστί, τὸ ἐπιφαινόμενόν
τοι ἐν τῷ ὕπνῳ, ὥστε δόξει ἐμὲ ὁρῶν σὲ εἶναι, τῇ σῇ ἐσθῆτι
τεκμαιρόμενον. εἰ δὲ ἐμὲ μὲν ἐν οὐδενὶ λόγῳ ποιήσεται
οὐδὲ ἀξιώσει ἐπιφανῆναι, οὔτε ἣν τὴν ἐμὴν ἐσθῆτα ἔχω οὔτε 25
ἣν τὴν σήν, σὲ δὲ ἐπιφοιτήσει, τοῦτο ἤδη μαθητέον ἔσται·

αἰεί: always, forever, in every case, 17
ἄλλως: otherwise, in another way, 9
ἀμείνων, -ον: better, nobler, braver, 12
ἀν-αιρέω: take up, pick up; *mid*. choose, 5
ἀνα-παύω: to make cease, stop; *mid*., rest, 1
ἀν-ήκω: to have come up, have reached, 7
ἀξιόω: to think worthy, deem worthy, 19
αὐξάνω: to increase, augment, 3
δάκνω: to bite; sting, prick, 1
δι-αιρέω: to divide, define, distinguish, 6
δια-κελεύομαι: to exhort, encourage, 1
διδάσκω: to teach, instruct, 2
δίζημαι: to look for, search, 4
ἔθω: to be accustomed, 7
ἐν-ύπνιον, τό: dream, vision seen in sleep, 7
ἐπειδή: when, after, since, because, 10
ἐπι-φαίνω: to appear, make an appearance, 5
ἐπι-φοιτάω: to come to or visit repeatedly, 6
ἐσθής, -ητος, ἡ: clothing, clothes, 6
εὐ-ήθιη, ἡ: silliness, folly; good nature, 1
κάρτα: very, extremely, strongly, 5
κατα-λύω: to break down, destroy, 2
κατα-παύω: to put an end, cease from, quell 2
κοίτη, ἡ: bed; bedstead, 8
λύπη, ἡ: pain (of body), distress, grief, 4
μαθητέος, -η, -ον: to be learnt, 1
μετ-έχω: to partake of, have share in, 1
μετ-ίημι: to let go, release, relax; give up, 2
οἷος, -α, -ον: alone, 3
ὄνειρος, τό: a dream, (alt. stem **ὀνείρατ**) 9
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
πλανάομαι: to wander (about), 2
πομπή, ἡ: escort, guidance, 4
πρέσβυς, -εως, ὁ: old, old (man), 10
πρό-κειμαι: to lie before, be proposed, 7
σεωυτοῦ, -ῆς, -οῦ: yourself, 5
στόλος, ὁ: expedition, armament voyage, 10
στρατ-ηλασίη, ἡ: expedition, march, 6
συλ-λαμβάνω: to collect, gather together, 4
σφαλερός, -ή, -όν: perilous, apt to make fall, 1
τεκμαίρομαι: to judge by signs, conjecture, 2
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
ὕβρις, ἡ: outrage, insolence, insult, violence, 2
ὕπνος, ὁ: sleep, slumber, 6
φροντίζω: to think, worry, give heed to, 4
ψυχή, ἡ: breath, life, spirit, soul, 12
ὥστε: so that, that, so as to, 18

---

1 **ἀκούσαντα…κακῶς**: *being spoken of badly* 'being heard of badly,' pple. pass. in sense
πρὸς σεῦ: *from you, by you*
οὐ τοσοῦτο…ὅσον: *not as much….as*; acc.
2 **ἔδακε**: aor. δάκνω
γνωμέων…προκειμενέων: gen. abs.
τῆς μὲν…τῆς δὲ: *one opinion…the other*
4 **ὡς κακὸν εἴη**: that it would be bad; opt. εἰμί in indirect discourse in secondary sequence
πλέον: *more*; neut. acc. obj. of inf. ἔχειν
δίζησθαι…ἔχειν: *to seek to have*
5 **τοῦ παρεόντος**: *than…*; gen. of comparison pres. pple πάρ-ειμι following πλέον
τοιουτέων…γνωμέων: abl. abs. returning to the first of many gen. absolutes in line 2
ὅτι: *(grief stung me) because…;* he returns to the contrast he started in line 1
6 **ἀναιρέ(σ)ο**: *you were choosing*; 2nd sg. impf. middle ἀν-αιρέω
7 **τετραψαι**: 2nd sg. pf. mid. τρέπω
ἀμείνω: ἀμείνο(ν)α, acc. sg.; add γνώμην
φης: 2nd sg. pres. φημί
τοι μετιέντι: *to you*; pres. pple μετ-ίημι
8 **ἐπιφοιτᾶν**: inf.
πομπῇ: *on the mission of*; dat. of means
9 **ἐῶντα**: acc. sg. pple ἐάω modifies ὄνειρον
10 **πεπλανημένα**: pf. mid./pass. pple πλανέω
11 **οἷα**: *the sort (of dreams) which*; relative
ἔτεσι: *by many years*; degree of difference
σεῦ: gen. of comparison
12 **αὗται**: *themselves*; intensive with ὄψιες
ἐώθασι: *are accustomed*; pf., pres. sense
13 **τά**: *which…*; relative
ἡμέρης: *during…*; gen. of time within
14 **τὰς…ἡμέρας**: *for…*; acc. duration of time
πρὸ τοῦ: *before this, before*
καὶ τὸ κάρτα: *in fact strongly*
15 **εἴχομεν μετὰ χεῖρας**: idiom, 'we had in hand,' i.e. we were engaged in
τοιοῦτον οἷον: *such as*
16 **τι…μετέχον**: *but (is) something sharing in*; + gen. ; ellipsis, predicate, pple μετ-έχω
17 **εἴρηκας**: 2nd sg. pf. λέγω (stem -ερ)
φανήτω: *let it appear to*; + pple, 3rd sg. imperative φαίνω
15 **ὡς**: *just as*
18 **φανῆναι**: pf. inf. φαίνω
21 **ἐς τοσοῦτο**: *to such a length of foolishness*
24 **ποιήσεται**: *considers me in no account*
26 **μαθητέον ἔσται**: *must be learned*; fut. εἰμι

εἰ γὰρ δὴ ἐπιφοιτήσει γε συνεχέως, φαίην ἂν καὶ αὐτὸς θεῖον εἶναι. εἰ δέ τοι οὕτω δεδόκηται γίνεσθαι καὶ οὐκ οἷά τε αὐτὸ παρατρέψαι, ἀλλ᾽ ἤδη δεῖ ἐμὲ ἐν κοίτῃ σῇ κατυπνῶσαι, φέρε. τούτων ἐξ ἐμεῦ ἐπιτελευμένων φανήτω καὶ ἐμοί. μέχρι δὲ τούτου τῇ παρεούσῃ γνώμῃ χρήσομαι.’
17 τοσαῦτα εἴπας Ἀρτάβανος, ἐλπίζων Ξέρξην ἀποδέξειν λέγοντα οὐδέν, ἐποίεε τὸ κελευόμενον· ἐνδὺς δὲ τὴν Ξέρξεω ἐσθῆτα καὶ ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ὡς μετὰ ταῦτα κοῖτον ἐποιέετο, ἦλθέ οἱ κατυπνωμένῳ τὠυτὸ ὄνειρον τὸ καὶ παρὰ Ξέρξην ἐφοίτα, ὑπερστὰν δὲ τοῦ Ἀρταβάνου εἶπε ταδε·
‘Σὺ δὴ κεῖνος εἶς ὁ ἀποσπεύδων Ξέρξην στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα ὡς δὴ κηδόμενος αὐτοῦ ; ἀλλ᾽ οὔτε ἐς τὸ μετέπειτα οὔτε ἐς τὸ παραυτίκα νῦν καταπροΐξεαι ἀποτρέπων τὸ χρεὸν γενέσθαι, Ξέρξην δὲ τὰ δεῖ ἀνηκουστέοντα παθεῖν, αὐτῷ ἐκείνῳ
18 δεδήλωται.’ ταῦτά τε ἐδόκεε Ἀρτάβανος τὸ ὄνειρον ἀπειλέειν καὶ θερμοῖσι σιδηρίοισι ἐκκαίειν αὐτοῦ μέλλειν τοὺς ὀφθαλμούς. καὶ ὃς ἀμβώσας μέγα ἀναθρώσκει, καὶ παριζόμενος Ξέρξῃ, ὡς τὴν ὄψιν οἱ τοῦ ἐνυπνίου διεξῆλθε ἀπηγεόμενος, δεύτερά οἱ λέγει τάδε. “Ἐγὼ μέν, ὦ βασιλεῦ, οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπὸ ἡσσόνων, οὐκ ἔων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν, μεμνημένος μὲν τὸν ἐπὶ Μασσαγέτας Κύρου στόλον ὡς ἔπρηξε, μεμνημένος δὲ καὶ τὸν ἐπ᾽ Αἰθίοπας τὸν Καμβύσεω, συστρατευόμενος δὲ καὶ Δαρείῳ ἐπὶ Σκύθας. ἐπιστάμενος ταῦτα γνώμην εἶχον ἀτρεμίζοντά σε μακαριστὸν εἶναι πρὸς πάντων ἀνθρώπων. ἐπεὶ δὲ δαιμονίη τις γίνεται ὁρμή, καὶ Ἕλληνας,

Αἰθίοψ, Αἰθίοπος, ὁ: Ethiopian, 5
ἀνα-βοάω: to should aloud, cry aloud, 1
ἀνα-θρῴσκω: to spring up, bound up, 1
ἀν-ηκουστέω: to disobey, not heed, 1
ἀπ-ειλέω: to threaten, force back, 2
ἀπ-ηγέομαι: to lead off, explain, 1
ἀπο-σπεύδω: be eager to prevent, dissuade, 2
ἀπο-τρέπω: to turn away, avert, deter, 1
Ἀρταβανος, ὁ: Artabanus, 18
ἀ-τρεμίζω: to keep quiet, keep idle or still, 2
δαιμόνιος, -η, -ον: god-sent, marvelous, 2
δηλόω: to make clear, show, reveal, 2
δι-εξ-έρχομαι: to go through; recount, 10
εἴκω: to yield, give way, 7
ἐκ-καίω: to burn out, burn completely, 1
ἐλπίζω: to hope for, look for, expect, 7
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
ἐν-ύπνιον, τό: dream, vision seen in sleep, 7
ἐπι-θυμέω: to desire, long for, 4
ἐπι-τελέω: to complete, fulfill, accomplish, 4
ἐπι-φοιτέω: to come to or visit repeatedly, 6
ἐσθής, -ητος, ἡ: clothing, clothes, 6
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
ἡλικίη, ἡ: age, time of life, 3
θερμός, ὁ: hot, warm, 13
θρόνος, ὁ: chair, seat, 12
ἵζω: to make sit, place, 8
Καμβύσης, -εω, ὁ: Cambyses, 5
κατα-προΐξομαι: escape with impunity, 1
κατ-υπνόω: to fall asleep, 5
κήδομαι: to care about, be troubled (gen) 2
κοίτη, ἡ: bed; bedstead, 8
κοῖτος, ὁ: bed; night's sleep, 2
Κῦρος, -ου, ὁ: Cyrus, 1
μακαριστός, ή, όν: very blessed, happy, 1
Μασσαγέται, οἱ: the Massagetae (people), 1
μετ-έπειτα: thereafter, 5
μέχρι: up to; until, as long as (+ gen.), 16
μιμνήσκω: to recall, remember, 5
οἶος, -α, -ον: alone, 3
ὄνειρος, τό: a dream, 9
ὁρμή, ἡ: assault, attack, onset, 3
ὀφθαλμός, ὁ: the eye, 1
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
παρα-τρέπω: to turn aside, avert, 3
παρ-αυτίκα: immediately, straightaway, 7
παρ-ίζω: to side down by or beside 5
πάσχω: to suffer, experience, 19
πίπτω: to fall, fall down, 18
πρήσσω: to do, accomplish, make, act, 10
σίδηριον, τό: iron (tools, implements), irons, 2
Σκύθης, -ου, ὁ: Scythian, 11
στόλος, ὁ: expedition, armed voyage, 10
συν-εχέως: continuously, 1
συστρατεύω: to (join/share in a) campaign, 7
συχνός, -ή, -όν: long, much, many, great, 8
ὑπερ-ίστημι: to stand over (gen) 1
φοιτάω: to go to and fro, visit, 6
χρεόν, τό: necessity, need; (it is) necessary, 8

---

1 **φαίην ἄν**: *I would say*; potential opt. φημί 'being heard of badly,' pple. pass. in sense
2 **δεδόκηται**: *it has been decided*; pf. pass.
τοι: *by you*; dat. of reference or dat. agent
οἷά τε: *is possible*; οἷός τε + form of εἰμί (here missing) is often translated 'to be able' or 'to be possible'
3 **παρατρέψαι**: aor. inf. παρα-τρέπω
ἐμὲ...κατυπνῶσαι: *that I...*; aor. inf.
4 **φέρε**: *come now!*; imper. to grab attention
τούτων...: gen. absolute
φανήτω: *let it appear*; 3rd sg. imperative
5 **παρεούσῃ**: *present*; pple πάρ-ειμι
6 **εἴπας**: 1st aor. nom. sg. pple εἶπον
ἀποδέξειν: *to show*; fut. ἀπο-δεικνυμι
λέγοντα οὐδὲν: *saying nothing (important)*
7 **ἐνδὺς**: nom. sg. pple ἐνδυ(ν)ω
ὡς: *when*; temporal
9 **ἦλθε**: 3rd sg. aor. ἔρχομαι
οἱ: *to him*
τὠυτο: *the same*; Att. ταὐτὸ, τὸ αὐτὸ
τὸ καὶ: *which also...*; relative
10 **ὑπερστάν**: neut. sg. aor. pple ὑπερ-ίστημι
εἶπε: 3rd sg. aor. εἶπον
11 **Σὺ**: *you (are)*; supply the linking verbs
ὡς: *since you*; ὡς + pple expresses cause
αὐτοῦ: *for him*; pple governs a gen.
ἐς το μετέπειτα, παραυτίκα: *in the future, at the present*; 'the hereafter,' 'immediate'
καταπροΐξε(σ)αι: 2nd sg. fut.
13 **τὸ χρεὸν γενέσθαι**: *what has to* be; 'the thing being necessary to come to be'
15 **δεδήλωται**: *it has been revealed*; pf. pass.
17 **ὃς ἀμβώσας**: *he shouting*; aor. ἀναβοάω
19 **οἷα..ἰδὼν**: *inasmuch as seeing*; cf. line 11
20 **ὑπὸ ἡσσόνων**: *because of the inferior*
21 **ἔων**: *allowing you to yield all*; ἐάω
22 **μεμνημένος**: *having recalled*; pf. mid.

ὡς οἶκε, φθορὴ τις καταλαμβάνει θείλατος, ἐγὼ μὲν καὶ αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι, σὺ δὲ σήμηνον μὲν Πέρσῃσι τὰ ἐκ τοῦ θεοῦ πεμπόμενα, χρᾶσθαι δὲ κέλευε τοῖσι ἐκ σέο πρώτοισι προειρημένοισι ἐς τὴν παρασκευήν, ποίεε δὲ οὕτω ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεή-
4 σει μηδέν. τούτων δὲ λεχθέντων, ἐνθαῦτα ἐπαερθέντες τῇ ὄψι, ὡς ἡμέρη ἐγένετο τάχιστα, Ξέρξης τε ὑπερετίθετο ταῦτα Πέρσῃσι, καὶ Ἀρτάβανος, ὃς πρότερον ἀποσπεύδων μοῦνος ἐφαίνετο, τότε ἐπισπεύδων φανερὸς ἦν.

19 Ὁρμημένῳ δὲ Ξέρξῃ στρατηλατέειν μετὰ ταῦτα τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ μάγοι ἔκριναν ἀκούσαντες φέρειν τε ἐπὶ πᾶσαν γῆν δουλεύσειν τέ οἱ πάντας ἀνθρώπους. ἡ δὲ ὄψις ἦν ἥδε· ἐδόκεε ὁ Ξέρξης ἐστεφανῶσθαι ἐλαίης θαλλῷ, ἀπὸ δὲ τῆς ἐλαίης τοὺς κλάδους γῆν πᾶσαν ἐπισχεῖν, μετὰ δὲ ἀφανισθῆναι περὶ τῇ κεφαλῇ κείμενον τὸν στέφανον.
2 κρινάντων δὲ ταῦτα τῶν μάγων, Περσέων τε τῶν συλλεχθέν-των αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν ἑωυτοῦ ἀπελάσας εἶχε προθυμίην πᾶσαν ἐπὶ τοῖσι εἰρημένοισι, θέλων αὐτὸς ἕκαστος τὰ προκείμενα δῶρα λαβεῖν, καὶ Ξέρξης τοῦ στρατοῦ οὕτω ἐπάγερσιν ποιέεται, χῶρον πάντα ἐρευνῶν
20 τῆς ἠπείρου. ἀπὸ γὰρ Αἰγύπτου ἁλώσιος ἐπὶ μὲν τέσσερα ἔτεα πλήρεα παραρτέετο στρατιήν τε καὶ τὰ πρόσφορα τῇ στρατιῇ, πέμπτῳ δὲ ἔτεϊ ἀνομένῳ ἐστρατηλάτεε χειρὶ μεγάλῃ
2 πλήθεος. στόλων γὰρ τῶν ἡμεῖς ἴδμεν πολλῷ δὴ μέγιστος οὗτος ἐγένετο, ὥστε μήτε τὸν Δαρείου τὸν ἐπὶ Σκύθας παρὰ τοῦτον μηδένα φαίνεσθαι, μήτε τὸν Σκυθικόν, ὅτε Σκύθαι Κιμμερίους διώκοντες ἐς τὴν Μηδικὴν [χώρην] ἐσβαλόντες

Αἴγυπτος, ὁ: Egypt, 7
ἅλωσις, -ιος ἡ: capturing, capture, conquest 2
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπο-σπεύδω: be eager to prevent, dissuade, 2
Ἀρταβανος, ὁ: Artabanus, 18
ἀ-φανίζω: to hide, remove from sight, 6
αὐτίκα: straightway, at once; presently, 11
διώκω: to pursue, follow; prosecute, 3
δουλεύω: to be a slave, serve, be subject to, 2
δῶρόν, τό: a gift, present, 5
ἐλαίη, ἡ: the olive-tree, 6
ἐν-δέω: to be lacking, be wanting, 1
ἐπ-αγερσις, -εως, ἡ: a mustering (against), 1
ἐπ-αείρω: to lift, raise up, incite (**ἐπ-αίρω**) 4
ἐπ-ίσχω: to wait; hold on, direct to (**ἐπ-έχω**) 6
ἐπι-σπεύδω: to urge on, be eager for, 1
ἐρευνάω: to search, track, trace, scent out, 2
ἐσ-βάλλω: throw or put into; put on board 11
θαλλός, ὁ: twig, young branch, 1
θε-ήλατος, -η, -ον: god-driven, god-sent, 1
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κεῖμαι: to lie down, 15
Κιμμέριοι, οἱ: Cimmerians, 1
κλάδος, ὁ: shoot, young branch, 1
κρίνω: to choose, decide; interpret, 3
μάγοι, οἱ: magi (dream-interpreters) 3
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μετα-τίθημι: to transpose, change, alter, 1
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
Μηδικος, -η, -ον: Median, of the Mede, 9
μή-τε: and not, neither…nor, 14
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
παρα-δίδωμι: give or hand over, transmit, 6
παρ-αρτέομαι: to equip, fit out, 2
παρα-σκευή, ἡ: preparation, 1
πέμπτος, -η, -ον: fifth, 6
πλήρης, -ες: full, filled, 3
προ-θυμίη, ἡ: eagerness, zeal, readiness, 5
πρό-κειμαι: to lie before, be proposed, 7
προ-λέγω: to say or order beforehand, 2
πρόσ-φορος, η, ον: suitable, fitting, useful, 2
σημαίνω: to show, indicate, declare, 9
Σκύθης, -ου, ὁ: Scythian, 11
Σκύθικος, -η, -ον: Scythian, 1
στέφανος, ὁ: crown, wreath, garland, 1
στεφανόω: to crowne, wreath, honor, 3
στόλος, ὁ: expedition, armed voyage, 10
στρατ-ηλατέω: to lead an army, command, 8
συλ-λέγω: to collect, gather, 10
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τέσσερες, -α: four, 12
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
τρίτος, -η, -ον: the third, 18
ὑπερ-τίθημι: to set over, communicate 3
ὕπνος, ὁ: sleep, slumber, 6
φανερός, -ή, -όν: visible, clear, evident, 2
φθορή, ἡ: destruction, ruin, 2
ὥστε: so that, that, so as to, 18

---

1 **ὡς οἶκε**: *as it seems reasonable*; Att. ἔοικε
τράπομαι: *I am changed*; 'turned,' pass.
2 **σήμηνον**: aor. imperative sg. σημαίνω
4 **τοῖσι…προειρημένοισι**: *orders*; 'things ordered'; pf. pass. προ-λέγω (stem ερ-)
ἐς: *for…*; expressing purpose
5 **ποίεε**: uncontracted imperative
ὅκως: *that…*; + fut. ind. in a clause of effort
τοῦ…παραδιδόντος: gen. absolute
τῶν σῶν: *from your affairs*; gen. separation
ἐνδεήσει: fut ἐν-δέω, μηδὲν is subject
6 **λεχθέντων**: gen. absolute, aor. pass. λέγω
ἐπαερθέντες: *having been incited*; aor. pass. pple ἐπ-αείρω with dat. of means
7 **ὡς…τάχιστα**: *as soon as*
9 **ἦν**: 3rd sg. impf. εἰμί
10 **ὁρμημένῳ**: *hastening to*; mid. ὁρμάω
11 **τὴν**: *which..*; relative, antecedent **ὄψις**
ἔκριναν: 3rd pl. aor. κρινάω
12 **φέρειν ἐπὶ**: *to refer to the entire earth*
δουλεύσειν: *will be a slave to (dat)*; fut.
οἱ: *to him*; i.e. to Xerxes, 3rd sg. pronoun
13 **ἐστεφάνῶσθαι**: pf. pass. inf. στεφανόω
14 **ἐπισχεῖν**: *cling over*; κλάδους is acc. subj.
15 **μετὰ δὲ**: *then, next*; 'after (which)'
ἀφανισθῆναι: *disappeared*; aor. pass. dep.
16 **κρινάντων…μάγων**: gen. absolute
Περσέων…συλλεχθέντων: partitive gen., aor. pass. pple συλλέγω
17 **ἐς τὴν ἀρχὴν**: *to his own realm*
ἀπελάσας: nom. aor. pple ἀπ-ελαύνω
18 **εἶχε**: impf. ἔχω
ἐπὶ…εἰρημένοισι *for the things said*; pf. pass. λέγω (stem ἐρ) expressing motive
21 **ἐπὶ**: *over*
23 **ἀνομένῳ**: *in the 5th year advancing*; ἄνω
24 **στόλων**: *of the expeditions*; partitive gen.
τῶν…ἴδμεν: *which we know*; 1st pl. οἶδα
πολλῷ: *by far*; dat. degree of difference

σχεδὸν πάντα τὰ ἄνω τῆς Ἀσίης καταστρεψάμενοι ἐνέμοντο, τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτιμωρέετο, μήτε κατὰ τὰ λεγόμενα τὸν Ἀτρειδέων ἐς Ἴλιον μήτε τὸν Μυσῶν τε καὶ Τευκρῶν τὸν πρὸ τῶν Τρωικῶν γενόμενον, οἳ διαβάντες ἐς τὴν Εὐρώπην κατὰ Βόσπορον τούς τε Θρήικας κατεστρέψαντο πάντας καὶ ἐπὶ τὸν Ἰόνιον πόντον κατέβησαν μέχρι τε
21 Πηνειοῦ ποταμοῦ τὸ πρὸς μεσαμβρίης ἤλασαν. αὗται αἱ πᾶσαι οὐδ᾽ εἰ ἕτεραι πρὸς ταύτῃσι γενόμεναι στρατηλασίαι μιῆς τῆσδε οὐκ ἄξιαι. τί γὰρ οὐκ ἤγαγε ἐκ τῆς Ἀσίης ἔθνος ἐπὶ τὴν Ἑλλάδα Ξέρξης; κοῖον δὲ πινόμενόν [μιν]
2 ὕδωρ οὐκ ἐπέλιπε, πλὴν τῶν μεγάλων ποταμῶν; οἳ μὲν γὰρ νέας παρείχοντο, οἳ δὲ ἐς πεζὸν ἐτετάχατο, τοῖσι δὲ ἵππος προσετέτακτο, τοῖσι δὲ ἱππαγωγὰ πλοῖα ἅμα στρατευομένοισι, τοῖσι δὲ ἐς τὰς γεφύρας μακρὰς νέας παρέχειν, τοῖσι δὲ
22 σῖτά τε καὶ νέας. καὶ τοῦτο μέν, ὡς προσπταισάντων τῶν πρώτων περιπλεόντων περὶ τὸν Ἄθων, προετοιμάζετο ἐκ τριῶν ἐτέων κου μάλιστα τὰ ἐς τὸν Ἄθων. ἐν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ὅρμεον τριήρεες· ἐνθεῦτεν δὲ ὁρμώμενοι ὤρυσσον ὑπὸ μαστίγων παντοδαποὶ τῆς στρατιῆς, διάδοχοι δ᾽ ἐφοίτων· ὤρυσσον δὲ καὶ οἱ περὶ τὸν Ἄθων κατοικημένοι.
2 Βουβάρης δὲ ὁ Μεγαβάζου καὶ Ἀρταχαίης ὁ Ἀρταίου ἄνδρες Πέρσαι ἐπέστατεον τοῦ ἔργου. ὁ γὰρ Ἄθως ἐστὶ ὄρος μέγα τε καὶ ὀνομαστόν, ἐς θάλασσαν κατῆκον, οἰκημένον ὑπὸ ἀνθρώπων. τῇ δὲ τελευτᾷ ἐς τὴν ἤπειρον τὸ ὄρος, χερσονησοειδές τε ἐστὶ καὶ ἰσθμὸς ὡς δυώδεκα σταδίων· πεδίον δὲ τοῦτο καὶ κολωνοὶ οὐ μεγάλοι ἐκ θαλάσσης τῆς

Ἄθως, -ω ὁ: Mt. Athos, 6
Ἀρταίος, ὁ: Artaeus, 2
Ἀρταχαίης, ὁ: Artachaees, 5
Ἀσίη, ἡ: Asia, 17
Ἀτρείδης, ὁ: son of Atreus, 1
Βόσπορος, ὁ: Bosporus, 2
Βουβάρης, ὁ: Bubares, 1
γεφύρη, ἡ: bridge; dam, mound, 9
διάδοχος, ὁ: successor, 1
δυώ-δεκα: twelve, 6
εἵνεκα: for the sake or because of, (gen.), 18
Ἐλαιός, ὁ: Elaeus (place) 2
ἐνθεῦτεν: from here, from there (ἐντεῦθεν) 12
ἐπι-λείπω: to fail, run dry; leave behind, 5
ἔργον, τό: work, task, deed, act, 12
Εὐρώπη, ἡ: Europe, 13
Θρήϊκιος, -η, -ον: Thracian, 7
Ἴλιος, ὁ: Ilium, Troy, 2
Ἰόνιος, -η, -ον: Ionian, 1
ἱππ-αγωγός, -όν: horse-transporting, 2
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
κατα-βαίνω: to come down, step down, 4
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κατ-ήκω: to have come down; be fitting, 6
κατ-οικέω: to inhabit, dwell in, 5
κολωνός, ὁ: a hill, 5
κοῖος, -α, -ον: what sort of, what kind of, 4
μάκρος, -ους, τό: length, 12
μαστιγόω: to whip, flog, 5
μέχρι: up to; until, as long as (+ gen.), 16
Μεγάβαζος, ὁ: Megabazus, 4
μεσημβρίη, ἡ: mid-day, noon; south, 6
μή-τε: and not, neither…nor, 14
Μυσοι, οἱ: Mysians, 3
νέμω: to distribute, assign; inhabit, 10
ὀνομαστός, -ή, -όν: notable, well-named, 10
ὀρύσσω: to dig, dig through, quarry, 7
παντο-δαπός, -ή, -όν: of every kind, 1
περι-πλέω: to sail around, 2
Πηνειός, ὁ: Peneus river, 9
πίνω: to drink, 4
πλοῖον τό: ship, vessel, 11
πόντος, ὁ: sea, 5
προ-ετοιμάζω: to get ready before, 1
προσ-πταίω: strike against, stumble; lose, 3
προσ-τάσσω: to order, assign, appoint, 6
σῖτος, ὁ: to grain, food (pl. σῖτα, τὰ) 10
στρατ-ηλασίη, ἡ: expedition, march, 6
σχεδόν: nearly, almost, just about, 1
τελευτάω: to end, complete, finish; die, 18
Τευκροί, οἱ: Teucrians, 3
τιμωρέω: to help; avenge, seek vengeance, 17
τριήρης, ὁ: a trireme, 7
Τρωικοί, οἱ: the Trojans, 1
ὕδωρ, ὕδατος, τό: water, 15
χερσόνησο-ειδής, -ές: peninsula-like, 1
Χερσόνησος, ὁ: Chersonese (peninsula), 3
φοιτάω: to go to and fro, visit, 6

---

1 πάντα τὰ ἄνω: *all the upper lands*
ἐνέμοντο: *inhabited*; impf. νέμομαι
2 τῶν εἵνεκεν: *for the sake of which*; relative
ὕστερον: *later*; adverbial acc.
κατὰ: *according to*
3 τὸν Ἀτρειδέων: *the (expedition) of the sons of Atreus*
τὸν Μυσῶν: *the (expedition) of the Mysians*
4 τὸν…γενόμενον: *the (expedition) having occurred before the Trojan (war)*
διαβάντες: nom. pl. aor. pple διαβάλλω
5 κατὰ: *over*
κατέβησαν: 3rd pl. aor. κατα-βαίνω
7 τὸ πρὸς μεσαμβρίης: *to the south* adverbial acc.
ἤλασαν: 3rd pl. aor. ἐλαύνω
8 οὐδ' εἰ: *not even if…*
πρὸς: *in addition to* + dat.
γενόμεναι: *having occurred*; aor.
9 μιῆς τῆσδε οὐκ ἄξιαι: *(are) not worthy of this here one (expedition);* supply a linking verb; gen. governed by the predicate ἄξιαι
τί…ἔθνος: *what people…*?; interrogative
ἤγαγε: 3rd sg. aor. ἄγω
10 κοῖον…ὕδωρ: interrog. adj., neuter subject
11 οἳ μὲν…οἳ δὲ: *some (peoples)…others*
12 ἐτετάχατο: plpf. pass. τάσσω
6 τοῖσι δὲ…τοῖσι δὲ…τοῖσι δὲ: *to others… and to others…and to others… to others*
13 προσετέτακτο: plpf. προσ-τάσσω, see 12
πλοῖα: *transports*; supply προσετέτακτο
ἅμα…: *accompanying those marching*
14 ἐς: *for…*; expressing purpose
15 καὶ τοῦτο μέν: *in this respect*; acc. respect
ὡς..: *since*; ὡς + pple (gen. abs.) causal
17 τὰ ἐς τὸν Ἄθων: *affairs for Mt. Athos*
18 ὅρμεον: 3rd pl. unaugmented impf. ὁρμέω
ὁρμώμενοι…ὑπο: *set in motion by…*; cause
22 ἐπέστατεον: *were set over*; impf ἐπίστημι
25 ὡς δυώδεκα *about twelve*; approximation

3 Ἀκανθίων ἐπὶ θάλασσαν τὴν ἀντίον Τορώνης. ἐν δὲ 1
τῷ ἰσθμῷ τούτῳ, ἐς τὸν τελευτᾷ ὁ Ἄθως, Σάνη πόλις
Ἑλλὰς οἴκηται, αἳ δὲ ἐκτὸς Σάνης, ἔσω δὲ τοῦ Ἄθω οἰκη-
μέναι, τὰς τότε ὁ Πέρσης νησιώτιδας ἀντὶ ἠπειρωτίδων
ὅρμητο ποιέειν· εἰσὶ [δὲ] αἵδε, Δῖον, Ὀλόφυξος, Ἀκρόθωον, 5
33 Θύσσος, Κλεωναί. πόλιες μὲν αὗται αἳ τὸν Ἄθων νέ-
μονται, ὤρυσσον δὲ ὧδε δασάμενοι τὸν χῶρον οἱ βάρβαροι
κατὰ ἔθνεα· κατὰ Σάνην πόλιν σχοινοτενὲς ποιησάμενοι,
ἐπείτε ἐγίνετο βαθέα ἡ διῶρυξ, οἳ μὲν κατώτατα ἑστεῶτες
2 ὤρυσσον, ἕτεροι δὲ παρεδίδοσαν τὸν αἰεὶ ἐξορυσσόμενον 10
χοῦν ἄλλοισι κατύπερθε ἑστεῶσι ἐπὶ βάθρων, οἳ δ' αὖ ἐκ-
δεκόμενοι ἑτέροισι, ἕως ἀπίκοντο ἐς τοὺς ἀνωτάτω· οὗτοι
δὲ ἐξεφόρεόν τε καὶ ἐξέβαλλον. τοῖσι μέν νυν ἄλλοισι
πλὴν Φοινίκων καταρρηγνύμενοι οἱ κρημνοὶ τοῦ ὀρύγματος
πόνον διπλήσιον παρεῖχον· ἅτε γὰρ τοῦ τε ἄνω στόματος 15
καὶ τοῦ κάτω τὰ αὐτὰ μέτρα ποιευμένων, ἔμελλέ σφι τοιοῦτον
3 ἀποβήσεσθαι. οἱ δὲ Φοίνικες σοφίην ἔν τε τοῖσι ἄλλοισι
ἔργοισι ἀποδείκνυνται καὶ δὴ καὶ ἐν ἐκείνῳ· ἀπολαχόντες γὰρ
μόριον ὅσον αὐτοῖσι ἐπέβαλλε, ὤρυσσον τὸ μὲν ἄνω στόμα
τῆς διώρυχος ποιεῦντες διπλήσιον ἢ ὅσον ἔδεε αὐτὴν τὴν διώ- 20
ρυχα γενέσθαι, προβαίνοντος δὲ τοῦ ἔργου συνῆγον αἰεί· κάτω
4 τε δὴ ἐγίνετο καὶ ἐξισοῦτο τοῖσι ἄλλοισι τὸ ἔργον. ἐνθαῦτα
δὲ λειμών ἐστι, ἵνα σφι ἀγορή τε ἐγίνετο καὶ πρητήριον·
σῖτος δέ σφι πολλὸς ἐφοίτα ἐκ τῆς Ἀσίης ἀληλεσμένος.
24 ὡς μὲν ἐμὲ συμβαλλόμενον εὑρίσκειν, μεγαλοφροσύνης 25
εἵνεκεν αὐτὸ Ξέρξης ὀρύσσειν ἐκέλευε, ἐθέλων τε δύναμιν
ἀποδείκνυσθαι καὶ μνημόσυνα λιπέσθαι· παρεὸν γὰρ μηδένα
πόνον λαβόντας τὸν ἰσθμὸν τὰς νέας διειρύσαι, ὀρύσσειν

ἀγορή, ἡ: marketplace, an assembly, 5
Ἄθως, -ω ὁ: Mt. Athos, 6
αἰεί: always, forever, in every case, 17
Ἀκανθίοι, οἱ: the Acanthians, 4
Ἀκρόθῳον, τό: Acrothoön (a town), 1
ἀλέω: to grind, 1
ἀπο-βαίνω: to turn out, result; disembark, 4
ἀπο-λαγχάνω: to receive or obtain (by lot), 1
Ἀσίη, ἡ: Asia, 17
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
αὖ: again; on the contrary, on the other hand, 6
βάθρον, τό: stage, scaffold, base, stand, 2
βαθύς, -έα, -ύ: deep, tall, 2
δατέομαι: to divide, distribute, assign 5
δι-ειρύω: draw or drag (acc) across (acc), 1
δι-πλήσιος, -η, -ον:: twofold, double, 3
Δῖον, τό: Dion, 1
διῶρυξ, -υχος, ἡ: a trench, canal, conduit, 17
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-βάλλω: to throw out of, cast away, 2
ἐκ-δέκομαι: to receive from, take up, 3
ἐκτός: outside; out of, far from (+ gen.), 1
ἐκ-φορέω: to carry out, 1
ἐξ-ισόω: to make equal to (dat) 2
ἐξ-ορύσσω: to dig out, 1
ἐπι-βάλλω: to throw or strike upon, 2
ἔργον, τό: work, task, deed, act, 12
ἔσω: inwards, inside (+ gen.) 4
εὑρίσκω: to find, discover, devise, invent, 19
ἕως: until, as long as, 6
ἠπειρώτης, ὁ: mainlander, living on land, 3
Θύσσος, ὁ: Thyssus, 1
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
ἵστημι: to make stand; set up, stop, 18
κατα-ρρήγνμι: to break down, cave in, 1
κατ-ύπερθε: from above, above, on top, 5
κάτω: down, below, 18
Κλεωναί, αἱ: Klenae (a town), 1
κρημνός, ὁ: sheer edge (of a trench or bank) 1
λειμών, -ῶνος, ὁ: meadow, mead, field, 1
μεγαλο-φροσύνη, ἡ: magnanimity, 2
μέτρον, τό: measure, length, size, 1
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
μνημοσύνη, ἡ: a memorial; remembrance, 4
μόριον, τό: a piece, portion, section, 3
νέμω: to distribute, assign; inhabit, 10
νησιώτης, ὁ: islander, Aegean islander, 4
Ὀλόφυξος, ὁ: Olophyxus, 1
ὄρυγμα, -ατος, τό: moat, trench, ditch, 4
ὀρύσσω: to dig, dig through, quarry, 7
παρα-δίδωμι: give or hand over, transmit, 6
πόνος, ὁ: work, toil, labor, 6
πρητήριον, τό: market, market-place, 1
προ-βαίνω: advance, step forward, 2
Σάνη, ἡ: Sane, 4
σῖτος, ὁ: to grain, food (pl. σῖτα, τὰ) 10
σοφίη, ἡ: wisdom, skill, judgment, 6
στόμα, -ατος, τό: the mouth, 5
συμ-βάλλω: contribute; guess, join battle, 11
συν-άγω: bring together, collect, gather, 4
σχοινο-τενής, -ές: (drawn in) a straight line, 1
τελευτάω: to end, complete, finish; die, 18
Τορώνη, ἡ : Torone (town) 2
Φοίνικες, οἱ: Phoenicians, 12
φοιτάω: to go to and fro, visit, 6
χοῦς, ὁ: dug-out earth, soil, 3
ὧδε: in this way, so, thus, 17

---

1 ἀντίον: + gen. object in attributive position
2 ἐς τὸν: *to which*; relative
3 Ἑλλὰς: *Greek*; elsewhere 'Greece,' this noun is also a fem. adj., modifying πόλις
οἴκηται: *inhabits*; i.e. is located, intransitive
3 αἳ δὲ: *other (cities are)...*; seaward of Sane
ἔσω δὲ: *but inside Athos*; landward of Athos
4 τὰς: *which…*; relative, i.e. cities
ὅρμητο: impf. mid. ὁρμάω
6 αἳ: *which…*; relative
7 δασάμενοι: aor. pple δατέομαι
8 κατὰ ἔθνεα: *by peoples*
κατὰ: *below Sane*; i.e. outside the city
ἐπείτε: ἐπεί
9 οἳ μὲν..ἕτεροι δὲ...οἳ δ᾽: *some..others..others*
κατώτατα: superlative adverb, κάτω
ἑστεῶτες: nom. pl. pf. act. pple ἵστημι
11 ἑστεῶσι: *standing above*;. dat. pl. pf. pple
ἐπὶ βάθρων: *upon bases*; i.e. scaffoldings
12 τοὺς ἀνωτάτω: *those at the topmost*; adv.
13 τοῖσι...ἄλλοισι: *for these others*; interest
ἅτε: *since*; ἅτε + pple (gen abs) is causal
17 ἀποβήσεσθαι: *to turn out*; fut. ἀποβαίνω
18 καὶ δὴ καὶ: *and especially*; and indeed also
20 διπλήσιον ἢ ὅσον: *twice ~~than~~ as much as*
21 συνῆγον: *they narrowed*; brought together
23 ἵνα: *where*; + indicative
24 ἀληλεσμένος: *ground*; pf. pass. ἀλέω
25 ὡς..εὑρίσκειν: *so I find by conjecturing*
27 παρεὸν: *there being no trouble*; acc. abs.

ἐκέλευε διώρυχα τῇ θαλάσσῃ εὖρος ὡς δύο τριήρεας πλέειν ὁμοῦ ἐλαστρεομένας. τοῖσι δὲ αὐτοῖσι τούτοισι, τοῖσί περ καὶ τὸ ὄρυγμα, προσετέτακτο καὶ τὸν Στρυμόνα ποταμὸν
25 ζεύξαντας γεφυρῶσαι. ταῦτα μέν νυν οὕτω ἐποίεε, παρεσκευάζετο δὲ καὶ ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου, ἐπιτάξας Φοίνιξί τε καὶ Αἰγυπτίοισι, καὶ σιτία τῇ στρατιῇ καταβάλλειν, ἵνα μὴ λιμήνειε ἡ στρατιὴ μηδὲ τὰ
2 ὑποζύγια ἐλαυνόμενα ἐπὶ τὴν Ἑλλάδα· ἀναπυθόμενος δὲ τοὺς χώρους καταβάλλειν ἐκέλευε ἵνα ἐπιτηδεότατον εἴη, ἄλλα ἄλλῃ ἀγινέοντας ὁλκάσι τε καὶ πορθμηίοισι ἐκ τῆς Ἀσίης πανταχόθεν. τὸν δὲ ὧν πλεῖστον ἐς Λευκὴν ἀκτὴν καλεομένην τῆς Θρηίκης ἀγίνεον, οἳ δὲ ἐς Τυρόδιζαν τὴν Περινθίων, οἳ δὲ ἐς Δορίσκον, οἳ δὲ ἐς Ἠιόνα τὴν ἐπὶ Στρυμόνι, οἳ δὲ ἐς Μακεδονίην διατεταγμένοι.

26 Ἐν ᾧ δὲ οὗτοι τὸν προκείμενον πόνον ἐργάζοντο, ἐν τούτῳ ὁ πεζὸς ἅπας συλλελεγμένος ἅμα Ξέρξῃ ἐπορεύετο ἐς Σάρδις, ἐκ Κριτάλλων ὁρμηθεὶς τῶν ἐν Καππαδοκίῃ· ἐνθαῦτα γὰρ εἴρητο συλλέγεσθαι πάντα τὸν κατ᾽ ἤπειρον
2 μέλλοντα ἅμα αὐτῷ Ξέρξῃ πορεύεσθαι στρατόν. ὃς μέν νυν τῶν ὑπάρχων στρατὸν κάλλιστα ἐσταλμένον ἀγαγὼν τὰ προκείμενα παρὰ βασιλέος ἔλαβε δῶρα, οὐκ ἔχω φράσαι·
3 οὐδὲ γὰρ ἀρχὴν ἐς κρίσιν τούτου πέρι ἐλθόντας οἶδα. οἱ δὲ ἐπείτε διαβάντες τὸν Ἅλυν ποταμὸν ὡμίλησαν τῇ Φρυγίῃ, δι᾽ αὐτῆς πορευόμενοι ἀπίκοντο ἐς Κελαινάς, ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου, τῷ οὔνομα τυγχάνει ἐὸν Καταρρήκτης, ὃς ἐξ αὐτῆς τῆς ἀγορῆς τῆς Κελαινέων ἀνατέλλων ἐς τὸν Μαίαν-

ἀγινέω: to lead, bring (Att. **ἄγω**), 3
ἀγορή, ἡ: marketplace, an assembly, 5
Αἰγύπτιος, -η, -ον: Egyptian, 8
ἀκτή, ἡ: headland, promontory, 6
Ἅλυς, ὁ: Halys river, 1
ἀνα-δίδωμι: to give up, send up, deliver, 1
ἀνα-πυνθάνομαι: to inquire, ascertain, 1
ἀνα-τέλλω: to rise, spring up, 2
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
Ἀσίη, ἡ: Asia, 17
βύβλινος, -η, -ον: made of papyrus, 3
γεφύρη, ἡ: bridge; dam, mound, 9
γεφυρόω: to bridge; dam up, 4
δια-τάσσω: to arrange, appoint, 6
διῶρυξ, -υχος, ἡ: a trench, canal, conduit, 17
Δορίσκος, ὁ: Doriscus, 6
δῶρόν, τό: a gift, present, 5
ἐλαστρέω: to march, drive (Att. **ἐλαύνω**), 1
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
ἐπιτήδειος, -η, -ον: fitting, suitable, useful, 2
ἐργάζομαι: to work, labor, toil, 6
εὖρος, τό: breadth, width, 6
ζεύγνυμι: to yoke, join together, 11
Ἠιών, -όνος, ἡ: Eion (town), 3
Θρήϊκιος, -η, -ον: Thracian, 7
Καππαδοκίη, ἡ: Cappadocia, 1
κατα-βάλλω: to store, throw down, 4
Καταρρήκτης, ὁ: Cataractes, 1
Κελαιναί, αἱ: Celaenae, 2
κρίσις, ἡ: judgment, decision, 1
Κριτάλλα, τά: Critalla, 1
λευκόλινον, τό: white flax, white linen, 3
λευκός, -ή, -όν: white, bright, brilliant, 14
λιμαίνω: to suffer from hunger, starve, 1
Μαίανδρος, ὁ: Maeander river, 3
Μακεδονίη, ἡ: Macedonia, 4
μη-δέ: and not, but not, nor, 18
ὁλκάς, -αδος, ἡ: freight ship, cargo ship, 4
ὁμιλέω: to join, associate or converse with 2
ὁμοῦ: at the same place, together, 18
ὄρυγμα, -ατος, τό: trench, ditch, moat, 4
παντα-χόθεν: from all places, on every side, 1
παρα-σκευάζω: to prepare, get ready, 15
Περινθίοι, οἱ: Perinthians, 1
πηγή, ἡ: spring (of a river), source, 3
πλεῖστος, -η, -ον: most, greatest, largest, 6
πόνος, ὁ: work, toil, labor, 6
πορθμῆιον, τό: a crossing-place, ferry, 1
πρό-κειμαι: to lie before, be proposed, 7
προσ-τάσσω: to order, assign, appoint, 6
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σιτίον, τό: grain; made of grain, food, bread, 3
στέλλω: to equip, make ready, send, 9
Στρυμών, -ονος ὁ: Strymon river, 6
συλ-λέγω: to collect, gather, 10
τριήρης, ὁ: a trireme, 7
Τυρόδιζα, ἡ: Tyrodiza, 1
ὑπ-αρχος, ὁ: commander (under another), 12
ὑπο-ζύγιον, τό: yoked beasts, 11
Φοίνικες, οἱ: Phoenicians, 12
φράζω: to point out, tell, indicate, 16
Φρύξ, -υγὸς, ὁ: a Phrygian, 8

---

1 **ἐκέλευε**: *he ordered (them)*
2 **τῇ θαλάσσῃ**: *to the sea*; dat. place to which
εὖρος ὡς δύο τριήρεας: *in length about two triremes*; acc. of respect
3 **ὁμοῦ**: i.e. side by side
ἐλαστρεομένας: *driven to sail*; passive pple
τοῖσι...τούτοισι: *to these same (men)*; dat. i. o. of προσετέτακτο 'had been ordered'
3 **τοῖσί**: *to whom...(had been appointed)*;
4 **ζεύξαντας**: *joining...*; modifies missing acc. subj. of γεφυρῶσαι
γεφυρῶσαι: aor. inf.
5 **ὅπλα...βύβλινά**: *cables of both papyrus...*
ἐς: *for...*; expressing purpose
6 **ἐπιτάξας**: nom. sg. aor. pple ἐπιτάσσω
τῇ στρατιῇ: *for the army*; dat. of interest
7 **ἵνα...λιμήνειε**: *so that...might not starve*; aor. opt. in a purpose clause, secondary seq.
8 **ἀναπυθόμενος...χώρους**: *having learned the places to store (food)*
9 **καταβάλλειν ἐκέλευε...ἀγινέοντας**: *he ordered those gathering to...*; acc + inf.
ἵνα...εἴη: *where it was…*; not purpose but an opt. replacing indicative in second. seq.
10 **ἄλλα ἄλλῃ**: *different (things) in different ships*; acc. obj., dat. of means
12 **καλεομένην**: *the so-called White Headland*
οἳ δὲ...οἳ δὲ...: *some...others...others*
14 **διατεταγμένοι**: pf. pass. διατάσσω
15 **Ἐν ᾧ... ἐν τούτῳ**: *while...at this (time)*
ὁρμηθεὶς: *having set out*; aor. pass. dep.
εἴρητο: *it was said*; impf. pass.
19 **ὅς**: *who of the leaders…*; partitive gen.
20 **ἐσταλμένον**: *best equipped*; pf. στέλλω
21 **οὐκ ἔχω**: *I am not able*; + inf. (aor. φημί)
26 **τῷ**: *to which happens to be*; dat possess.

δρον ἐκδιδοῖ· ἐν τῇ καὶ ὁ τοῦ Σιληνοῦ Μαρσύεω ἀσκὸς [ἐν τῇ πόλι] ἀνακρέμαται, τὸν ὑπὸ Φρυγῶν λόγος ἔχει ὑπὸ
27 Ἀπόλλωνος ἐκδαρέντα ἀνακρεμασθῆναι. ἐν ταύτῃ τῇ πόλι ὑποκατήμενος Πύθιος ὁ Ἄτους ἀνὴρ Λυδὸς ἐξείνισε τὴν βασιλέος στρατιὴν πᾶσαν ξεινίοισι μεγίστοισι καὶ αὐτὸν Ξέρξην, χρήματά τε ἐπαγγέλλετο βουλόμενος ἐς τὸν πόλε-
2 μον παρέχειν. ἐπαγγελλομένου δὲ χρήματα Πυθίου, εἴρετο Ξέρξης Περσέων τοὺς παρεόντας τίς τε ἐὼν ἀνδρῶν Πύθιος καὶ κόσα χρήματα ἐκτημένος ἐπαγγέλλοιτο ταῦτα. οἱ δὲ εἶπαν ‘Ὦ βασιλεῦ, οὗτος ἐστὶ ὅς τοι τὸν πατέρα Δαρεῖον ἐδωρήσατο τῇ πλατανίστῳ τῇ χρυσέῃ καὶ τῇ ἀμπέλῳ· ὃς καὶ νῦν ἐστι πρῶτος ἀνθρώπων πλούτῳ τῶν ἡμεῖς ἴδμεν
28 μετὰ σέ.’ θωμάσας δὲ τῶν ἐπέων τὸ τελευταῖον Ξέρξης αὐτὸς δεύτερα εἴρετο Πύθιον ὁκόσα οἱ εἴη χρήματα. ὁ δὲ εἶπε ‘Ὦ βασιλεῦ, οὔτε σε ἀποκρύψω οὔτε σκήψομαι τὸ μὴ εἰδέναι τὴν ἐμεωυτοῦ οὐσίην, ἀλλ᾽ ἐπιστάμενός τοι ἀτρε-
2 κέως καταλέξω. ἐπείτε γὰρ τάχιστά σε ἐπυθόμην ἐπὶ θάλασσαν καταβαίνοντα τὴν Ἑλληνίδα, βουλόμενός τοι δοῦναι ἐς τὸν πόλεμον χρήματα ἐξέμαθον, καὶ εὗρον λογιζόμενος ἀργυρίου μὲν δύο χιλιάδας ἐούσας μοι ταλάντων, χρυσίου δὲ τετρακοσίας μυριάδας στατήρων Δαρεικῶν ἐπι-
3 δεούσας ἑπτὰ χιλιάδων. καὶ τούτοισί σε ἐγὼ δωρέομαι, αὐτῷ δέ μοι ἀπὸ ἀνδραπόδων τε καὶ γεωπέδων ἀρκέων ἐστὶ βίος.’ ὁ μὲν ταῦτα ἔλεγε, Ξέρξης δὲ ἡσθεὶς τοῖσι εἰρη-
29 μένοισι εἶπε ‘Ξεῖνε Λυδέ, ἐγὼ ἐπείτε ἐξῆλθον τὴν Περσίδα χώρην, οὐδενὶ ἀνδρὶ συνέμειξα ἐς τόδε ὅστις ἠθέλησε ξείνια προθεῖναι στρατῷ τῷ ἐμῷ, οὐδὲ ὅστις ἐς ὄψιν τὴν ἐμὴν

ἄμπελος, ὁ: vine, 1
ἀνα-κρεμάννυμι: to hang up, suspend, 3
ἀνδρά-ποδον, τό: a slave, 2
ἀπο-κρύπτω: to conceal, hide away, 4
Ἀπόλλων, -ωνος, ὁ: Apollo, 1
ἀργύριον, τό: silver; piece of silver, 4
ἀρκέω: to suffice, satisfy, ward off, 4
ἀσκός, ὁ: a goat-skin (used as a wine-bag) 1
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
Ἄτυς, -υος, ὁ: Atys, 2
γεώ-πεδον, τό: portion of land, farm, 1
Δαρεικός, ὁ: a Daric (Persian gold coin), 1
δωρέω: to give, present (acc) with (dat) 10
ἐκ-δέρω: to strip off, flay, skin, 2
ἐκ-δίδωμι: to give up, surrender, render, 7
ἐκ-μανθάνω: to learn well or thoroughly, 3
Ἑλληνίς, -ίδος, ἡ: Greek (fem. adj.), 5
ἐμωυτοῦ, -ῆς, -οῦ: myself, me, 4
ἐξ-έρχομαι: to go out, come out, 3
ἐπ-αγγέλλω : to tell, proclaim, announce, 8
ἐπι-δέω: need of (+gen.); fasten or bind on, 2
εὑρίσκω: to find, discover, devise, invent, 19
ἥδομαι: to enjoy, take delight in, 3
θωμάζω: wonder, marvel, (Att. **θαυμάζω**) 12
κατα-βαίνω: to step, come down, 4
κατα-λέγω: pick, recount, 14
κόσος, -η, -ον: how much, how great, 2
λογίζομαι: to consider, reckon, calculate, 8
Λυδός, ὁ: Lydian, 7
Μαρσύης, -εω, ὁ: Marsyas (male) 1
ξείνια, τά: gifts of hospitality, hospitality, 3
ξεινίζω: to entertain (as a guest-friend) 3
ξεῖνος, ὁ: guest-friend, foreigner, stranger, 1
ὁκόσος, -η, -ον: how much, many, or great, 4
οὐσίη, ἡ: being, essence, substance, property 1
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
πατήρ, ὁ: a father, 18
Περσίς, Περσίδος: Persian, 3
πλατάνιστος, ἡ: plane-tree, 2
πλοῦτος, ὁ: wealth, riches, 1
προ-τίθημι: to set out, appoint, propose, 4
Πύθιος, ὁ: Pythius, 5
Σιληνός, ὁ: Silenus, 1
σκήπτω: to pretend; lean on, prop up, 1
στατήρ, ὁ: stater, gold coin, 2
συμ-μίσχω: mix together, meet (**μίγνυμι**), 11
τάλαντον, τό: talent (equal to 57.75 lbs.), 5
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τελευταῖος, -η, -ον: last, final, 3
τετρακόσιοι, -αι, -α: four hundred, 10
ὑπο-κάτ-ημαι: to sit, sit down, 1
Φρύξ, -υγὸς, ὁ: a Phrygian, 8
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14
χρύσεος, -η, -ον: golden, 15
χρυσίον, τό: gold piece, money; jewelry, 2

---

1 **ἐκδιδοῖ**: *pours out*; 'gives out,' 3rd sg. pres.
ἐν τῇ καὶ: *in which (place) also*
ἀνακρέμαται: *is hung*; 3rd sg. pres. pass.
2 **τὸν**: *which…*; relative, i.e. the skin of Marsyas, acc. subject of ἀνακρεμασθῆναι
ὑπὸ Φρυγῶν: *from the Phrygians*
λόγος ἔχει: *the story has it that*; acc + inf.
3 **ἐκδαρέντα**: acc. aor. pass. pple ἐκδέρω
ἀνακρεμασθῆναι: aor. pass. inf.
6 **χρήματά τε ἐπαγγέλλετο**: *he proclaimed his wealth*; following pple is causal: 'by…'
ἐς: *for…*; expressing purpose
7 **εἴρετο**: *asked*; impf. εἴρομαι (Att. ἔρομαι)
παρεόντας: *those being present*; πάρ-ειμι
8 **τίς τε ἐὼν**: *being who…*; 'who it was who'
9 **κόσα…ἐκτημένος**: *possessing how much…*; pf. mid. κτάομαι
εἶπαν: 1st aor. 3rd pl. εἶπον
10 **ὅς τοι**: *the one who ya know*; particle τοι
11 **πλούτῳ**: *in…*; dat. of respect
τῶν: *of those whom*; relative, acc. drawn into the gen. of missing antecedent
ἴδμεν: 1st pl. οἶδα
11 **μετὰ σέ**: *after you*; i.e. in second place
12 **θωμάσας**: nom. sg. aor. pple θωμάζω
13 **τελευταῖον**: *finally*; adverbial acc.
14 **δεύτερα**: *then*; 'a second time' adv. acc.
εἴρετο: see line 7
οἱ εἴη: *he had*; 'was to him,' dat. of possession, opt. εἰμί replacing impf. in an ind. question in secondary sequence
τὸ…εἰδέναι: *to know*; articular inf.
16 **τοι**: *to you*; dat. ind. object, σοι
τάχιστα: *as soon as*
18 **Ἑλληνίδα**: fem. adj. modifies θάλασσαν
19 **δοῦναι**: aor. inf. δίδωμι
ἐξέμαθον, εὗρον: aor ἐκμανθάνω εὑρίσκω
20 **ἀργυρίου μὲν…χρυσίου μὲν**: *of silver….on the other hand of gold*; partitive gen.
24 **βίος**: *the livelihood*
ἡσθεὶς: aor. pass. dep. pple ἥδομαι
εἰρημένοισι: *by the things said*; pf. pple

καταστὰς αὐτεπάγγελτος ἐς τὸν πόλεμον ἐμοὶ ἠθέλησε συμβαλέσθαι χρήματα, ἔξω σεῦ. σὺ δὲ καὶ ἐξείνισας μεγάλως
2 στρατὸν τὸν ἐμὸν καὶ χρήματα μεγάλα ἐπαγγέλλεαι. σοὶ ὧν ἐγὼ ἀντὶ αὐτῶν γέρεα τοιάδε δίδωμι· ξεῖνόν τέ σε ποιεῦμαι ἐμὸν καὶ τὰς τετρακοσίας μυριάδας τοι τῶν στατήρων ἀποπλήσω παρ᾽ ἐμεωυτοῦ δοὺς τὰς ἑπτὰ χιλιάδας, ἵνα μή τοι ἐπιδεέες ἔωσι αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων,
3 ἀλλὰ ᾖ τοι ἀπαρτιλογίη ὑπ᾽ ἐμέο πεπληρωμένη. ἔκτησό τε αὐτὸς τά περ αὐτὸς ἐκτήσαο, ἐπίστασό τε εἶναι αἰεὶ τοιοῦτος· οὐ γάρ τοι ταῦτα ποιεῦντι οὔτε ἐς τὸ παρεὸν οὔτε ἐς χρόνον μεταμελήσει.᾽

30 Ταῦτα δὲ εἴπας καὶ ἐπιτελέα ποιήσας ἐπορεύετο αἰεὶ τὸ πρόσω. Ἄναυα δὲ καλεομένην Φρυγῶν πόλιν παραμειβόμενος καὶ λίμνην ἐκ τῆς ἅλες γίνονται, ἀπίκετο ἐς Κολοσσὰς πόλιν μεγάλην Φρυγίης· ἐν τῇ Λύκος ποταμὸς ἐς χάσμα γῆς ἐσβάλλων ἀφανίζεται· ἔπειτα διὰ σταδίων ὡς πέντε μάλιστά κῃ ἀναφαινόμενος ἐκδιδοῖ καὶ οὗτος ἐς τὸν Μαίαν-
2 δρον. ἐκ δὲ Κολοσσέων ὁ στρατὸς ὁρμώμενος ἐπὶ τοὺς οὔρους τῶν Φρυγῶν καὶ Λυδῶν ἀπίκετο ἐς Κύδραρα πόλιν, ἔνθα στήλη καταπεπηγυῖα, σταθεῖσα δὲ ὑπὸ Κροίσου, κατα-
31 μηνύει διὰ γραμμάτων τοὺς οὔρους. ὡς δὲ ἐκ τῆς Φρυγίης ἐσέβαλε ἐς τὴν Λυδίην, σχιζομένης τῆς ὁδοῦ καὶ τῆς μὲν ἐς ἀριστερὴν ἐπὶ Καρίης φερούσης, τῆς δὲ ἐς δεξιὴν ἐς Σάρδις, τῇ καὶ πορευομένῳ διαβῆναι τὸν Μαίανδρον ποταμὸν πᾶσα ἀνάγκη γίνεται καὶ ἰέναι παρὰ Καλλάτηβον πόλιν, ἐν τῇ

αἰεί: always, forever, in every case, 17
ἅλς, -ος, ὁ: salt, sea, 3
Ἄναυα, ἡ: Anaua (town), 1
ἀνα-φαίνω: to reveal, show forth, display, 2
ἀπαρτιλογίη, ἡ: an even number, 1
ἀπο-πίμπλημι: to make full, fill full up, 2
ἀριστερός, -ή, -όν: left, left side, 8
αὐτε-ἐπάγγελτος, -ον: self-invited, freely, 1
ἀ-φανίζω: to hide, remove from sight, 6
γέρας, ὁ: a gift of honor, 5
γράμμα, τό: a piece of writing, letter, 4
ἐκ-δίδωμι: to give up, surrender, render, 7
ἐμωυτοῦ, -ῆς, -οῦ: myself, 4
ἔνθα: where; there, then, 9
ἐπ-αγγέλλω : to tell, proclaim, announce, 8
ἔπειτα: thereupon, then, 8
ἐπι-δεής, -ες: lacking, in need, in want of, 1
ἐπι-τελέω: to complete, fulfill, accomplish, 4
ἐσ-βάλλω: throw or cast into; put on board 11
ἵστημι: to make stand; set up, stop, 18
Καλλάτηβος, ὁ: Callatebus (town) 1
Καρίη, ἡ: Caria, 2
κατα-μηνύω: to point out, indicate, 1
κατα-πήγνυμι: to stand fast, stick fast, 1
κατ-ίστημι: set down; appoint, establish, 18
κῃ: in some way, somehow, 2
Κολοσσαί, αἱ: Colossae, 2
Κροῖσος, ὁ: Croesus, King of the Lydians, 1
Κύδραρα, τό: Cydrara, 1
λίμνη, ἡ: pool, marshy lake, basin, 9
Λύκος, ὁ: Lycus river, 1
Λυδίη, ἡ: Lydia, 2
Λυδός, ὁ: Lydian, 7
Μαίανδρος, ὁ: Maeander river, 3
μεγάλως: greatly, mightily, 10
μετα-μέλομαι: to repent, change one's mind, 2
ξεινίζω: to entertain (as a guest-friend) 3
ξεῖνος, ὁ: guest, foreigner, stranger, 16
οὖρος, τό: boundary, 5
παρ-αμείβομαι: to pass by; leave aside, 10
πέντε: five, 8
πληρόω: to fill, 3
πρόσω: forwards, further, far, 15
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
στατήρ, ὁ: stater, gold coin, 2
στήλη, ἡ: a block of stone, slab, 3
συμ-βάλλω: contribute; guess, join battle, 11
σχίζω: to split, cleave, 3
τετρακόσιοι, -αι, -α: four hundred, 10
Φρύγίη, ἡ: a Phrygia, 2
Φρύξ, -υγός, ὁ: a Phrygian, 8
χάσμα, -ατος, τό: gulf, hollow, chasm, 3
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14

---

1 **καταστὰς**: *having come*; aor. pple
ἠθέλησε: 3rd sg. aor. (ἐ)θέλω
2 **ἔξω**: *besides*; 'outside of'
3 **ἐπαγγέλλε(σ)αι**: 2nd sg. pres. mid. Marsyas, acc. subject of ἀνακρεμασθῆναι
4 **ἀντὶ αὐτῶν**: *in return for them*; i.e the gifts
ποιεῦμαι: 1st sg. pres. mid. (Att. ποιοῦμαι)
5 **ἀποπλήσω**: fut. ἀπο-πίμπλημι
παρ' ἐμεωυτοῦ: *from my own (treasury)*
6 **δοὺς**: 1st sg. aor. act. pple δίδωμι
ἵνα..ἔωσι: *so that…*; purpose clause with 3rd pl. pres. subj. εἰμί
8 **ᾖ τοι**: *you may have*; same purpose clause, 3rd sg. pres. subj. εἰμί and dat. of possession
ὑπ': *by…*; gen. agent with pf. pass. pple
ἔκτησο: *keep possessing*; pf. imperative, which elsewhere a plpf. form
9 **τά…ἐκτήσα(σ)ο**: *which*; aor. mid. κτάομαι
ἐπίστασο: *know*; aor. imperative
10 **ποιεῦντι**: dat. pres. pple (Att. ποιοῦντι)
ἐς…ἐς: *at…in*
τὸ παρεὸν: *the present*; 'the being at hand'
11 **μεταμελήσει**: *there will be regret*; impers.
12 **εἴπας**: 1st aor. 2nd sg. εἶπον
τὸ πρόσω: *forward*; adverbial acc.
13 **καλεομένην**: *named*; 'being called'
15 **ἐν τῇ**: *in which (city)*; or 'in this (city)'
16 **ὡς πέντε**: *almost five*; an approximation
17 **ἀναφαινόμενος**: *reappearing*
ἐκδιδοῖ: *issues out*; discharges, 3rd sg. pres.
19 **οὔρους**: *boundaries*; Att. ὅρους
20 **καταπεπηγυῖα**: nom. f. sg. pf. pple
σταθεῖσα: nom. f. sg. aor. pass. ἵστημι
21 **ὡς**: *when…*; temporal
22 **ἐσέβαλε**: *(Xerxes) entered*; aor. ἐσβάλλω
σχιζομένης…ὁδοῦ: gen. absolute
τῆς μὲν: *one (road)*; another gen. abs.
23 **ἐπὶ Καρίης**: *to Caria*
φερούσης: *bearing*; modifies τῆς
τῆς δὲ: *the other (road)*; gen. abs.
δεξιήν: *the right (side)*
24 **τῇ**: *by which (road)*; dat. of means
πορευομένῳ: *for (one) travelling*; interest
25 **διαβῆναι, ἰέναι**: aor. & pres. inf. ἔρχομαι

ἄνδρες δημιοεργοὶ μέλι ἐκ μυρίκης τε καὶ πυροῦ ποιεῦσι, ταύτην ἰὼν ὁ Ξέρξης τὴν ὁδὸν εὗρε πλατάνιστον, τὴν κάλλεος εἵνεκα δωρησάμενος κόσμῳ χρυσέῳ καὶ μελεδωνῷ ἀθανάτῳ ἀνδρὶ ἐπιτρέψας δευτέρῃ ἡμέρῃ ἀπίκετο ἐς τῶν
32 Λυδῶν τὸ ἄστυ. ἀπικόμενος δὲ ἐς Σάρδις πρῶτα μὲν ἀπέπεμπε κήρυκας ἐς τὴν Ἑλλάδα αἰτήσοντας γῆν τε καὶ ὕδωρ καὶ προερέοντας δεῖπνα βασιλέϊ παρασκευάζειν· πλὴν οὔτε ἐς Ἀθήνας οὔτε ἐς Λακεδαίμονα ἀπέπεμπε ἐπὶ γῆς αἴτησιν, τῇ δὲ ἄλλῃ πάντῃ. τῶνδε δὲ εἵνεκα τὸ δεύτερον ἀπέπεμπε ἐπὶ γῆν τε καὶ ὕδωρ· ὅσοι πρότερον οὐκ ἔδοσαν Δαρείῳ πέμψαντι, τούτους πάγχυ ἐδόκεε τότε δείσαντας δώσειν· βουλόμενος ὦν αὐτὸ τοῦτο ἐκμαθεῖν [ἀκριβῶς] ἔπεμπε.

33 μετὰ δὲ ταῦτα παρεσκευάζετο ὡς ἐλῶν ἐς Ἄβυδον. οἱ δὲ ἐν τούτῳ τὸν Ἑλλήσποντον ἐζεύγνυσαν ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην. ἔστι δὲ τῆς Χερσονήσου τῆς ἐν Ἑλλησπόντῳ, Σηστοῦ τε πόλιος μεταξὺ καὶ Μαδύτου, ἀκτὴ τρηχέα ἐς θάλασσαν κατήκουσα Ἀβύδῳ καταντίον· ἔνθα μετὰ ταῦτα, χρόνῳ ὕστερον οὐ πολλῷ, ἐπὶ Ξανθίππου τοῦ Ἀρίφρονος στρατηγοῦ Ἀθηναῖοι Ἀρταΰκτην ἄνδρα Πέρσην λαβόντες Σηστοῦ ὕπαρχον ζῶντα πρὸς σανίδα διεπασσάλευσαν, ὃς καὶ ἐς τοῦ Πρωτεσίλεω τὸ ἱρὸν ἐς Ἐλαιοῦντα ἀγινεόμενος
33 γυναῖκας ἀθέμιστα [ἔργα] ἔρδεσκε. ἐς ταύτην ὦν τὴν ἀκτὴν ἐξ Ἀβύδου ὁρμώμενοι ἐγεφύρουν τοῖσι προσέκειτο, τὴν μὲν λευκολίνου Φοίνικες, τὴν δ' βυβλίνην Αἰγύπτιοι. ἔστι δὲ ἑπτὰ στάδιοι ἐξ Ἀβύδου ἐς τὴν ἀπαντίον. καὶ δὴ ἐζευγμένου τοῦ πόρου ἐπιγενόμενος χειμὼν μέγας συνέκοψέ τε

Ἄβυδος, -ου, ὁ: Abydus, 7
ἀγινέω: to lead, bring (Att. ἄγω), 3
ἀ-θάνατος, -ον: immortal, undying, 10
ἀ-θέμιστος, -ον: lawless, without law, 1
Ἀθῆναι, αἱ: Athens, 13
Αἰγύπτιος, -η, -ον: Egyptian, 8
αἰτέω: to ask, ask for, beg, 16
αἴτησις, -εως, ἡ: a request, demand, 3
ἀκριβέως: accurately, precisely, exactly, 1
ἀκτή, ἡ: headland, promontory, 6
ἀπ-αντίον: right opposite, 1
Ἀρίφρων, -ονος ὁ: Ariphron, 1
Ἀρταΰκτης, ὁ: Artayctes, 2
Ἀσίη, ἡ: Asia, 17
ἄστυ, τὸ: a city, town, 15
βύβλινος, -η, -ον: made of papyrus, 3
γεφυρόω: to bridge; dam up, 4
δείδω: to fear, 12
δεῖπνον, τό: the principal meal, dinner, 10
δημιο-εργός, ὁ: craftsman, skilled workman, 1
διά-πασσαλεύω: to crucify, nail out, 1
δωρέω: to give, present (acc) with (dat) 10
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-μανθάνω: to learn well or thoroughly, 3
Ἐλαιός, ὁ: Elaeus (place) 2
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἔνθα: where; there, then, 9
ἐπι-γίνομαι: to be born after, come after, 6
ἐπι-τρέπω: to turn over, commit, bequeath, 8
ἔρδω: to do, perform, 3
εὑρίσκω: to find, discover, devise, invent, 19
Εὐρώπη, ἡ: Europe, 13
ζάω: to live, 9
ζεύγνυμι: to yoke, join together, 11
κάλλος, -εος, τό: beauty, 2
κατ-αντίον: right opposite, facing, 2
κατ-ήκω: to have come down; be fitting, 6
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
κόσμος, ὁ: order, adornment, 4
Λακεδαίμων, -ονος, ἡ: Lacedaemon, 6
λευκόλινον, τό: white flax, white linen, 3
Λυδός, ὁ: Lydian, 7
Μαδύτος, -ου, ὁ: Madytus, 1
μέλι, τό: honey, 1
μελεδωνός, -ου, ὁ: steward, manager, keeper 2
μεταξύ: between, 12
μυρίκη, ἡ: tamarisk, 1
Ξανθίππος, ὁ: Xanthippus, 1
πάγχυ: quite, wholly, entirely, altogether, 2
πάντῃ: in every way, by all means, 1
παρα-σκευάζω: to prepare, get ready, 15
πλατάνιστος, ἡ: plane-tree, 2
πόρος, ὁ: a way, path; means, plenty, 8
προ-ερέω: to command, say beforehand, 7
πρόσ-κειμαι: to lie near, be attached, 2
Πρωτεσίλαος, -εω, ὁ: Protesilaus (male) 1
πυρός, ὁ: wheat, 2
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σανίς, -ίδος, ἡ: wooden board, plank, 1
Σηστός, -οῦ, ὁ: Sestus, 2
συγ-κόπτω: to cut up, break up, 1
τρηχύς, -εῖα, -ύ: rugged, rough, harsh, 1
ὕδωρ, ὕδατος, τό: water, 15
ὕπ-αρχος, ὁ: commander (under another), 12
Φοίνικες, οἱ: Phoenicians, 12
χειμών, -ῶνος τό: storm, winter, 15
Χερσόνησος, ὁ: Chersonese (peninsula), 3
χρύσεος, -η, -ον: golden, 15

---

1 ἐν τῇ: *in which (place)*; begins the clause
2 ταύτην..ὁδὸν: *along this road*
ἰών: nom. sg. pple ἔρχομαι
τὴν: *which*; antecedent fem. πλατάνιστος
3 δωρησάμενος...χρυσέῳ: *adorning with gold*; 'bestowing with gold adornment'
4 ἐπιτρέψας: *entrusting (the tree) to*: + dat.
6 Ἑλλάδα: *Greek*; noun or, as here, fem. adj.
αἰτήσοντας: *to ask*; 'going to ask' fut. pple often suggests purpose, αἰτέω
γῆν τε καὶ ὕδωρ: i.e. submission to Xerxes
7 προερέοντας: *to order*; fut. pple suggesting purpose; προ-ερέω (fut. προ-λέγω)
βασιλέϊ: *for the king*; dat. of interest
8 ἐπὶ γῆς: *for land*
9 τῇ...πάντῃ: *but every other place*; dat. place where
τῶνδε δὲ εἵνεκα: *for the following reasons*
τὸ δεύτερον: *a second (time)*; adverbial acc.
10 ἐπὶ: *for…*; expressing purpose of goal
ἔδοσαν: 3rd pl. aor. δίδωμι
τούτους: *that these*; subject of fut. δώσειν
11 δείσαντας: *becoming afraid*; inceptive aor
13 ὡς ἐλῶν: *as if marching*; pre pple ἐλαύνω
15 ἔστι: *there is in the Chersonese*; partitive
18 χρόνῳ: *not a long time*; deg. of difference
ἐπὶ: *under (the command of)*; + gen.
20 ὕπαρχον: *governor of Sestus while alive*
22 ἔρδεσκε: *was doing impiety*; iterative impf.
23 τοῖσι: *to whom it had been assigned*; plpf.

35 ἐκεῖνα πάντα καὶ διέλυσε. ὡς δ' ἐπύθετο Ξέρξης, δεινὰ
ποιεύμενος τὸν Ἑλλήσποντον ἐκέλευσε τριηκοσίας ἐπικέσθαι
μάστιγι πληγὰς καὶ κατεῖναι ἐς τὸ πέλαγος πεδέων ζεῦγος.
ἤδη δὲ ἤκουσα ὡς καὶ στιγέας ἅμα τούτοισι ἀπέπεμψε στί-
2 ξοντας τὸν Ἑλλήσποντον. ἐνετέλλετο δὲ ὧν ῥαπίζοντας
λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα· Ὦ πικρὸν ὕδωρ, δεσπό-
της τοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς
ἐκείνου ἄδικον παθόν. καὶ βασιλεὺς μὲν Ξέρξης διαβή-
σεταί σε, ἤν τε σύ γε βούλῃ ἤν τε μή· σοὶ δὲ κατὰ δίκην
ἄρα οὐδεὶς ἀνθρώπων θύει ὡς ἐόντι καὶ θολερῷ καὶ ἁλμυρῷ
3 ποταμῷ.' τήν τε δὴ θάλασσαν ἐνετέλλετο τούτοισι ζημιοῦν
καὶ τῶν ἐπεστεώτων τῇ ζεύξι τοῦ Ἑλλησπόντου ἀποταμεῖν
36 τὰς κεφαλάς. καὶ οἳ μὲν ταῦτα ἐποίεον, τοῖσι προσέκειτο
αὕτη ἡ ἄχαρις τιμή, τὰς δὲ ἄλλοι ἀρχιτέκτονες ἐζεύγνυσαν·
ἐζεύγνυσαν δὲ ὧδε· πεντηκοντέρους καὶ τριήρεας συνθέντες,
ὑπὸ μὲν τὴν πρὸς τοῦ Εὐξείνου Πόντου ἑξήκοντά τε καὶ
τριηκοσίας, ὑπὸ δὲ τὴν ἑτέρην τεσσαρεσκαίδεκα καὶ τριηκο-
σίας, τοῦ μὲν Πόντου ἐπικαρσίας τοῦ δὲ Ἑλλησπόντου
2 κατὰ ῥόον, ἵνα ἀνακωχεύῃ τὸν τόνον τῶν ὅπλων· συνθέντες
δὲ ἀγκύρας κατῆκαν περιμήκεας, τὰς μὲν πρὸς τοῦ Πόντου
τῆς ἑτέρης τῶν ἀνέμων εἵνεκεν τῶν ἔσωθεν ἐκπνεόντων, τῆς
δὲ ἑτέρης πρὸς ἑσπέρης τε καὶ τοῦ Αἰγαίου ζεφύρου τε καὶ
νότου εἵνεκα. διέκπλοον δὲ ὑπόφαυσιν κατέλιπον τῶν
πεντηκοντέρων καὶ †τριηροῦ†, ἵνα καὶ ἐς τὸν Πόντον ἔχῃ ὁ
βουλόμενος πλέειν πλοίοισι λεπτοῖσι καὶ ἐκ τοῦ Πόντου
3 ἔξω. ταῦτα δὲ ποιήσαντες κατέτεινον ἐκ γῆς στρεβλοῦντες
ὄνοισι ξυλίνοισι τὰ ὅπλα, οὐκέτι χωρὶς ἑκάτερα τάξαντες,

ἄγκυρη, ἡ, ὁ: anchor, 2
ἀ-δικέω: to be unjust, do wrong, injure, 8
ἄ-δικος, -ον: unjust, unrighteous, 5
Αἰγαιος, ὁ: Aegean sea, 2
ἁλμυρός, -ά, -όν: salt, briny, 2
ἀνοκωχεύω: to keep up, keep taut, hold, 1
ἀπο-τάμνω: to cut off, sever, 3
ἀρχι-τέκτων, -ονος, ὁ: master-craftsman, 1
ἀτάσθαλος, -ον:, ὁ: reckless, presumptuous, 2
ἄ-χαρις, -χαρι: unpleasant, disagreeable, 5
δεσπότης, ὁ: master, lord, 11
δι-έκ-πλοος, ὁ: a crossing, passage, 1
δίκη, ἡ: justice, penalty; lawsuit, trial, 15
δια-λύω: to unloosen, route, 4
εἵνεκα: for the sake or because of, (gen.), 18
ἑκάτερος, -α, -ον: each of two, either, 10
ἐκ-πνέω: to blow out; breath out, 1
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐν-τέλλομαι: to command, enjoin, 10
ἑξήκοντα: sixty, 4
ἐπι-κάρσιος, -η, -ον: headlong, plunging, 1
ἐπ-ικνέομαι: to fall upon, 5
ἐπι-τίθημι: to assail, attack, set upon, put on, 5
ἑσπέρη, ἡ: evening, eve; west, 10
ἔσω-θεν: from within, 2
Εὔ-ξεινος, ὁ: Black Sea, Euxine Sea, 1
ζεύγνυμι: to yoke, join together, 11
ζεῦγος, τό: pair(ed), couple; pair of beasts, 1
ζεῦξις, -εως ἡ: the bridging, yoking 1
ζεφύρος, ὁ: west wind, Zephyr, 1
ζημιόω: to punish, fine for (dat), 2
ἥκω: to have come, be present, 10
θολερός, -ή, -όν: muddy, turbulent, troubled, 1
κατα-λείπω: to leave behind, 9
κατα-τείνω: to stretch or draw tight, 2
λεπτός, -ή, -όν: fine, thin; narrow, 2
μάστιξ, -ιγος, ἡ: a whip, lash, 7
νότος, ὁ: south wind, south, 7
ξύλινος, -η, -ον: wooden, 8
ὄνος, ὁ, ἡ: a mule, mechanical windlass, 3
οὐκ-έτι: no more, no longer, no further, 2
πάσχω: to suffer, experience, 19
πέδη, ἡ: fetter, 3
πέλαγος, -εος, τό: the sea, 5
πεντηκόντορος, ὁ: a ship with fifty oars. 10
περι-μήκης, -ες: very tall, very long, 1
πικρός, -ή, -όν: sharp, keen, bitter, 1
πληγή, ἡ: blow, strike, beating, 4
πλοῖον τό: ship, vessel, 11
πόντος, ὁ: sea, 5
πρόσ-κειμαι: to lie near, be attached, 2
ῥαπίζω: to strike with a stick, cudgel, 2
ῥοος, ὁ: flow, current; stream, 1
στιγεύς, ὁ, ὁ: brander, tattooer, 1
στίζω: to tattoo, to brand, mark, 2
στρεβλόω: to twist taut, twist, 1
συν-τίθημι: to put together; agree, 5
τεσσαρεσκαίδεκα: fourteen, 1
τιμή, ἡ: honor; state offices, 16
τόνος, ὁ: stretch, tension, cord, 4
τριακόσιοι, -αι, -α: three hundred, 3
τριήρης, ὁ: a trireme, 7
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπό-φαυσις: narrow opening, 1
χωρίς: separately; apart from, without (gen) 5
ὧδε: in this way, so, thus, 17

---

1 ὡς: *when*; temporal; aor. mid. πυνθάνομαι
ποιεύμενος: *considering*; pres. mid. pple
2 τριηκοσίας...πληγὰς: *300 blows*; acc. subj.
3 κατεῖναι: inf. κατ-ίημι
ἤκουσα: *I (Herodotus) heard that*; ἀκούω
4 στίξοντας: *to brand*; purpose, fut. pple
6 βάρβαρα...ἀτάσθαλα: *things*; neuter pl.
7 δίκην ἐπιτιθεῖ: *he inflicts this punishment*
ὅτι: *because*
7 οὐδὲν...ἄδικον: object of παθόν
πρὸς ἐκείνου: *from that one*; i.e. Xerxes
8 παθόν: *suffering*; aor. pple πάσχω + μιν
διαβήσεται: fut. deponent δια-βαίνω
9 ἤν...βούλη ἤν.,.: *if...*; 2nd sg. subj βούλομαι
κατὰ δίκην: *justly*; according to justice
10 ὡς ἐόντι: *on the grounds of being*; ὡς + pple (dat. εἰμί)
11 τούτοισι: *these men*; dat. compound veerb
ζημιοῦν: inf. ζημιόω
12 ἐπεστεώτων: *of those being in charge of*; + dat.; 'standing over,' pf. pple ἐπ-ιστημι
13 οἳ μὲν...τοῖσι: and they...to whom; relative
προέκειτο: *had been appointed*; plpf. pass.
14 τὰς δὲ: *other (bridges);* supply γεφύρας
συνθέντες: nom. pl. aor. pple συν-τίθημι
16 ὑπὸ...τὴν: *near one bridge, near the other*
18 ἐπικαρσίας, κατὰ: *perpendicular, parallel*
19 τῶν ὅπλων: *cables, ropes*
20 κατῆκαν: *sent down*; 3rd pl. aor. κατ-ίημι
τὰς μὲν...τῆς δὲ: *some (anchors) on the side of the Pontus...(others) on the side*
24 ἔχῃ: *may be able*; 3rd sg. subj. ἔχω

ἀλλὰ δύο μὲν λευκολίνου δασάμενοι ἐς ἑκατέρην, τέσσερα δὲ τῶν βυβλίνων. παχύτης μὲν ἦν ἡ αὐτὴ καὶ καλλονή, κατὰ λόγον δὲ ἐμβριθέστερα ἦν τὰ λίνεα, τοῦ τάλαντον ὁ πῆχυς εἷλκε. ἐπειδὴ δὲ ἐγεφυρώθη ὁ πόρος, κορμοὺς ξύλων καταπρίσαντες καὶ ποιήσαντες ἴσους τῆς σχεδίης τῷ εὔρεϊ κόσμῳ ἐπιτίθεσαν κατύπερθε τῶν ὅπλων τοῦ τόνου, θέντες δὲ ἐπεξῆς ἐνθαῦτα αὖτις ἐπεζεύγνυον· ποιήσαντες δὲ ταῦτα ὕλην ἐπεφόρησαν, κόσμῳ δὲ θέντες καὶ τὴν ὕλην γῆν ἐπεφόρησαν, κατανάξαντες δὲ καὶ τὴν γῆν φραγμὸν παρείρυσαν ἔνθεν καὶ ἔνθεν, ἵνα μὴ φοβῆται τὰ ὑποζύγια τὴν θάλασσαν
37 ὑπερορῶντα [καὶ οἱ ἵπποι]. ὡς δὲ τά τε τῶν γεφυρέων κατεσκεύαστο καὶ τὰ περὶ τὸν Ἄθων, οἵ τε χυτοὶ περὶ τὰ στόματα τῆς διώρυχος, οἳ τῆς ῥηχίης εἵνεκεν ἐποιήθησαν, ἵνα μὴ πίμπληται τὰ στόματα τοῦ ὀρύγματος, καὶ αὐτὴ ἡ διῶρυξ παντελέως πεποιημένη ἀγγέλλετο, ἐνθαῦτα χειμερίσας ἅμα τῷ ἔαρι παρεσκευασμένος ὁ στρατὸς ἐκ τῶν Σαρδίων ὁρμᾶτο ἐλῶν ἐς Ἄβυδον· ὁρμημένῳ δέ οἱ ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην ἀφανὴς ἦν οὔτ᾽ ἐπινεφέλων ἐόντων αἰθρίης τε τὰ μάλιστα, ἀντὶ ἡμέρης τε νὺξ ἐγένετο. ἰδόντι δὲ καὶ μαθόντι τοῦτο τῷ Ξέρξῃ ἐπιμελὲς ἐγένετο, καὶ εἴρετο τοὺς μάγους τὸ θέλει προφαίνειν τὸ φάσμα. οἱ δὲ ἔφρασαν ὡς Ἕλλησι προδεικνύει ὁ θεὸς ἔκλειψιν τῶν πολίων, λέγοντες ἥλιον εἶναι Ἑλλήνων προδέκτορα, σελήνην δὲ σφέων. ταῦτα πυθόμενος ὁ Ξέρξης
38 περιχαρὴς ἐὼν ἐποιέετο τὴν ἔλασιν. ὡς δ᾽ ἐξήλαυνε τὴν στρατιήν, Πύθιος ὁ Λυδὸς καταρρωδήσας τὸ ἐκ τοῦ οὐρανοῦ φάσμα ἐπαρθείς τε τοῖσι δωρήμασι, ἐλθὼν παρὰ Ξέρξην

Ἄβυδος, -ου, ὁ: Abydus, 7
Ἄθως, -ω ὁ: Mt. Athos, 6
αἰθρίη, ἡ: clear sky, clear weather, 4
αὖτις: back again, later, 8
ἀ-φανής, -ες: unseen, invisible, 2
βύβλινος, -η, -ον: made of papyrus, 3
γεφύρη, ἡ: bridge; dam, mound, 9
γεφυρόω: to bridge; dam up, 4
δατέομαι: to divide, distribute, assign 5
διῶρυξ, -υχος, ἡ: a trench, canal, conduit, 17
δώρημα -ατος, τό: present, gift, 1
ἔαρ, -ρος, τό: Spring, 8
ἕδρη, ἡ: setting, seat; dwelling, 3
εἵνεκα: for the sake or because of, (gen.), 18
ἑκάτερος, -α, -ον: each of two, either, 10
ἐκ-λείπω: to leave out, omit, pass over, 10
ἔκ-λειψις, -ον: abandonment, 1
ἔλασις, -εως, ἡ: march, expedition, drive, 6
ἕλκω: to draw, drag; weigh, 6
ἐμ-βριθής, -ές: weighty, grave, dignified, 1
ἔνθεν: from where, from there, 6
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐπ-αείρω: to lift, raise up, incite (ἐπ-αίρω) 4
ἐπειδή: when, after, since, because, 10
ἐπεξῆς: in succession, in a row, in order, 3
ἐπι-ζεύγνυμι: to bind on, join, on, 1
ἐπι-μελής, -ές: careful, attentive, 1
ἐπι-νέφελος, -ον: cloudy, overcast, 1
ἐπι-τίθημι: to assail, attack, set upon, put on, 5
ἐπι-φορέω: to put on, lay over, 2
εὖρος, τό: breadth, width, 6
ἴσος, -η, -ον: equal, like; balanced, 15
καλλονή, ἡ: beauty, 1
κατα-νάσσω: to stamp down, beat down, 1
κατα-πρίω: to saw up, cut to pieces, 1
κατα-ρρωδέω: to fear, dread, 14
κατα-σκευάζω: to prepare, build, equip, 1
κατ-ύπερθε: from above, above, on top, 5
κορμός, ὁ: log, trunk, 1
κόσμος, ὁ: order, adornment, 4
λευκόλινον, τό: white flax, white linen, 3
λίνεος, -η, -ον: made of linen, of flax, 4
Λυδός, ὁ: Lydian, 7
μάγοι, οἱ: magi (dream-interpreters) 4
μανθάνω: to learn, understand, 18
νύξ, νυκτός, ἡ: a night, 10
ξύλον, τό: wood, 11
ὄρυγμα, -ατος, τό: trench, ditch, moat, 4
οὐρανός, ὁ: sky, heaven, 4
παντελέως: completely, entirely, 1
παρα-σκευάζω: to prepare, get ready, 15
παρ-ερύω: to draw alongside, 1
παχύτης, -ητος ἡ: thinkness, stoutness, 1
περι-χαρής, -ες: very pleased, 2
πῆχυς, ὁ: cubit, fore-arm length, 2
πίμπλημι: to make full, fill, fill full of, 12
πόρος, ὁ: a way, path; means, plenty, 8
προ-δείκνυμι: to show before or by example, 1
προ-δέκτωρ, -ορος, ὁ: prophet, fore-shower 1
προ-φαίνω: to show forth, reveal, 2
Πύθιος, ὁ: Pythius, 5
ῥηχίη, ἡ: surf, break of the waves, 2
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σελήνη, ἡ: the moon, 1
στόμα, -ατος, τό: the mouth, 5
σχεδίη, ἡ: raft, floating boat, 3
τάλαντον, τό: talent (equal to 57.75 lbs.), 5
τέσσερες, -α: four, 12
τόνος, ὁ: cord, stretch, tension, 4
ὕλη, ἡ: brushwood, forest-tree, wood, 6
φάσμα, -ατος, τό: vision, apparition, 2
φοβέω: to put to flight, terrify, frighten, 9
φραγμός, ὁ: fence, wall, block, 2
φράζω: to point out, tell, indicate, 16
ὑπερ-οράω: to look over, look down on, 1
ὑπο-ζύγιον, τό: yoked beasts, 11
χειμερίζω: to pass the winter, 1
χυτός, ὁ: dike, heaped up earth, 1

---

1 δασάμενοι: *distributing*; aor. δατέομαι
2 ἦν ἡ αὐτὴ: *was the same*; plural subject
κατὰ λόγον: *in proportion*; 'according to...'
τοῦ: *of which*; relative, modifies πῆχυς
4 εἷλκε: *weighed*; 'dragged' impf. εἵλκω
5 ποιήσαντες: *making the logs equal to*; + dat
κόσμῳ: *in order*; dat. of manner
6 τῶν ὅπλων: *of the cables*; modifies τόνου
θέντες: aor. act. pple. τίθημι
8 τὴν ὕλην γῆν: *earth (upon) the brushwood*
10 φοβῆται: *may not fear*; neut. pl. subject
11 ὡς…κατεσκεύαστο: *when..*; plpf. pass.
13 οἷ: *which…;* antecedent χυτοι, 'dikes'
ἐποιήθησαν: 3rd pl. aor. pass. ποιέω
16 ἅμα τῷ ἔαρι: *at the same time as spring*
ἐλῶν: *marching*; pple ἐλαύνω
20 ἰδόντι, μαθόντι: pple ὁράω, μανθάνω
21 εἴρετο: *he asked*; impf. εἴρομαι
τὸ θέλει: *what…wishes*; (ἐ)θέλω
27 ἐπαρθείς: *incited by…*; aor. pass. pple

ἔλεγε τάδε. Ὦ δέσποτα, χρηίσας ἄν τι σεῦ βουλοίμην τυχεῖν, τὸ σοὶ μὲν ἐλαφρὸν τυγχάνει ἐὸν ὑπουργῆσαι, ἐμοὶ δὲ μέγα γενόμενον.' Ξέρξης δὲ πᾶν μᾶλλον δοκέων μιν χρηίσειν ἢ τὸ ἐδεήθη, ἔφη τε ὑποργήσειν καὶ δὴ ἀγορεύειν ἐκέλευε ὅτευ δέοιτο. ὁ δὲ ἐπείτε ταῦτα ἤκουσε, ἔλεγε θαρσήσας τάδε· Ὦ δέσποτα, τυγχάνουσί μοι παῖδες ἐόντες πέντε, καί σφεας καταλαμβάνει πάντας ἅμα σοὶ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. σὺ δέ, ὦ βασιλεῦ, ἐμὲ ἐς τόδε ἡλικίης ἥκοντα οἰκτίρας τῶν μοι παίδων ἕνα παράλυσον τῆς στρατίης τὸν πρεσβύτατον, ἵνα αὐτοῦ τε ἐμεῦ καὶ τῶν χρημάτων ἦ μελεδωνός. τοὺς δὲ τέσσερας ἄγευ ἅμα σεωυτῷ, καὶ πρήξας τὰ νοέεις νοστήσειας ὀπίσω.' κάρτα τε ἐθυμώθη ὁ Ξέρξης καὶ ἀμείβετο τοῖσιδε· Ὦ κακὲ ἄνθρωπε, σὺ ἐτόλμησας ἐμεῦ στρατευομένου αὐτοῦ ἐπὶ τὴν Ἑλλάδα καὶ ἄγοντος παῖδας ἐμοὺς καὶ ἀδελφεοὺς καὶ οἰκηίους καὶ φίλους, μνήσασθαι περὶ σέο παιδός, ἐὼν ἐμὸς δοῦλος, τὸν χρῆν πανοικίῃ αὐτῇ τῇ γυναικὶ συνέπεσθαι; εὖ νυν τόδ' ἐξεπίστασο, ὡς ἐν τοῖσι ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός, ὃς χρηστὰ μὲν ἀκούσας τέρψιος ἐμπιπλεεῖ τὸ σῶμα, ὑπεναντία δὲ τούτοισι ἀκούσας ἀνοιδέει. ὅτε μέν νυν χρηστὰ ποιήσας ἕτερα τοιαῦτα ἐπηγγέλλεο, εὐεργεσίῃσι βασιλέα οὐ καυχήσεαι ὑπερβαλέσθαι· ἐπείτε δὲ ἐς τὸ ἀναιδέστερον ἐτράπευ, τὴν μὲν ἀξίην οὐ λάμψεαι, ἐλάσσω δὲ τῆς ἀξίης. σὲ μὲν γὰρ καὶ τοὺς τέσσερας τῶν παίδων ῥύεται τὰ ξείνια· τοῦ δὲ ἑνός, τοῦ περιέχεαι μάλιστα, τῇ ψυχῇ ζημιώσεαι.' ὡς δὲ ταῦτα ὑπεκρίνατο, αὐτίκα ἐκέλευε τοῖσι προσετέτακτο ταῦτα πρήσσειν, τῶν Πυθίου παίδων ἐξευρόντας τὸν πρεσβύτατον

ἀγορεύω: to speak, tell, proclaim, 2
ἀδελφεός, ὁ: a brother, 17
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀν-αιδής, -ές: shameless; ruthless, reckless, 1
ἀν-οιδέω: to swell up, swell (with anger), 1
αὐτίκα: straightway, at once; presently, 11
δεσπότης, ὁ: master, lord, 11
δέω: to lack, need; *mid*. want, ask, beg (gen) 7
ἐλαφρός, -ή, -όν: light (in weight), 1
ἐμ-πίπλημι: to fill in, fill with, 1
ἐξ-αγγέλλω: to send out, 4
ἐξ-επίσταμαι: to know thoroughly, 5
ἐξ-ευρίσκω: to find out, discover, 7
εὐ-εργεσίη, ἡ: good deed, good service, 1
ζημιόω: to punish, fine for (dat), 2
ἥκω: to have come, be present, 10
ἡλικίη, ἡ: age, time of life, 3
θαρσέω: to take heart, be confident, 2
θυμόω: to make angry or impassioned, 4
κάρτα: very, extremely, strongly, 5
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
καυχάομαι: to vaunt, boast, speak loud, 1
μελεδωνός, -ου, ὁ: steward, manager, keeper 2
μιμνήσκω: to recall, remember, 5
νοέω: to think, have in mind, suppose, 4
νοστέω: return, come back, 7
ξείνια, τά: gifts of hospitality, hospitality, 3
οἰκήιος, -η, -ον: one's own; kin, 6
οἰκτίρω: to pity, 1
οὖς, ὠτος, τό: ear, 8
παν-οικίη, ἡ: whole household, 2
παρα-λύω: to release (from), loosen, 2
πέντε: five, 8
περι-έχομαι: cling to, hold, aim for (gen) 3
πρέσβυς, -εως, ὁ: old, old (man), 10
πρήσσω: to do, accomplish, make, act, 10
προσ-τάσσω: to order, assign, appoint, 6
Πύθιος, ὁ: Pythius, 5
ῥύομαι: to draw to oneself, rescue, 9
σεωυτοῦ, -ῆς, -οῦ: yourself, you, 6
συν-έπομαι: to follow along with (dat) 1
σῶμα, -ατος, τό: the body, 7
τέρψις, -ιος ἡ: delight, enjoyment, 1
τέσσερες, -α: four, 12
τολμάω: to dare, undertake, endure, 5
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
ὑπ-εναντιος, -ον: opposing, contrary, 3
ὑπερ-βάλλω: to surpass, outdo, overshoot, 5
ὑπο-κρίνομαι: to answer, reply, respond, 8
ὑπ-ουργέω: to render service, help, assist, 2
φίλος, -η, -ον: dear, beloved; *subst*. friend, 15
χρῃζω: to desire, long for, ask for, 6
χρηστός, -ή, -όν: good, worthy, 19
ψυχή, ἡ: breath, life, spirit, soul, 12

---

1 **χρήισας**: nom. sg. aor. pple χρῃζω
ἄν…βουλοίμην: *I would…*; potential opt.
2 **τυχεῖν**: *obtain (acc) from (gen)*; aor. inf.
τό: *which…*; nom. subj.
ἐλαφρὸν ὑπουργῆσαι: *easy to perform*; pred. adj. + epexegetical (explanatory) inf.
τυγχάνει: *happens to*; + pple (here, εἰμί)
3 **μέγα γενόμενον**: *being important to me* 3
μᾶλλον…ἢ: *rather than*; 'more than'
δοκέων: *imagining that*; acc. + inf.
4 **τὸ ἐδεήθη**: *that which he asked*; aor. dep.
ἔφη: impf. φημί
5 **ὅτευ**: *what*; gen. sg. οὗτινος (Att. ὅτου)
δέοιτο: pres. opt. δέομαι in secondary seq.
8 **ἐς τόδε ἡλικίης**: *to this (point) of age*
οἰκτίρας: nom. sg. aor. pple οἰκτίρω
ἕνα: *one*; acc. with preceding partitive gen.
9 **παράλυσον**: aor. imperative
τῆς στρατίης: *from…*; gen. of separation
10 **αὐτοῦ**: *here*
11 **ἦ**: *he may be*; purpose, 3rd sg. subj. εἰμί
ἄγευ: sg. mid. imperative ἄγω (Att ἄγου)
12 **πρήξας** nom. sg. aor. pple πρήσσω
τὰ: *(the things) which*; relative
νοστήσειας: *May you…!*; aor. opt. of wish
ἐθυμώθη: *was made angry*; 1st sg aor. pass.
14 **ἐμεῦ στρατευομένου…ἄγοντος…φίλους**: lengthy gen. abs. with multiple participles
ἐμεῦ αὐτοῦ: *me myself*; intensive pronoun
16 **μνήσασθαι**: *to mention*; aor. μιμνήσκω,
ἐὼν: *though being*; concessive pple
τὸν χρῆν: *who was supposed;* 'whom it is necessary…' 3rd sg. impf. χρή
17 **ἐξεπίστασο**: *know thoroughly*; imperative
ὡς: *that*
18 **ὡσὶ**: dat. pl. οὖς, ὠτος
19 **τέρψιος**: partitive gen., obj. of main verb
21 **ἐπηγγέλε(σ)ο**: 2nd sg. impf. mid.
καυχήσε(σ)αι: 2nd sg. pres. mid.
22 **ἐτράπευ**: 2nd sg. impf. τρέπω
23 **ἐλάσσω…ἀξίης**: *less than worthy*; acc. sg.
τοῦ δὲ ἑνός…ψυχῇ: *with the life of one son*
26 **τοῖσι**: *(those) to whom*; missing antecedent
προσετέτακτο: plpf. pass προσ-τάσσω

μέσον διαταμεῖν, διαταμόντας δὲ τὰ ἡμίτομα διαθεῖναι τὸ μὲν ἐπὶ δεξιὰ τῆς ὁδοῦ τὸ δ᾽ ἐπ᾽ ἀριστερά, καὶ ταύτῃ
40 διεξιέναι τὸν στρατόν. ποιησάντων δὲ τούτων τοῦτο, μετὰ ταῦτα διεξῄιε ὁ στρατός. ἡγέοντο δὲ πρῶτοι μὲν οἱ σκευοφόροι τε καὶ τὰ ὑποζύγια, μετὰ δὲ τούτους στρατὸς παντοίων ἐθνέων ἀναμίξ, οὐ διακεκριμένοι· τῇ δὲ ὑπερη-
μίσεες ἦσαν, ἐνθαῦτα διελέλειπτο, καὶ οὐ συνέμισγον οὗτοι
2 βασιλέϊ. προηγεῦντο μὲν δὴ ἱππόται χίλιοι, ἐκ Περσέων πάντων ἀπολελεγμένοι· μετὰ δὲ αἰχμοφόροι χίλιοι καὶ οὗτοι ἐκ πάντων ἀπολελεγμένοι, τὰς λόγχας κάτω ἐς τὴν γῆν τρέψαντες· μετὰ δὲ ἱροὶ Νησαῖοι καλεόμενοι ἵπποι
3 δέκα κεκοσμημένοι ὡς κάλλιστα. Νησαῖοι δὲ καλέονται ἵπποι ἐπὶ τοῦδε· ἔστι πεδίον μέγα τῆς Μηδικῆς τῷ οὔνομα ἐστὶ Νήσαιον· τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ
4 πεδίον τοῦτο. ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἷλκον λευκοὶ ὀκτώ, ὄπισθε δὲ αὖ τῶν ἵππων εἵπετο πεζῇ ἡνίοχος ἐχόμενος τῶν χαλινῶν· οὐδεὶς γὰρ δὴ ἐπὶ τοῦτον τὸν θρόνον ἀνθρώπων ἀναβαίνει. τούτου δὲ ὄπισθε αὐτὸς Ξέρξης ἐπ᾽ ἅρματος ἵππων Νησαίων· παραβεβήκεε δέ οἱ ἡνίοχος τῷ οὔνομα ἦν Πατιράμφης, Ὀτάνεω ἀνδρὸς Πέρσεω παῖς.

41 Ἐξήλασε μὲν οὕτω ἐκ Σαρδίων Ξέρξης, μετεκβαίνεσκε δέ, ὅκως μιν λόγος αἱρέοι, ἐκ τοῦ ἅρματος ἐς ἁρμάμαξαν. αὐτοῦ δὲ ὄπισθε αἰχμοφόροι Περσέων οἱ ἄριστοί τε καὶ γενναιότατοι χίλιοι, κατὰ νόμον τὰς λόγχας ἔχοντες, μετὰ δὲ ἵππος ἄλλη χιλίη ἐκ Περσέων ἀπολελεγμένη, μετὰ δὲ τὴν ἵππον ἐκ τῶν λοιπῶν Περσέων ἀπολελεγμένοι μύριοι.

αἱρέω: to seize, take; *mid*. choose, 17
αἰχμοφόρος, ὁ: bodyguard, spearman, 4
ἀναμίξ: mixed up; promiscuously, 2
ἀπο-λέγω: to pick out, choose; decline, 5
ἀριστερός, -ή, -όν: left, left side, 8
ἅρμα, -ατος, τό: a chariot, 15
ἁρμ-άμαξη, ἡ: a covered wagon, 2
αὖ: again; on the contrary, on the other hand, 6
γενναῖος, -η, -ον: noble, well-bred, 2
δια-κρίνω: divide, decide, settle; distinguish 5
δια-λείπω: to leave an interval between, 2
δια-τέμνω: to cut through, cut in two, 2
δια-τίθημι: to arrange, handle, deposit, 1
δι-εξ-έρχομαι: to go through; recount, 10
ἕλκω: to draw, drag; weigh, 6
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
ἕπομαι: follow, accompany, escort (+ dat) 12
ἡγέομαι: to lead; consider, think, believe, 11
ἡμί-τομον, τό: a half, 2
ἡνί-οχος, ὁ: charioteer, rein-holder, 2
θρόνος, ὁ: chair, seat, 12
ἱππότης, ὁ: a horseman, cavalry, 6
κάτω: down, below, 18
κοσμέω: to order, arrange, adorn, 3
λευκός, -ή, -όν: white, bright, brilliant, 14
λόγχη, ἡ: a spear-head, javelin-head, 18
λοιπός, -ή, -όν: remaining, the rest, 15
μετα-βαίνω: to migrate, change places, 1
Μηδικος, -η, -ον: Median, of the Mede, 9
Νησαῖοι, οἱ: Nesaeans, 3
ὀκτώ: eight, 5
ὄπισθεν: behind; in the future; as prep. (gen) 8
Ὀτάνης, -εω ὁ: Otanes, 4
παντοῖος, -η, -ον: of all sorts, various, 9
παρα-βαίνω: to go alongside; transgress, 1
Πατιράμφης, ὁ: Patiramphes, 1
προ-ηγέομαι: to lead in front, be leader, 1
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σκευο-φόρος, -ον: carrying baggage, 3
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
ὑπερ-ήμισυς, -υ: over half, 2
ὑπο-ζύγιον, τό: yoked beasts, 11
χαλινός, ὁ: a bridle, bit, 2

---

1 **μέσον**: *in half*; 'in the middle,' acc. respect
διαταμεῖν: aor. inf. διατεμνω
διαθεῖναι: *to set down*; aor. inf. διατίθημι
2 **τὸ μὲν…τὸ δ'**: *one (half)…the other (half)*
ἐπὶ δεξιὰ: *upon the right (side)*
ταύτῃ: *in this way*; dat. of manner
3 **διεξιέναι**: inf. διεξέρχομαι
τὸν στρατὸν: acc. subject
ποιησάντων: gen. absolute
4 **διεξῄιε**: 3rd sg. impf. διεξέρχομαι
ἡγέοντο: impf. pass. ἡγέομαι
6 **διακεκριμένοι**: *divided up*; pf. pple
τῇ: *where*; in which place
7 **ἦσαν**: 3rd pl. impf. εἰμί
ἐνθαῦτα: *then*
διελέλειπτο: *it had left an interval*; i.e. there was an interval of space *once half the army passed*
8 **προηγεῦντο**: 3rd pl. impf προηγέομαι
9 **ἀπολελεγμένοι**: pf. pass. pple
μετὰ δὲ: *next*; 'after (which)'
11 **ἱροὶ Νησαῖοι καλεόμενοι**: *called the sacred Nesaeans*
12 **κεκοσμημένοι**: pf. pass. κοσμέω
ὡς κάλλιστα: *as beautifully as possible*
13 **ἐπὶ τοῦδε**: *for this here reason*
ἔστι: *there is*
τῷ: *to which*; relative, dat. of possession
14 **φέρει**: *bears*; i.e. give birth to, brings forth : impf. φημί
Διὸς: *of Zeus*; gen. sg. Ζεύς
16 **ἐπετέτακτο**: plpf. pass. ἐπι-τάσσω
τὸ: *which*; antecedent is neuter sg. ἅρμα
εἷλκον: 3rd pl. impf. ἕλκω
17 **εἵπετο**: 3rd sg. impf. ἕπομαι
πεζῇ: *on foot*; dat fem. πεζός as adverb
ἐχόμενος: *clinging to* + gen.; mid. ἔχω
19 **τούτου δὲ ὄπισθε**: *behind this*
20 **παραβεβήκεε**: plpf. παραβαίνω
οἱ: *beside him*; dat. of compound verb
τῷ: *to whom*; relative, dat. of possession
22 **μετεκβαίνεσκε**: *he would change places*; iterative imperative (-σκ)
23 **ὅκως**: *whenever*; + pres. opt. in a general temporal clause, secondary seq.
24 **τούτου δὲ ὄπισθε**: *behind this*
25 **κατὰ νόμον**: *according to custom*
26 **ἀπολελεγμένη**: pf. pass. pple

2 οὗτος πεζὸς ἦν· καὶ τούτων χίλιοι μὲν ἐπὶ τοῖσι δόρασι 1
ἀντὶ τῶν σαυρωτήρων ῥοιὰς εἶχον χρυσέας καὶ πέριξ συνε-
κλήιον τοὺς ἄλλους, οἱ δὲ εἰνακισχίλιοι ἐντὸς τούτων ἐόντες
ἀργυρέας ῥοιὰς εἶχον· εἶχον δὲ χρυσέας ῥοιὰς καὶ οἱ ἐς
τὴν γῆν τράποντες τὰς λόγχας, καὶ μῆλα οἱ ἄγχιστα ἑπό- 5
μενοι Ξέρξῃ. τοῖσι δὲ μυρίοισι ἐπετέτακτο ἵππος Περσέων
μυρίη. μετὰ δὲ τὴν ἵππον διέλειπε καὶ δύο σταδίους,
42 καὶ ἔπειτα ὁ λοιπὸς ὅμιλος ἤιε ἀναμίξ. ἐποιέετο δὲ τὴν
ὁδὸν ἐκ τῆς Λυδίης ὁ στρατὸς ἐπί τε ποταμὸν Κάϊκον καὶ
γῆν τὴν Μυσίην, ἀπὸ δὲ Καΐκου ὁρμώμενος, Κάνης ὄρος 10
ἔχων ἐν ἀριστερῇ, διὰ τοῦ Ἀταρνέος ἐς Καρήνην πόλιν·
ἀπὸ δὲ ταύτης διὰ Θήβης πεδίου ἐπορεύετο, Ἀδραμύττειόν
τε πόλιν καὶ Ἄνανδρον τὴν Πελασγίδα παραμειβόμενος.
2 τὴν Ἴδην δὲ λαβὼν, ἐς ἀριστερὴν χεῖρα ἤιε ἐς τὴν Ἰλιάδα
γῆν. καὶ πρῶτα μέν οἱ ὑπὸ τῇ Ἴδῃ νύκτα ἀναμείναντι 15
βρονταί τε καὶ πρηστῆρες ἐπεσπίπτουσι καί τινα αὐτοῦ
43 ταύτῃ συχνὸν ὅμιλον διέφθειραν. ἀπικομένου δὲ τοῦ
στρατοῦ ἐπὶ τὸν Σκάμανδρον, ὃς πρῶτος ποταμῶν, ἐπείτε
ἐκ Σαρδίων ὁρμηθέντες ἐπεχείρησαν τῇ ὁδῷ, ἐπέλιπε τὸ
ῥέεθρον οὐδ' ἀπέχρησε τῇ στρατιῇ τε καὶ τοῖσι κτήνεσι 20
πινόμενος· ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ὡς ἀπίκετο Ξέρξης,
ἐς τὸ Πριάμου Πέργαμον ἀνέβη ἵμερον ἔχων θεήσασθαι·
2 θεησάμενος δὲ καὶ πυθόμενος ἐκείνων ἕκαστα τῇ Ἀθηναίῃ
τῇ Ἰλιάδι ἔθυσε βοῦς χιλίας, χοὰς δὲ οἱ μάγοι τοῖσι ἥρωσι
ἐχέαντο. ταῦτα δὲ ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ 25
στρατόπεδον ἐνέπεσε. ἅμα ἡμέρῃ δὲ ἐπορεύετο ἐνθεῦτεν,
ἐν ἀριστερῇ μὲν ἀπέργων Ῥοίτειον πόλιν καὶ Ὀφρύνειον

ἄγχιστα: most nearly, most closely, 1
Ἀδραμύττειόν, τό: Adramytteum, (town), 1
Ἀθήναιη, ἡ: Athena, 1
ἀνα-βαίνω: to go up, climb, mount, 12
ἀνα-μένω: to await, wait, stay, 3
ἀναμίξ: mixed up; promiscuously, 2
Ἄνταν̓δρος, ὁ: Antrandrus, (town), 1
ἀπ-έργω: keep away, prevent (Att. **εἴργω**) 3
ἀπο-χράομαι: to suffice, use to full, 1
ἀργύρεος, -η, -ον: silver, of silver, 4
ἀριστερός, -ή, -όν: left, left side, 8
Ἀταρνεύς, -έος, ὁ: Atarneus (place), 1
βοῦς, ὁ: cow, 3
βροντή, ἡ: thunder, 7
δια-λείπω: to leave an interval between, 2
δια-φθείρω: to destroy, corrupt, kill, 11
δόρυ, δόρατος, τό: shaft of a spear, spear, 5
εἰνα-κισ-χίλιοι, -αι, -α: nine thousand, 1
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐμ-πίπτω: to fall on, fall upon, 2
ἐνθεῦθεν: from here, from there, thence, 12
ἐντός: within, inside, 12
ἔπειτα: thereupon, then, 8
ἐπι-εσ-πίπτω: to fall in upon, 1
ἐπι-λείπω: to fail, run dry; leave behind, 5
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
ἐπι-χειρέω: put one's hand on, attempt, try, 1
ἕπομαι: follow, accompany, escort (+ dat) 12
ἥρως, ὁ: hero, warrior, 3
Θήβη, ἡ: Thebe, 1
Ἴδη, ἡ: Ida, 2
Ἰλιάς, -άδος ὁ: Ilium, Troy, 2
ἵμερος, ὁ: a longing, yearning, desire, 1
Κάϊκος, ὁ: Caïcus river, 2
Κάνη, ἡ: Mount Cane, 1
Κάνήνη, ἡ: Carene (town), 1
κτῆνος, εος, τό: *pl*. herds, flocks, cattle, 3
λόγχη, ἡ: a spear-head, javelin-head, 18
λοιπός, -ή, -όν: remaining, the rest, 15
Λυδίη, ἡ: Lydia, 2
μάγοι, οἱ: magi (dream-interpreters) 1
μῆλον, τό: apple; sheep, goat, 2
Μυσίη, ὁ: Mysia, 1
νύξ, νυκτός, ἡ: a night, 10
ὅμιλος, ὁ: crowd, 5
Ὀφρύνειον, τό: Ophryneum, 1
παρ-αμείβομαι: to pass by; leave aside, 10
Πελασγίς, -ίδος: Pelasgian (fem. adj.), 1
Πέργαμον, τό: Pergamum (citadel of Troy), 1
πέριξ: round about, all round, 1
πίνω: to drink, 4
πρηστήρ, -ήρος ὁ: hurricane, lightning, 1
Πρίαμος, ὁ: Priam (king of Troy), 1
ῥέεθρον, τό: river, stream, channel, 7
ῥοιη, ἡ: mulberry, 12
Ῥοίτειον, τό: Rhoetium, 1
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σαυρωτήρ, ὁ: spike (on the end of a spear), 1
Σκάμανδρος -ου ὁ: Scamander river, 1
στρατόπεδον, τό: camp, encampment, 10
συγ-κλείω: to shut up, shut off, enclose, 2
συχνός, -ή, -όν: long, much, many, great, 8
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
φόβος, ὁ: fear, terror, panic, 2
χέω: to pour, 2
χοή, ἡ: libation, drink-offering, 1
χρύσεος, -η, -ον: golden, 15

---

1 **πεζός**: *the infantry*; '(those) on foot'
τούτων: *of these*; partitive gen.
ἐπὶ...δόρασι: *on top of their spear-shaft*
2 **ἀντὶ**: *in place of...*
ῥοιὰς: *pomegranates*
εἶχον: 3rd pl. impf. ἔχω
3 **ἐντὸς τούτων**: *within these*; the 9000 (l. 3) were enclosed by the 10,000 (l. 1)
ἐόντες: pple εἰμί
4 **οἱ...πράποντες**: *those turning their spearpoints to the ground...*
5 **οἱ...ἑπόμενοι**: *those...*; supply verb εἶχον
ἄγχιστα: superlative adverb
6 **ἐπετέτακτο**: *had been assigned to*; + dat. plpf. pass. ἐπιτάσσω
7 **μετὰ δὲ τὴν ἵππον**: *after the cavalry*
διέλειπε: *it left an interval*; impf.
δύο σταδίους: *for two stades*; acc. extent
8 **ἤιε**: 3rd sg impf. ἔρχομαι
τὴν ὁδὸν: *a journey*
ἐπορεύετο: impf. πορεύομαι
14 **λαβὼν**: *reaching*;. aor. pple. λαμβάνω
15 **οἱ...ἀναμείναντι**: *on him staying*; dat. sg.
ὑπὸ τῇ Ἴδῃ: *at the foot of Ida*; 'below'
νύκτα: acc. of duration
16 **τινα**: modifies ὅμιλον
αὐτοῦ ταύτῃ: *here in this way*
22 **ἀνέβη**: 3rd sg. aor ἀναβαίνω
25 **ἐχέαντο**: *poured* (as libation);. aor. χέω
νυκτὸς: *during the night*; gen. time within

καὶ Δάρδανον, ἥ περ δὴ Ἀβύδῳ ὅμουρος ἐστί, ἐν δεξιῇ δὲ Γέργιθας Τευκρούς.

44 Ἐπεὶ δ' ἐγένετο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν· καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτῷ ταύτῃ προεξέδρη λίθου λευκοῦ, (ἐποίησαν δὲ Ἀβυδηνοὶ ἐντειλαμένου πρότερον βασιλέος), ἐνθαῦτα ὡς ἵζετο, κατορῶν ἐπὶ τῆς ἠιόνος ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας, θηεύμενος δὲ ἱμέρθη τῶν νεῶν ἅμιλλαν γινομένην ἰδέσθαι. ἐπεὶ δὲ ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι,
45 ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ. ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα ὁ Ξέρξης ἑωυτὸν ἐμακάρισε, μετὰ δὲ τοῦτο ἐδάκρυσε.
46 μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, οὗτος ὠνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα εἴρετο τάδε. "Ὦ βασιλεῦ, ὡς πολλὸν ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν
2 δακρύεις.' ὁ δὲ εἶπε "Εσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται.' ὁ δὲ ἀμείβετο λέγων "Ἕτερα τούτου παρὰ τὴν ζόην πεπόν-
3 θαμεν οἰκτρότερα. ἐν γὰρ οὕτω βραχέϊ βίῳ οὐδεὶς οὕτως ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ βραχὺν ἐόντα

Ἀβυδηνοί, οἱ: Abydenians, 4
Ἄβυδος, -ου, ὁ: Abydus, 7
ἀκτή, ἡ: headland, promontory, 6
ἀλλήλος, -α, -ον: one another, 8
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἅμιλλα, -ης, ἡ: race, competition, conflict, 2
ἀνθρώπινος, -η, -ον: human, of a human, 1
ἅπαξ: once, once only, once for all, 1
ἀπο-κρύπτω: to conceal, hide away, 4
Ἀρταβανος, ὁ: Artabanus, 18
βραχύς, -έα, -ύ: short, brief, 9
Γέργιθαι, οἱ: Gergithians, 1
δακρύω: to weep, shed tears, 3
Δάρδανος, ὁ: Dardanus (town), 1
ἐλεύθερος, -η, -ον: free, 14
ἐν-τέλλομαι: to command, enjoin, 10
ἐπί-πλεος, -ον: quite full, full up, 2
ἐπί-τηδές: adv. for this purpose, decidedly, 2
ἑκατοστός, -ή, -όν: the hundredth, 1
ἐργάζομαι: to work, labor, toil, 6
ἐσ-έρχομαι: to go in, enter, 3
εὐ-δαίμων, -ον: happy, fortunate, blessed, 1
ζόη, ἡ: life, lifetime, 6
ζώω: to live, (Att. **ζάω**) 9
ἥδομαι: to enjoy, take delight in, 3
ἠιών, -ονος, ἡ: shore, beach, 1
θνήσκω: to die, 2
ἵζω: to make sit, place, 8
ἱμείρω: to yearn, long for, 1
κατ-οικτείρω: to feel compassion, pity, 1
κατ-οράω: to look down, perceive, 4
κολωνός, ὁ: a hill, 5
λευκός, -ή, -όν: white, bright, brilliant, 14
λίθος, ὁ: a stone, 8
λογίζομαι: to consider, reckon, calculate, 8
μακαρίζω: to deem blessed or happy, 2
μανθάνω: to learn, understand, 18
νικάω: to conquer, defeat, win, 10
νοῦσος, ἡ: malady, illness, sickness 8
οἰκτρός, -ή, -όν: pitable, pitiful, miserable, 1
ὅμουρος, -η, -ον: bordering on (dat) 2
παρ-ίστημι: to set before the mind, stand, 2
πάσχω: to suffer, experience, 19
πάτρως, -ωος, ὁ: uncle, father's brother, 2
περί-ειμι: to survive; surpass, be superior, 11
πολλάκις: many times, often, frequently, 2
προεξέδρη, ἡ: lofty chair, throne, 1
προ-ποιέω: to do beforehand, 2
προσ-πίπτω: to fall upon, befall, 2
σεωυτοῦ, -ῆς, -οῦ: yourself, 6
Σιδώνιος, -η, -ον: Sidonian, of Sidon, 6
συμ-βουλεύω: advise, deliberate together, 16
συν-ταράσσω: to confound, distress, disturb 1
Τευκροί, οἱ: Teucrians, 3
Φοίνικες, οἱ: Phoenicians, 12
φράζω: to point out, tell, indicate, 16
φύω: to be by nature, bring forth, grow, 14
χωρίζω: to separate, sever, divide, 7
ὥρη, ἡ: season, time, period of time, 19

---

1 **ἥ περ**: *which (city)*; missing fem. antecedent
3 **ἐγένετο**: *he came*; i.e. Xerxes and his army
ἠθέλησε: aor. ἐθέλω
ἰδέσθαι: *to see*; aor. inf. εἶδον
4 **προεπεποίητο**: *had been prepared*; i.e. set
5 **αὐτῷ**: *for him*; dat. with adj. ἐπίτηδες
λίθου λευκοῦ: *gen. of material (quality)*
ἐποίησαν: *made (the throne)*
6 **ἐντειλαμένου…βασιλέος**: gen. abs.
ὡς: *when*; temporal
7 **κατορῶν**: nom. sg. pres. pple
ἐθηεῖτο: impf. θηέομαι (Att. θεάομαι)
8 **ἱμέρθη**: *began to long for*; 3rd sg. inceptive aor. pass. dep. ἱμείρω
ἅμιλλαν: *a race*; governs preceding gen.
10 **ἥσθη**: *was pleased*; aor. pass. dep. ἥδομαι
ὡς…ὥρα: *when he saw*; impf. ὁράω
11 **ἀποκεκρυμμένον**: pf. pass. ἀποκρύπτω
14 **μαθὼν**: nom. sg. aor. pple μανθάνω
μιν: *it*; i.e. the situation
τὸ πρῶτον: *at first*; adverbial acc.
15 **ἀπεδέξατο**: *declared*; aor. ἀποδείκνυμι
16 **ὠνὴρ**: ὁ ἀνὴρ, crasis
φρασθεὶς: *having indicated*; i.e. noticed
17 **εἴρετο**: impf. εἴρομαι (Att. ἔρομαι)
ὡς πολλὸν: *how far….!*; adverbial acc.
ἀλλήλων: *from one another*; separation
κεχωρισμένα: pf. pass. χωρίζω
18 **ἐργάσα(σ)ο**: 2nd sg. aor. mid.
ὀλίγῳ: *a little*; dat. of degree of difference
19 **Ἐλῆλθε…κατοικτεῖραι**: *It has come over me pondering to pity*; aor. inf. is subject
ὡς βραχὺς: *how short…*; + opt. εἰμί
22 **τούτου**: *than this*; gen. of comparison
πεπόνθαμεν: *we suffer*; pf. πάσχω
24 **πέφυκε**: *is by nature*; pf. φύω
παρστήσεται: *it will come to mind*; fut.
25 **τεθνάναι**: pf. inf. θνῄσκω

4 μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτω ὁ μὲν θάνα- 1
τος μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγὴ αἱρετωτάτη τῷ
ἀνθρώπῳ γέγονε, ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθο-
47 νερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών.' Ξέρξης δὲ ἀμείβετο λέγων
Ἀρτάβανε, βιοτῆς μέν νυν ἀνθρωπηίης πέρι, ἐούσης τοι- 5
αύτης οἷην περ σὺ διαιρέαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν
μεμνώμεθα χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί, φράσον δέ
μοι τόδε· εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ ἐναργὴς οὕτω
ἐφάνη, εἶχες ἂν τὴν ἀρχαίην γνώμην, οὐκ ἐῶν με στρατεύ-
εσθαι ἐπὶ τὴν Ἑλλάδα, ἢ μετέστης ἄν; φέρε τοῦτό μοι 10
2 ἀτρεκέως εἰπέ.' ὁ δὲ ἀμείβετο λέγων Ὦ βασιλεῦ, ὄψις
μὲν ἡ ἐπιφανεῖσα τοῦ ὀνείρου ὡς βουλόμεθα ἀμφότεροι
τελευτήσειε, ἐγὼ δ' ἔτι καὶ ἐς τόδε δείματος εἰμὶ ὑπόπλεος
οὐδ' ἐντὸς ἐμεωυτοῦ, ἄλλα τε πολλὰ ἐπιλεγόμενος καὶ δὴ
καὶ ὁρῶν τοι δύο τὰ μέγιστα πάντων ἐόντα πολεμιώτατα.' 15
48 Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοῖσιδε. 'Δαιμόνιε ἀνδρῶν,
κοῖα ταῦτα δύο λέγεις εἶναι μοι πολεμιώτατα; κότερά τοι ὁ
πεζὸς μεμπτὸς κατὰ πλῆθος ἐστὶ καὶ τὸ Ἑλληνικὸν στρά-
τευμα φαίνεται πολλαπλήσιον ἔσεσθαι τοῦ ἡμετέρου, ἢ
τὸ ναυτικὸν τὸ ἡμέτερον λείψεσθαι τοῦ ἐκείνων, ἢ καὶ 20
συναμφότερα ταῦτα; εἰ γάρ τοι ταύτῃ φαίνεται ἐνδεέστερα
εἶναι τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν
49 ταχίστην ἄγερσιν ποιέοιτο.' ὁ δ' ἀμείβετο λέγων Ὦ βασιλεῦ,
οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχει, μέμφοιτ' ἂν
οὔτε τῶν νεῶν τὸ πλῆθος· ἢν δὲ πλεῦνας συλλέξῃς, τὰ δύο 25
τοι τὰ λέγω πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ δὲ δύο

ἄγερσις, -εως, ἡ: gathering, mustering, 2
αἱρετός, -ή, -όν: selected, choiceworthy, 2
αἰών, -ῶνος ὁ: life, span of life, 1
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀνθρώπιος, -η, -ον: human, 1
Ἀρταβανος, ὁ: Artabanus, 18
ἀρχαῖος, -η, -ον: ancient, old, 7
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
βιοτή, ἡ: life; living sustenance, 2
γεύω: to give a taste, taste, 1
γλυκύς, ύ: sweet, pleasant, 2
δαιμόνιος, -η, -ον: god-sent, marvelous, 2
δεῖμα, -ατος, τό: fear, dread, 5
δι-αιρέω: to divide, define, distinguish, 6
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἐμωυτοῦ, -ῆς, -οῦ: myself, 4
ἐν-αργής, -ές: clear, plain, visible, palpable, 1
ἐν-δεής, -ές: in need of, lacking, deficient, 1
ἐν-ύπνιον, τό: dream, vision seen in sleep, 7
ἐντός: within, inside, 12
ἐπι-φαίνω: to appear, make an appearance, 5
ἐπι-λέγω: to say, think over; read, choose, 13
εὑρίσκω: to find, discover, devise, invent, 19
ζόη, ἡ: life, lifetime, 6
ἡμέτερος, -α, -ον: our, 12
θάνατος, ὁ: death, 12
κατα-φυγή, ἡ: refuge, 1
κοῖος, -α, -ον: what sort of, what kind of, 4
κότερος, -α, -ον: which of two? whether? 2
μακρός, -ή, -όν: long, far, distant, large, 15
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μεμπτός, η, ον: blameworthy, contemptible 1
μέμφομαι: to blame, censure, find fault with, 2
μετ-ίστημι: to change position or mind, 1
μη-δέ: and not, but not, nor, 18
μιμνήσκω: to recall, remember, 5
μοχθηρος, -η, -ον: miserable, wretched, 1
ὄνειρος, τό: a dream, 9
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
πολέμιος, -η, -ον: hostile, of the enemy, 21
πολλαπλήσιος, -η, -ον: many times as many 4
στράτευμα, τό: an expedition, campaign, 8
συλ-λέγω: to collect, gather, 10
συν-αμφότεροι: both together, 2
σύν-εσις, εως ἡ: understanding, intelligence 1
τελευτάω: to end, complete, finish; die, 18
ὑπό-πλεος, -ον: full, quite full (+ gen) 1
φθονερός, , -ή, -όν: grudging, envious, 1
φράζω: to point out, tell, indicate, 16
χρηστός, -ή, -όν: good, worthy, 19

---

1 **ποιεῦσι**: *to (us) conducting our life*
2 **μοχθηρῆς…ζόης**: *from*…gen. separation
καταφυγὴ: predicate of verb, pf. γίνομαι
3 **γεύσας**: nom. sg. aor. pple γεύω
4 **ἐν αὐτῷ**: *in this*; i.e. in this respect
5 **βιοτῆς**: gen. object of preposition πέρι
ἐούσης: *being*; pple εἰμί modifies βιοτῆς
6 **τοιαύτης οἵην**: *the sort that*; correlatives
διαιρέ(σ)αι: 2nd sg. pres. mid. δι-αιρέω
6 **παυσώμεθα**: *let us*…; hortatory aor. subj.
7 **μεμνώμεθα**: *let us*…; hortatory aor. subj. μιμνήσκω which governs a gen. object
φράσον: aor. imperative φράζω
8 **εἴ…ἐφάνη, εἶχες ἄν**: *if…had appeared, would you keep…*; mixed contrary-to-fact condition (εἰ past, ἄν + past), here with 3rd sg. aor. pass. dep. φαίνω and impf. ἔχω
9 **ἐῶν**: pple ἐάω; constrast accent on ἐών
10 **ἢ**: *or*
μετέστης ἄν: *would you…?*; apodosis in same contrafactual; aor. subj. μετίστημι
φέρε: *come now!*
12 **ἐπιφανεῖσα**: nom. sg. aor. pass. dep. pple ἐπι-φαίνομαι, fem. modifying ὄψις
ὡς: *just as*
13 **τελευτήσειε**: *may…!*; aor. opt. of wish
καὶ ἐς τόδε: *even to this point (of time)*
14 **οὐδ᾽ ἐντὸς ἐμεωυτοῦ**: *not within myself*; i.e. I am beside myself
καὶ δὴ καὶ: *and especially*; and indeed also
15 **τὰ μέγιστα**: *most important things*
πολεμιώτατα: greatest *enemies to you*; 'most hostile to you'
16 **πρὸς**: *in regard to*
τοῖσιδε: *with such words*; dat. means
Δαιμόνιε: *Possessed one*; direct address
17 **κοῖα**: *what…*; neut. acc. subj. of εἶναι
ταῦτα: modifies acc. pred. πολεμιώτατα
κότερα…ἢ: *….or*; introducing a question with 2 options, leave κότερα untranslated
18 **κατὰ πλῆθος**: *in size*
ἔσεσθαι: fut. inf. εἰμί
19 **λείψεσθαι**: *will fall short of*; fut. λείπω
τοῦ: *from that of*…; gen. of separation
22 **ἂν ποιέοιτο**: *one could make*; potential opt
24 **μέμφοιτο ἄν**: *would be blamed*; cf. l. 22
25 **ἤν…συλλέξῃς**: *if you gather more*
26 **πολλῷ ἔτι**: *still far*; degree of difference

2 ταῦτα ἐστὶ γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης 1
ἐστὶ λιμὴν τοσοῦτος οὐδαμόθι, ὡς ἐγὼ εἰκάζω, ὅστις ἐγειρο-
μένου χειμῶνος δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν φερέγγυος
ἔσται διασῶσαι τὰς νέας. καίτοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι
[τὸν λιμένα], ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον παρ᾽ ἣν δὴ 5
3 κομίζεαι. οὐκ ὦν δὴ ἐόντων τοι λιμένων ὑποδεξίων, μάθε
ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ὤνθρωποι
τῶν συμφορέων. καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου
4 τὸ ἕτερον ἔρχομαι ἐρέων. γῆ δὲ πολεμίη τῇδέ τοι κατί-
σταται· εἰ θέλει τοι μηδὲν ἀντίξοον καταστῆναι, τοσούτῳ τοι 10
γίνεται πολεμιωτέρη ὅσῳ ἂν προβαίνῃς ἑκαστέρω, τὸ πρόσω
αἰεὶ κλεπτόμενος· εὐπρηξίης δὲ οὐκ ἔστι ἀνθρώποισι οὐδεμία
5 πληθώρη. καὶ δή τοι, ὡς οὐδενὸς ἐναντιευμένου, λέγω τὴν
χώρην πλεῦνα ἐν πλέονι χρόνῳ γινομένην λιμὸν τέξεσθαι.
ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀρρωδέοι, 15
πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς
50 εἴη.᾽ ἀμείβεται Ξέρξης τοῖσιδε· Ἀρτάβανε, οἰκότως μὲν σύ
γε τούτων ἕκαστα διαιρέαι, ἀτὰρ μήτε πάντα φοβέο μήτε
πᾶν ὁμοίως ἐπιλέγεο. εἰ γὰρ δὴ βούλοιο ἐπὶ τῷ αἰεὶ ἐπεσ-
φερομένῳ πρήγματι τὸ πᾶν ὁμοίως ἐπιλέγεσθαι, ποιήσειας 20
ἂν οὐδαμὰ οὐδέν· κρέσσον δὲ πάντα θαρσέοντα ἥμισυ τῶν
δεινῶν πάσχειν μᾶλλον ἢ πᾶν χρῆμα προδειμαίνοντα μηδαμὰ
2 μηδὲν παθεῖν. εἰ δὲ ἐρίξων πρὸς πᾶν τὸ λεγόμενον μὴ τὸ
βέβαιον ἀποδέξεις, σφάλλεσθαι ὀφείλεις ἐν αὐτοῖσι ὁμοίως
καὶ ὁ ὑπεναντία τούτοισι λέξας. τοῦτο μέν νυν ἐπ᾽ ἴσης 25
ἔχει· εἰδέναι δὲ ἄνθρωπον ἐόντα κῶς χρὴ τὸ βέβαιον; δοκέω

αἰεί: always, forever, in every case, 17
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀντί-ξοος, -ον: opposing, adverse to (dat) 4
ἀρρωδέω: to fear, dread, shrink from, 4
Ἀρταβανος, ὁ: Artabanus, 18
ἀτάρ: but, yet, however, 1
βέβαιος, -ον: firm, steadfast, sure, certain, 2
βουλεύω: to deliberate, plan, take counsel, 19
δέκομαι: to receive, accept, take, 10
δι-αιρέω: to divide, define, distinguish, 6
δια-σῴζω: to save or preserve through, 1
ἐγείρω: to raise, awaken, wake up, rouse, 3
εἰκάζω: to guess, make like, 7
ἑκάς: far, afar, far off, far from (+ gen.), 1
ἐναντιόομαι: to oppose, withstand, 4
ἐπι-εσ-φέρω: to bring in besides, 1
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἔργον, τό: work, task, deed, act, 12
ἐρίζω: to contend, quarrel, strive, 1
εὐ-πρηξία, ἡ: success; good conduct, 1
ἥμισυς, -υ: half, 8
θαρσέω: to take heart, be confident, 2
θράσύς, -εῖα, ύ: bold, daring, courageous, 1
ἴσος, -η, -ον: equal, like; balanced, 15
καί-τοι: and yet, and indeed, and further 6
κατ-ίστημι: set down; appoint, establish, 18
κλέπτω: to steal, cheat, 1
κομίζω: to carry, convey; travel, journey, 6
κρέσσων, -ον:, stronger, better superior, 3
κῶς: how? in what way? (Att. **πῶς**) 2
λιμήν, -μένος, ὁ: a harbor, haven, 3
λιμός. ὁ, ἡ: hunger, famine, 4
μανθάνω: to learn, understand, 18
μηδαμά: *adv*. in no way (Att. μηδαμῇ)
μηδ-εἰς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
μή-τε: and not, neither…nor, 14
οἰκότως: reasonably, likely (Att. **εοἰκότως**) 1
οὐδαμο-θι: in no place, nowhere, 3
πάσχω: to suffer, experience, 19
πληθώρη, ἡ: fullness, satiety, 2
προ-βαίνω: advance, step forward, 2
πρό-δειμαίνω: to fear beforehand, 1
πρόσω: forwards, further, far, 15
σφάλλω: to fall; make fall, overthrow; 5
τίκτω: to beget, bring forth, bear, produce, 4
ὑπ-εναντιος, -ον: opposing, contrary, 3
ὑπο-δέξιος, -ον: able to receive, spacious, 1
φερέγγυος, -ον: guaranteed; sufficient (inf.) 1
φοβέω: to put to flight, terrify, frighten, 9
χειμών, -ῶνος τό: storm, winter, 15

---

1 **θαλάσσης**: partitive gen. with οὐδαμόθι
2 **ὅστις**: *which*…; antecedent λιμὴν
ἐγειρομένου χειμῶνος: gen. abs.
3 **δεξάμενος**: *receiving (acc) from (gen)*; aor.
4 **ἔσται**: 3rd sg. fut. εἰμί
διασῶσαι: aor. inf. δια-σῴζω
οὐκὶ ἕνα αὐτὸν: *not just one*; (Att. οὐχὶ)
5 **παρὰ.... παρ᾽ ἣν**:: *along...along which*
6 **κομίζε(σ)αι**: 2nd sg. pres. mid. κομίζω
ἐόντων…ὑποδεξίων: gen. absolute
μάθε: aor. imperative μανθάνω
ἄρχουσι: *rule* + genitive object
7 **ὤνθρωποι**: οἱ ἄνθρωποι, crasis
8 **τῶν δύο…εἰρημένου**: *one of the two having been spoken to you*; gen. abs., pf. pass. pple
9 **ἔρχομαι ἐρέων**: *I am going to talk (about)*; periphrastic future, fut. pple ἐρέω
τῇδε: *in the following way*; 'in this way'
κατίσταται: *is*; 'stands'
10 **μηδὲν**: *nothing*; subject of (ἐ)θέλει
καταστῆναι: *to become*; aor. inf.
τοσούτῳ…ὅσῳ: *by so much…by as much*; 'the more…the more' degree of difference
11 **ἑκαστέρω**: *farther*; comparative adv. ἑκάς
τὸ πρόσω: *farther*; adverbial acc.
12 **κλεπτόμενος**: *cheated (as you go)*; a wide range of translations for this mid/pass pple
13 **εὐπρηξίης**: partitive gen. with πληθώρη
ὡς…ἐναντιευμένου: *since*…; gen. abs.
14 **γινομένην**: *(by) becoming*…; pple is causal
πλεῦνα: *more*; fem. acc. pred. Att. πλέονα
τέξεσθαι: fut. mid. τίκτω; χώρην subject
15 **ἂν εἴη…ἀρρωδέοι**: *would be...should fear*; future less vivid (εἰ opt., ἄν + opt)
16 **πᾶν…χρῆμα**: *every thing*; object of inf.
πείσεσθαι: *that he will*…; fut. inf. πάσχω
ἐν δὲ τῷ ἔργῳ: *in action*; μὲν…δὲ offers a contrast between word/action, fear/courage
18 **διαιρέ(σ)αι, φοβέ(σ)ο, ἐπιλέγε(σ)ο,**: 2nd sg
19 **ἐπι πρήματι**: *in every occasion happening*
βούλοιο: future less vivid (should, would)
21 **οὐδαμὰ**: *in no way*; adv. (Att. οὐδαμῇ)
κρέσσον: *(it is) better that*; acc. subj. + inf.
23 **ἐρίξων πρὸς**: *arguing against*; fut pple
24 **μὴ…ἀποδέξεις**: *you do not prove (it)*; fut.
ὁμοίως καὶ: *similarly as the one speaking*
25 **τοῦτο…ἔχει**: *in this respect both are equal*
26 **εἰδέναι**: *how must one though human know*

μὲν οὐδαμῶς. τοῖσι τοίνυν βουλομένοισι ποιέειν ὡς τὸ ἐπίπαν φιλέει γίνεσθαι τὰ κέρδεα, τοῖσι δὲ ἐπιλεγομένοισί τε πάντα καὶ ὀκνέουσι οὐ μάλα ἐθέλει. ὁρᾷς τὰ Περσέων πρήγματα ἐς ὃ δυνάμιος προκεχώρηκε. εἰ τοίνυν ἐκεῖνοι οἱ πρὸ ἐμεῦ γενόμενοι βασιλέες γνώμῃσι ἐχρέωντο ὁμοίῃσι καὶ σύ, ἢ μὴ χρεώμενοι γνώμῃσι τοιαύτῃσι ἄλλους συμβούλους εἶχον τοιούτους, οὐκ ἄν κοτε εἶδες αὐτὰ ἐς τοῦτο προελθόντα· νῦν δὲ κινδύνους ἀναρριπτέοντες ἐς τοῦτο σφέα προηγάγοντο. μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει καταιρέεσθαι. ἡμεῖς τοίνυν ὁμοιεύμενοι ἐκείνοισι ὥρην τε τοῦ ἔτεος καλλίστην πορευόμεθα, καὶ καταστρεψάμενοι πᾶσαν τὴν Εὐρώπην νοστήσομεν ὀπίσω, οὔτε λιμῷ ἐντυχόντες οὐδαμόθι οὔτε ἄλλο ἄχαρι οὐδὲν παθόντες. τοῦτο μὲν γὰρ αὐτοὶ πολλὴν φορβὴν φερόμενοι πορευόμεθα, τοῦτο δέ, τῶν ἄν κου ἐπιβέωμεν γῆν καὶ ἔθνος, τούτων τὸν σῖτον ἕξομεν· ἐπ᾽ ἀροτῆρας δὲ καὶ οὐ νομάδας στρατευόμεθα ἄνδρας.᾽ λέγει Ἀρτάβανος μετὰ ταῦτα ‘Ὦ βασιλεῦ, ἐπείτε ἀρρωδέειν οὐδὲν ἐᾷς πρῆγμα, σὺ δέ μευ συμβουλίην ἔνδεξαι· ἀναγκαίως γὰρ ἔχει περὶ πολλῶν πρηγμάτων πλεῦνα λόγον ἐκτεῖναι. Κῦρος ὁ Καμβύσεω Ἰωνίην πᾶσαν πλὴν Ἀθηναίων κατεστρέψατο δασμοφόρον εἶναι Πέρσῃσι. τούτους ὦν τοὺς ἄνδρας συμβουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τοὺς πατέρας· καὶ γὰρ ἄνευ τούτων οἷοί τε εἰμὲν τῶν ἐχθρῶν κατυπέρτεροι γίνεσθαι. ἢ γὰρ σφέας, ἢν ἔπωνται, δεῖ ἀδικωτάτους γίνεσθαι καταδουλουμένους τὴν μητρόπολιν, ἢ δικαιοτάτους συνελευθεροῦντας. ἀδικώτατοι μέν νυν γινόμενοι οὐδὲν κέρδος μέγα ἡμῖν προσβάλλουσι, δικαιότατοι δὲ γινόμενοι οἷοί τε δηλήσασθαι μεγάλως τὴν σὴν στρατιὴν

ἄ-δικος, -ον: unjust, unrighteous, 5
ἀνα-ρρίπτω: to throw up, 1
ἀροτήρ, -ρος, ὁ: a plougher, 1
ἀρρωδέω: to fear, dread, shrink from, 4
Ἀρταβανος, ὁ: Artabanus, 18
ἄ-χαρις, -χαρι: unpleasant, disagreeable, 5
δασμο-φόρος, -ον: paying tribute to, 2
δηλέομαι: to hurt, do mischief to, 1
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
ἐκ-τείνω: to stretch out, extend, 2
ἐν-δέκομαι: to receive, admit, consent to, 5
ἐν-τυγχάνω: to chance upon, meet with, 1
ἐπι-βαίνω: to go upon, step upon, 2
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐπί-παν: on the whole, in general 2
ἐχθρός, -ή, -όν: hated, hostile; *subs*. enemy 16
ἕπομαι: follow, accompany, escort (+ dat) 12
Εὐρώπη, ἡ: Europe, 13
Ἰωνίη, ἡ: Ionia 1
Καμβύσης, -εω, ὁ: Cambyses, 5
κατα-δουλόω: to reduce to slavery, enslave, 2
κατ-αιρέω: take down (win); destroy, 2
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κατ-υπέρτερος, η, ον: superior, above (gen) 2
κέρδος, -εος, τό: profit, advantage, gain, 4
κίνδυνος, ὁ: risk, danger, venture, 4
Κῦρος, -ου, ὁ: Cyrus, 11
λιμός. ὁ, ἡ: hunger, famine, 4
μεγάλως: greatly, mightily, 10
μηδ-εἰς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
μητρό-πολις, ἡ: mother-state, mother-city, 1
μηχανή, ἡ: instrument, contrivance, device, 3
νομάς, νομάδος: nomadic, roaming, 3
νοστέω: return, come back, 7
ὀκνέω: to shrink from, hesitate, 1
οὐδαμο-θι: in no place, nowhere, 3
πάσχω: to suffer, experience, 19
πατήρ, ὁ: a father, 18
προ-άγω: to adfance, lead forward, 1
προ-έρχομαι: to go forth, advance, 3
προ-χωρέω: to go forward, advance, 1
προσ-βάλλω: to bring, cast upon, attack, 2
σῖτος, ὁ: to grain, food (pl. σῖτα, τὰ) 10
συμ-βουλεύω: advise, deliberate together, 16
συμ-βουλίη, ἡ: counsel, advise given, 3
σύμ-βουλος, ὁ: an adviser, counsellor, 1
συν-ελευθερόω: to join in freeing from, 3
τοί-νυν: well then; therefore, accordingly, 8
φιλέω: to love; tend to (+ ind.), 16
φορβή, ἡ: food; fodder, forage, 3
ὥρη, ἡ: season, time, period of time, 19

---

1 οὐδαμῶς: (that) *in no way (a human can know what is certain)*; ellipsis
τοῖσι: *to those…*; dat. of possession
ὡς τὸ ἐπίπαν*: on the whole*; in general
2 τοῖσι δὲ: *but to those..*
3 ὀκνέουσι: dat. pl. pple ὀκνέω with τοῖσι
οὐ…ἐθέλει: *is not very much accostomed…*
τὰ…πρήγματα: pl. subj. of προκεχώρηκε
4 ἐς ὃ δυνάμιος: *to what (point) of power*
προκεχώρηκε: plpf. προ-χωρέω
5 πρό ἐμεῦ:: *before me*; temporal
εἰ…ἐχρέωντο…εἶχον…ἄν εἶδες: *if you employed…had, you would have seen*; mixed contrafactual (εἰ impf, ἄν + aor)
ὁμοίῃσι καὶ σύ*: same as you,* ὁμοῖος καὶ
6 ἤ: *or*; second part of the protasis
χρεώμενοι: pres. pple χράομαι + dat.
7 ἄν εἶδες: *you would have seen*
αὐτα…προελθόντα: *them advancing to this (point of success)*; i.e. the Persian state
8 νῦν δὲ: *but as it is*; after a contrafactual
κινδύνους ἀναρριπτέοντες: *(the kings) running the risks*; idiom 'throwing risks'
ἐς τοῦτο…προηγάγοντο: *they brought their own (affairs) to this (point of success)*
10 ἐθέλει: *are accustomed*; neut. pl. subject
ὁμοιεύμενοι: *being like* + dat; ὁμοιόω
11 ὥρην…ἔτεος: *during the fairest season of the year*; acc. duration of time
13 ἐντυχόντες: *meeting with*; + dat., aor. pple ἐντυγχάνω
ἄχαρι: neuter acc. single
παθόντες*:* aor. pple πάσχω
τοῦτο μὲν…τοῦτο δὲ: *on the one hand…on the other*; acc. of respect: 'in this respect'
15 τῶν ἄν…ἐπιβέωμεν: *whoseever…*; general relative clause (aor. subj. ἐπιβαίνω + ἄν)
16 ἕξομεν*:* fut. ἔχω
ἐπ'*: against…*
18 ἐᾷς*: you do not allow (us);* 2nd sg. ἐάω
19 ἔνδεξαι*:* aor. imperative ἐνδέκομαι
ἀναγκαίως ἔχει*: it is necessary*; ἔχω + adv. is often translated 'to be' + adj.
21 εἶναι*: (so as) to be…*; inf. of result
23 οἷοι τε εἰμέν*:* we are able; idiom οἷος τε
28 οἷοι τε*: they are able*; supply verb εἰσί

γίνονται. ἐς θυμὸν ὦν βάλευ καὶ τὸ παλαιὸν ἔπος ὡς εὖ εἴρηται, τὸ μὴ ἅμα ἀρχῇ πᾶν τέλος καταφαίνεσθαι.'

52 ἀμείβεται πρὸς ταῦτα Ξέρξης· Ἀρτάβανε, τῶν ἀπεφήναο γνωμέων σφάλλεαι κατὰ ταύτην δὴ μάλιστα, ὃς Ἴωνας φοβέαι μὴ μεταβάλωσι, τῶν ἔχομεν γνῶμα μέγιστον, τῶν σύ τε μάρτυς γίνεαι καὶ οἱ συστρατευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ Σκύθας, ὅτι ἐπὶ τούτοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο διαφθεῖραι καὶ περιποιῆσαι, οἳ δὲ δικαιοσύνην καὶ πιστότητα ἐνέδωκαν, ἄχαρι δὲ οὐδέν. πάρεξ δὲ τούτου, ἐν τῇ ἡμετέρῃ καταλιπόντας τέκνα καὶ γυναῖκας καὶ χρήματα οὐδ' ἐπιλέγεσθαι χρὴ νεώτερόν τι ποιήσειν. οὕτω μηδὲ τοῦτο φοβέο, ἀλλὰ θυμὸν ἔχων ἀγαθὸν σῷζε οἶκόν τε τὸν ἐμὸν καὶ τυραννίδα τὴν ἐμήν· σοὶ γὰρ ἐγὼ μούνῳ ἐκ πάντων σκῆπτρα τὰ ἐμὰ ἐπιτράπω.'

53 ταῦτα εἴπας καὶ Ἀρτάβανον ἀποστείλας ἐς Σοῦσα δεύτερα μετεπέμψατο Ξέρξης Περσέων τοὺς δοκιμωτάτους· ἐπεὶ δέ οἱ παρῆσαν, ἔλεγέ σφι τάδε. 'Ὦ Πέρσαι, τῶνδ' ἐγὼ ὑμέων χρηίζων συνέλεξα, ἄνδρας τε γενέσθαι ἀγαθοὺς καὶ μὴ καταισχύνειν τὰ πρόσθε ἐργασμένα Πέρσῃσι, ἐόντα μεγάλα τε καὶ πολλοῦ ἄξια, ἀλλ' εἷς τε ἕκαστος καὶ οἱ σύμπαντες προθυμίην ἔχωμεν· ξυνὸν γὰρ πᾶσι τοῦτο ἀγαθὸν σπεύδεται.

τῶνδε δὲ εἵνεκα προαγορεύω ἀντέχεσθαι τοῦ πολέμου ἐντεταμένως· ὡς γὰρ ἐγὼ πυνθάνομαι, ἐπ' ἄνδρας στρατευόμεθα ἀγαθούς, τῶν ἢν κρατήσωμεν, οὐ μή τις ἡμῖν ἄλλος στρατὸς ἀντιστῇ κοτε ἀνθρώπων. νῦν δὲ διαβαίνωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι οἳ Περσίδα γῆν λελόγχασι.'

ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀντ-έχω: hold out against, stop; lay hold of, 5
ἀντ-ίστημι: to stand or set against, resist, 2
ἀπο-στέλλω: to send out or away, dispatch, 2
ἀπο-φαίνω: to show, make clear; perform, 5
Ἀρταβανος, ὁ: Artabanus, 18
ἄ-χαρις, -χαρι: unpleasant, disagreeable, 5
βάλλω: to throw, pelt, hit, strike, 5
γνῶμα, τὰ: mark, token, guarantee, 1
δια-φθείρω: to destroy, corrupt, kill, 11
δικαιοσύνη, ἡ: justice, righteousness, 3
δόκιμος, -ον: notable, famous, worthy, 9
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐν-δίδωμι: to give in, surrender, 1
ἐντεταμένως: strenuously, vehemently, 2
ἐπ-εύχομαι:, to pray, pray to, 2
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐπι-τρέπω: to turn over, commit, bequeath, 8
ἐργάζομαι: to work, labor, toil, 6
Ἴων,Ἴωνος, ὁ: Ionian, 9
ἡμέτερος, -α, -ον: our, 12
κατ-αισχύνω: to disgrace; *mid*. feel shame, 1
κατα-λείπω: to leave behind, 9
κατα-φαίνω: to make clear, reveal, 1
κρατέω: to gain control, overpower (gen) 3
λαγχάνω: to obtain by lot, 1
μάρτυς. ὁ, ἡ: a witness, 2
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μετα-βάλλω: to change, 6
μετα-πέμπω: to send after or for, summon, 3
μη-δέ: and not, but not, nor, 18
νεώτερος, -α, -ον: younger; rather recent, 4
ξυνός, -ή, -όν: common, public, general, 2
παλαιός, -ή, -όν: old in years, old, aged, 17
πάρ-εξ: *adv*. besides; except; outside (gen.) 3
περι-ποιέω: to preserve, keep safe, 2
Περσικός, -ή, -όν: Persian, 6
Περσίς, Περσίδος: Persian, 3
πιστότης, -ητος ἡ:, ὁ: faithfulness, trust, 1
προ-αγορεύω: proclaim, tell beforehand, 2
προ-θυμίη, ἡ: eagerness, zeal, readiness, 5
πρόσθεν: before, 1
σκῆπτρον, τό: scepter, staff, 1
Σκύθης, -ου, ὁ: Scythian, 11
Σοῦσα, τά: Susa, 8
σπεύδω: to be eager, hasten 1
συλ-λέγω: to collect, gather, 10
σύμ-πας, -πασα, -παν: every, all, whole, 7
συστρατεύω: to (join/share in a) campaign, 7
σφάλλω: to fall; make fall, overthrow; 5
σῴζω: to save, keep, preserve, 9
τέκνον, τό: a child, 9
τέλος, -εος, τό: end, result; *adv*. at last 18
τυραννίς, -ίδος, ἡ: sovereignty, 4
φοβέω: to put to flight, terrify, frighten, 9
χρῃζω: to desire, long for, ask for, 6

---

1 ἐς θυμὸς...βάλευ: *Take to heart*; aor. imper.
ὡς...εἴρηται: *that the old saying has been said well*; proleptic ἔπος, pf. λέγω (ερ)
2 τὸ...καταφαίνεσθαι: *(namely) that...is reveal*; this articular pass. inf. is the ἔπος
3 τῶν...: *of these opinions you revealed*
ἀπεφήα(σ)ο: 2nd sg. aor. ἀποφαίνω
4 σφάλλε(σ)αι: 2nd sg. pres.
κατὰ ταύτην:: *in this (opinion)*; γνωμήν
Ἴωνας: prolepsis, subj. of μεταβάλωσι
5 μὴ μεταβάλωσι: fearing clause; aor. subj.
τῶν: *whose...*; relative, i.e. the Ionians'
γνῶμα: neut. different from fem. γνώμη
τῶν: *of which*
γίνεσ(σ)αι: 2nd sg. pres. mid. γίνομαι
7 ὅτι: *(namely that)...*obj. of A.'s witness
ἐπὶ τούτοισι: *in these (Ionians)*; i.e. in (the power of) these Ionians
8 διαφθεῖραι, περιποιῆσαι: aor. infinitives
9 ἐνέδωκαν: 3rd pl. aor. ἐνδίδωμι
ἄχαρι: *(was) disagreeable*; add linking verb
10 καταλιπόντας: modifies the missing subject of fut. inf. ποιήσειν
11 ἐπιλέγεσθαι χρή: *it is not even necessary that we consider that (they)...*
νεώτερόν: *revolutionary*; 'a newer thing'
12 φοβέο: sg. imperative (Att. φοβοῦ)
σῷζε: sg. imperative
13 ἐκ πάντων: *out of all (Persians)*
15 εἴπας, ἀποστείλας: nom. aor. act. pple
16 δεύτερα: *then*; 'second,' adverbial acc.
17 οἱ: *to him*; dat. sg. 3rd person pronoun
παρῆσαν: 3rd pl. impf. πάρ-ειμι
18 χρηίζων: *desiring (gen) from (gen.)*
ἄνδρας τε: *(namely) that (you) be...*; in apposition to τῶνδε the obj. of χρηίζων
19 Πέρσῃσι: dat. of agent with pf. pass. pple
21 ἔχωμεν: *let us...*; hortatory subj.
24 τῶν ἢν κρατήσωμεν: *whom, if...*; aor. subj.
25 οὐ μή...ἀντιστῇ: *will <u>not</u> resist;* οὐ μή + pres. subj. equal to a fut. and strong denial
26 λελόχασι: 3rd pl. pf. λαγχάνω

54 ταύτην μὲν τὴν ἡμέρην παρεσκευάζοντο ἐς τὴν διάβασιν· τῇ δὲ ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον ἐθέλοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά τε παντοῖα ἐπὶ τῶν γεφυρέων κατα-
2 γίζοντες καὶ μυρσίνῃσι στορνύντες τὴν ὁδόν. ὡς δ' ἐπανέτελλε ὁ ἥλιος, σπένδων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν εὔχετο πρὸς τὸν ἥλιον μηδεμίαν οἱ συντυχίην τοιαύτην γενέσθαι, ἥ μιν παύσει καταστρέψασθαι τὴν Εὐρώπην πρότερον ἢ ἐπὶ τέρμασι τοῖσι ἐκείνης γένηται. εὐξάμενος δὲ ἐσέβαλε τὴν φιάλην ἐς τὸν Ἑλλήσποντον καὶ χρύσεον κρητῆρα καὶ Περσικὸν ξίφος, τὸν ἀκινάκην
3 καλέουσι. ταῦτα οὐκ ἔχω ἀτρεκέως διακρῖναι οὔτε εἰ τῷ ἡλίῳ ἀνατιθεὶς κατῆκε ἐς τὸ πέλαγος οὔτε εἰ μετεμέλησέ οἱ τὸν Ἑλλήσποντον μαστιγώσαντι καὶ ἀντὶ τούτων τὴν
55 θάλασσαν ἐδωρέετο. ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, διέβαινον κατὰ μὲν τὴν ἑτέρην τῶν γεφυρέων τὴν πρὸς τοῦ Πόντου ὁ πεζός τε καὶ ἡ ἵππος ἅπασα, κατὰ δὲ τὴν πρὸς τὸ
2 Αἰγαῖον τὰ ὑποζύγια καὶ ἡ θεραπηίη. ἡγέοντο δὲ πρῶτα μὲν οἱ μύριοι Πέρσαι, ἐστεφανωμένοι πάντες, μετὰ δὲ τούτους ὁ σύμμεικτος στρατὸς παντοίων ἐθνέων. ταύτην μὲν τὴν ἡμέρην οὗτοι, τῇ δὲ ὑστεραίῃ πρῶτοι μὲν οἵ τε ἱππόται καὶ οἱ τὰς λόγχας κάτω τρέποντες· ἐστεφάνωντο
3 δὲ καὶ οὗτοι. μετὰ δὲ οἵ τε ἵπποι οἱ ἱροὶ καὶ τὸ ἅρμα τὸ ἱρόν, ἐπὶ δὲ αὐτός τε Ξέρξης καὶ οἱ αἰχμοφόροι καὶ οἱ ἱππόται οἱ χίλιοι, ἐπὶ δὲ τούτοισι ὁ ἄλλος στρατός. καὶ αἱ νέες ἅμα ἀνήγοντο ἐς τὴν ἀπεναντίον. ἤδη δὲ ἤκουσα καὶ ὕστατον διαβῆναι βασιλέα πάντων.

56 Ξέρξης δὲ ἐπεὶ διέβη ἐς τὴν Εὐρώπην, ἐθηεῖτο τὸν στρατὸν ὑπὸ μαστίγων διαβαίνοντα· διέβη δὲ ὁ στρατὸς αὐτοῦ ἐν ἑπτὰ ἡμέρῃσι καὶ [ἐν] ἑπτὰ εὐφρόνῃσι, ἐλινύσας

Αἰγαιος, ὁ: Aegean sea, 2
αἰχμοφόρος, ὁ: bodyguard, spearman, 4
ἀκινάκης, ἡ: short straight sword (Persian), 2
ἀν-άγω: to lead up, put to sea, 11
ἀνα-μένω: to await, wait, stay, 3
ἀνα-τίθημι: to set up, dedicate; attribute, 2
ἀν-ίσχω: to rise up, hold up (**ἀν-έχω**), 1
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀπ-εναντίον: *adv*. opposite, 1
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
γεφύρη, ἡ: bridge; dam, mound, 9
διά-βασις, -εως, ἡ: a (means of) crossing, 2
δια-κρίνω: divide, decide, settle; distinguish 5
δωρέω: to give, present (acc) with (dat) 10
ἐλινύω : to cease, take rest, be at rest, 1
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐπ-αν-τέλλω: to rise up, raise, lift up, 1
ἐσ-βάλλω: throw or put into; put on board 11
Εὐρώπη, ἡ: Europe, 13
εὐ-φρόνη, ἡ: night, kindly (time), 3
εὔχομαι: to pray, offer prayers, 4
ἡγέομαι: to lead; consider, think, believe, 11
θεραπήίη, ἡ: service, train of servants, 8
θυμίημα, τό: incense, 1
ἱππότης, ὁ: a horseman, cavalry, 6
κατ-αγίζω: to burn; dedicate, devote, 2
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κατ-ήκω: to have come down; be fitting, 6
κάτω: down, below, 18
κρητήρ, -ήρος, ὁ: mixing bowl (for wine) 1
λόγχη, ἡ: a spear-head, javelin-head, 18
μαστιγόω: to whip, flog, 5
μάστιξ, -ιγος, ἡ: a whip, lash, 7
μετα-μέλομαι: to regret, change one's mind, 2
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
μυρσίνη, ἡ: a myrtle branch,1
ξίφος, τό: a sword, 3
παντοῖος, -η, -ον: of all sorts, various, 9
παρα-σκευάζω: to prepare, get ready, 15
πέλαγος, -εος, τό: the sea, 5
Περσικός, -ή, -όν: Persian, 6
πόντος, ὁ: sea, 5
σπένδω: to pour a libation; make a treaty 2
στεφανόω: to crowne, wreath, honor, 3
στόρνυμι: to spread, lay low (**στορέννυμι**) 2
σύμ-μείκτος, -η, -ον:: mixed, comminged, 2
συν-τυχίη, ἡ: accident, chance; success, 1
τέρμα, -ατος, τό: an end, boundary, limit, 2
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
ὑπο-ζύγιον, τό: yoked beasts, 11
ὕστατος, -η, -ον: last, latter, 4
ὑστεραῖος, -η, -ον: (on) the next day, 4
φιάλη, ἡ: a broad, flat vessel, a bowl, 4
χρύσεος, -η, -ον: golden, 15

---

1 **ταύτην…ἡμέρην**: *for…*; duration of time
ἐς: *for…*; expressing purpose
2 **τῇ δὲ ὑστεραίῃ (ἡμέρῃ)**: dat. time when
ἀνέμενον: aor. mid. pple ἀν-ίημι
ἰδέσθαι: inf. εἶδον
3 **ἀνίσχοντα**: similar to ἀνέμενον but pres.
4 **στορνύντες**: nom. pl. pres. pple
6 **μηδεμίαν…γενέσθαι**:: *that…*; συντυχίην is acc. subject
8 **πρότερον ἤ**: *before*; 'previously than'
9 **ἐσέβαλε**: aor. ἐσ-βάλλω
10 **τὸν**: *which…*; antecedent ξίφος
οὐκ ἔχω: *I am not able*; + aor. inf.
11 **οὔτε εἰ…οὔτε εἰ**: *either whether…or whether*; ind. question with διακρῖναι
12 **ἀνατιθεὶς κατῆκε**: *dedicating it to the sun he threw it down*; pres. pple, aor. κατ-ίημι
12 **μεταμελήσει**: *there was regret*; aor impers.
13 **ἀντὶ τούτων**: *in return for these (crimes)*
14 **ἐπεποίητο**: plpf. pass. ποιέω + dat agent
15 **κατὰ**: *over*
προς: *near to the Black Sea*
16 **προς**: *near*
18 **ἐστεφανωμένοι**:: pf. pass. pple
19 **ταύτην…ἡμέρην**: *for…*; duration of time
20 **τῇ δὲ ὑστεραίῃ (ἡμέρῃ)**: dat. time when
22 **μετὰ δὲ**: *next*; 'after these'
23 **ἐπὶ δὲ**: *and in addition to (this)*; i.e. next
25 **ἀνήγοντο**: impf. pass. ἀν-άγω
ἐς τὴν ἀπεναντίον: to the opposite (land); 'to that opposite,' i.e the opposite shore
26 **ἤκουσα**: *I heard*; 1st sg., Herodotus speaks
26 **ὕστατον**: *last*; superlative + partitive gen.
διαβῆναι: aor. inf. διαβαίνω in indirect disc. governed by acc. subj. βασιλέα
27 **διέβη**: 3rd sg. aor.
ἐθηεῖτο: impf. θηέομαι
29 **αὐτοῦ**: *there*; adverb

2 οὐδένα χρόνον. ἐνθαῦτα λέγεται, Ξέρξεω ἤδη διαβεβηκότος τὸν Ἑλλήσποντον, ἄνδρα εἰπεῖν Ἑλλησπόντιον "Ὦ Ζεῦ, τί δὴ ἀνδρὶ εἰδόμενος Πέρσῃ καὶ οὔνομα ἀντὶ Διὸς Ξέρξην θέμενος ἀνάστατον τὴν Ἑλλάδα θέλεις ποιῆσαι, ἄγων πάντας ἀνθρώπους; καὶ γὰρ ἄνευ τούτων ἐξῆν τοι ποιέειν ταῦτα.'

57 ὡς δὲ διέβησαν πάντες, ἐς ὁδὸν ὁρμημένοισι τέρας σφι ἐφάνη μέγα, τὸ Ξέρξης ἐν οὐδενὶ λόγῳ ἐποιήσατο καίπερ εὐσύμβλητον ἐόν· ἵππος γὰρ ἔτεκε λαγόν. εὐσύμβλητον ὦν τῇδε [τοῦτο] ἐγένετο, ὅτι ἔμελλε μὲν ἐλᾶν στρατιὴν ἐπὶ τὴν Ἑλλάδα Ξέρξης ἀγαυρότατα καὶ μεγαλοπρεπέστατα, ὀπίσω δὲ περὶ ἑωυτοῦ τρέχων ἥξειν ἐς τὸν αὐτὸν χῶρον.

2 ἐγένετο δὲ καὶ ἕτερον αὐτῷ τέρας ἐόντι ἐν Σάρδισι· ἡμίονος γὰρ ἔτεκε ἡμίονον διξὰ ἔχουσαν αἰδοῖα, τὰ μὲν ἔρσενος, τὰ δὲ

58 θηλέης· κατύπερθε δὲ ἦν τὰ τοῦ ἔρσενος. τῶν ἀμφοτέρων λόγον οὐδένα ποιησάμενος τὸ πρόσω ἐπορεύετο, σὺν δέ οἱ ὁ πεζὸς στρατός. ὁ δὲ ναυτικὸς ἔξω τὸν Ἑλλήσποντον πλέων

2 παρὰ γῆν ἐκομίζετο, τὰ ἔμπαλιν πρήσσων τοῦ πεζοῦ. ὃ μὲν γὰρ πρὸς ἑσπέρην ἔπλεε, ἐπὶ Σαρπηδονίης ἄκρης ποιεύμενος τὴν ἄπιξιν, ἐς τὴν αὐτῷ προείρητο ἀπικομένῳ περιμένειν· ὁ δὲ κατ' ἤπειρον στρατὸς πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐποιέετο τὴν ὁδὸν διὰ τῆς Χερσονήσου, ἐν δεξιῇ μὲν ἔχων τὸν Ἕλλης τάφον τῆς Ἀθάμαντος, ἐν ἀριστερῇ δὲ Καρδίην πόλιν, διὰ μέσης δὲ πορευόμενος πόλιος τῇ οὔνομα τυγχάνει

3 ἐὸν Ἀγορή. ἐνθεῦτεν δὲ κάμπτων τὸν κόλπον τὸν Μέλανα καλεόμενον καὶ Μέλανα ποταμόν, οὐκ ἀντισχόντα τότε τῇ στρατιῇ τὸ ῥέεθρον ἀλλ' ἐπιλιπόντα, τοῦτον τὸν ποταμὸν διαβάς, ἐπ' οὗ καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει, ἤιε πρὸς ἑσπέρην, Αἶνόν τε πόλιν Αἰολίδα καὶ Στεντορίδα

ἀ-γαυρός, -η, -ον: stately, proud, 1
Ἀγορή, ἡ: Agora (town), 1
Ἄθαμας, -άντος, ὁ: Athamas (male), 3
αἰδοῖον, τό: the genitals, 2
Αἶνος, ὁ: Aenus (town) 1
Αἰολίς, -ίδος: *fem. adj.* Aeolian, 3
ἀνά-στατος, -ον: driven from home, ruined, 7
ἀνατολή, ἡ: rise, rising; east; eastern, 3
ἀντ-ίσχω: to hold out against (ἀντ-έχω), 1
ἄπ-ιξις, ἡ: arrival, destination 1
ἀριστερός, -ή, -όν: left, left side, 8
διξός, -ή, -όν: twofold, double (Att. διττός), 3
εἴδομαι: to appear like, seem to be (dat.) 1
Ἕλλη, ἡ: Helle (female), 1
Ἑλλησπόντιος, -η, -ον: of the Hellespont, 3
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἔμ-παλιν: opposite, contrary to (gen), 1
ἐνθεῦτεν: from here, from there (ἐντεῦθεν) 12
ἐπι-λείπω: to fail, run dry; leave behind, 5
ἐπωνυμίη, ἡ: name, a nickname, surname, 16
ἑσπέρη, ἡ: evening, eve; west, 10
ἔρσην, -ενος, ὁ: male, masculine, 4
εὐ-σύμ-βλητος, -ον: easy to interpret, 2
ἥκω: to have come, be present, 10
ἡμί-ονος, ὁ: mule, half-breed, 2
ἠώς, ἡ: daybreak, dawn, 17
θῆλυς, -εα, -υ: female, feminine, 1
καίπερ: although, albeit, 5
κάμπτω: to bend, to round (the bend), 3
Καρδιή, ἡ: Cardia, 1
κατ-ύπερθε: from above, above, on top, 5
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
κομίζω: to carry, convey; travel, journey, 6
λαγός, ὁ: a hare, rabbit, (Att. λαγῶς) 3
Μέλας, Μέλανος, ὁ: Black river, 2
μεγαλοπρεπής, -ές: magnificent, 1
περι-μένω: to wait for, await, 2
πρήσσω: to do, accomplish, make, act, 10
προ-λέγω: to say or order beforehand, 2
πρόσω: forwards, further, far, 15
ῥέεθρον, τό: river, stream, channel, 7
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
Σαρπηδόνιος, -η -ον: of Sarpedon (town), 1
Στεντορίς, -ίδος: *fem. adj.* of Stentor, 1
τάφος, ὁ : tomb, 3
τέρας, τό: portent, sign, wonder, marvel, 4
τίκτω: to beget, bring forth, bear, produce, 4
τρέχω: to run (aor. ἔδραμον) 4
Χερσόνησος, ὁ: Chersonese (peninsula), 3

---

1 οὐδένα χρόνον: *for…*; duration of time
λέγεται: *it is said*; acc + inf. construction
Ξέρξεω διαβεβηκότος: gen. abs. δια-βαίνω
τί: *why*
3 εἰδόμενος: similar to ἀνέμενον but pres.
οὔνομα…θέμενος: *making your name…;* double acc., aor. mid. pple τίθημι
4 ποιῆσαι: aor. inf. with a double acc.
5 ἐξῆν: impf. impersonal. ἔξεστι
7 διέβησαν: aor. δια-βαίνω
ὁρμημένοισι…σφι: *to those setting out*; dat. of reference, pple ὁρμάω
8 ἐφάνη: 3rd sg. aor. pass. φαίνομαι
ἐν οὐδενὶ λόγῳ: *of no account*; i.e. value
ἐποιήσατο: *considered*; as often in middle
9 ἔτεκε: aor. τίκτω
10 τῇδε…ὅτι:: *in this way…(namely) that*
ἐλᾶν: fut. inf. ἐλαύνω
δὲ: *but*; adversative
12 περὶ ἑωυτοῦ: *for his life*; 'for himself' or 'concerning himself'
ἥξειν: fut. inf. ἥκω, supply ἔμελλε
τὸν αὐτὸν: *same*; as often after an article
13 ἐόντι: *(while) being…*; dat. sg. pple εἰμί
14 τὰ μὲν…τὰ δὲ: *one…the other*
ἦν: 3rd sg impf. εἰμί
λόγον…ποιησάμενος: see line 8 above
16 τὸ πρόσω: *farther*; adverbial acc.
οἱ: dat. object of σὺν
17 πλέων: pple πλέω
18 παρὰ: *alongside, along*
τὰ ἔμπαλιν: *things opposite (+ gen);* i.e. things mirroring
19 ἑσπέρην: a direction not point of time
ἐπὶ: *for…*; expressing the goal
20 ἐς τὴν: *to which*; antecedent. ἄρκης
προείρητο: *it had been ordered*;. plpf. pass. προ-λέγω (stem ερ) + dat. agent
21 κατ᾽ ἤπειρον: *by land*
ἠῶ: a direction not point of time
23 τῆς Ἀθάμαντος: *daughter of Athamas*
24 πόλιος: Ion. gen. πόλις with adj. μέσης
τῇ: *to which, whose*; dat. of possession
24 τυγχάνει ἐὸν: *happens to be*
27 ἐπιλιπόντα: acc. sg. aor. pple ἐπι-λείπω
διαβάς: nom. sg. aor. pple. δια-βαίνω
28 ἐπ οὗ: *after which*; i.e. named after which
ἤιε: 3rd sg impf. ἔρχομαι

59 λίμνην παρεξιών, ἐς ὃ ἀπίκετο ἐς Δορίσκον. ὁ δὲ Δορίσκος ἐστὶ τῆς Θρηίκης αἰγιαλός τε καὶ πεδίον μέγα, διὰ δὲ αὐτοῦ ῥέει ποταμὸς μέγας Ἕβρος· ἐν τῷ τεῖχός τε ἐδέδμητο βασιλήιον τοῦτο τὸ δὴ Δορίσκος κέκληται, καὶ Περσέων φρουρὴ ἐν αὐτῷ κατεστήκεε ὑπὸ Δαρείου ἐξ
2 ἐκείνου τοῦ χρόνου ἐπείτε ἐπὶ Σκύθας ἐστρατεύετο. ἔδοξε ὦν τῷ Ξέρξῃ ὁ χῶρος εἶναι ἐπιτήδεος ἐνδιατάξαι τε καὶ ἐξαριθμῆσαι τὸν στρατόν, καὶ ἐποίεε ταῦτα. τὰς μὲν δὴ νέας τὰς πάσας ἀπικομένας ἐς Δορίσκον οἱ ναύαρχοι κελεύσαντος Ξέρξεω ἐς τὸν αἰγιαλὸν τὸν προσεχέα Δορίσκῳ ἐκόμισαν, ἐν τῷ Σάλη τε Σαμοθρηικίη πεπόλισται πόλις καὶ Ζώνη, τελευταία δὲ αὐτοῦ Σέρρειον ἄκρη ὀνομαστή.
3 ὁ δὲ χῶρος οὗτος τὸ παλαιὸν ἦν Κικόνων. ἐς τοῦτον τὸν αἰγιαλὸν κατασχόντες τὰς νέας ἀνέψυχον ἀνελκύσαντες. ὁ δὲ ἐν τῷ Δορίσκῳ τοῦτον τὸν χρόνον τῆς στρατιῆς ἀριθμὸν ἐποιέετο.
60 ὅσον μέν νυν ἕκαστοι παρεῖχον πλῆθος ἐς ἀριθμόν, οὐκ ἔχω εἰπεῖν τὸ ἀτρεκές· (οὐ γὰρ λέγεται πρὸς οὐδαμῶν ἀνθρώπων)· σύμπαντος δὲ τοῦ στρατοῦ τοῦ πεζοῦ τὸ πλῆθος ἐφάνη
2 ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες. ἐξηρίθμησαν δὲ τόνδε τὸν τρόπον· συνήγαγόντες ἐς ἕνα χῶρον μυριάδα ἀνθρώπων καὶ συννάξαντες ταύτην ὡς μάλιστα εἶχον περιέγραψαν ἔξωθεν κύκλον· περιγράψαντες δὲ καὶ ἀπέντες τοὺς μυρίους αἱμασιὴν περιέβαλον κατὰ τὸν κύκλον, ὕψος ἀνήκουσαν
3 ἀνδρὶ ἐς τὸν ὀμφαλόν· ταύτην δὲ ποιήσαντες ἄλλους ἐσεβίβαζον ἐς τὸ περιοικοδομημένον, μέχρι οὗ πάντας τούτῳ τῷ τρόπῳ ἐξηρίθμησαν. ἀριθμήσαντες δὲ κατὰ ἔθνεα διέτασσον.

αἰγιαλος, ὁ: beach, shore 11
αἱμασιή, ἡ: a wall, low wall, 1
ἀνα-ψύχω: to cool off, refresh; dry off, 1
ἀν-έλκω: to draw up (on shore), 1
ἀν-ήκω: to have come up, have reached, 7
ἀπ-ίημι: send forth, let go, release, 16
ἀριθμέω: to count, reckon, 4
ἀριθμός, ὁ: number, amount, quantity, 17
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
δέμω: to build, 11
δια-τάσσω: to arrange, appoint, 6
Δορίσκος, ὁ: Doriscus, 6
ἑβδομήκοντα: seventy, 6
Ἕβρος, ὁ: Hebrus river, 1
ἑκατόν: a hundred, 16
ἐν-δια-τάσσω: to arrange in, draw up in, 1
ἐξ-αριθμέω: to count out, number, 5
ἔξω-θεν: from without, 1
ἐπιτήδειος, -η, -ον: fitting, suitable, useful, 2
ἐσ-βιβάζω: to make enter, 1
Ζώνη, ἡ: Zone (town), 1
Θρῄκιος, -η, -ον: Thracian, 7
κατ-έχω: to hold fast, hold back; possess, 4
κατ-ίστημι: set down; appoint, establish, 18
Κίκονες, οἱ: Ciconians, 3
κομίζω: to carry, convey; travel, journey, 6
κύκλος, ὁ: a circle, round, ring, 2
λίμνη, ἡ: pool, marshy lake, basin, 9
μέχρι: up to; until, as long as (+ gen.), 16
ναυ-αρχός, ὁ: admiral, sea-captain, 2
ὀμφαλός, ὁ: navel, belly button, 1
ὀνομαστός, -ή, -όν: notable, well-named, 10
παλαιός, -ή, -όν: old in years, old, aged, 17
παρ-εξ-έρχομαι: to pass by, go out beside, 9
περι-βάλλω: to throw round, enclose; clothe 4
περι-γράφω: to mark around, 2
περι-οικοδομέω: to build around, 1
πολίζω: to build (a city), found, 3
προσ-εχής, -ές: next to, adjacent to (dat) 2
Σάλη, ἡ: Sale (town), 1
Σαμοθρηικίος, -ή, -όν: Samothracian, 3
Σέρρειον, τό: Serreum (town), 1
Σκύθης, -ου, ὁ: Scythian, 11
σύμ-πας, -πασα, -παν: every, all, whole, 7
συν-άγω: bring together, collect, gather, 4
συν-νάσσω: to pack tight together, 1
τελευταῖος, -η, -ον: last, final, 3
ὕψος, -ου, τό: height, 1
φρουρή, ἡ: guard, watch, look out, 1

---

1 **παρεξιών**: nom. sg. pple παρ-εξ-έρχμαι
ἐς ὃ: *til which (time)*; 'until,' relative
3 **ἐν τῷ**: *on which*; or 'on this,' demonstrative
4 **ἐδέδμητο**: plpf. pass. δέμω
τὸ: *which*
κέκληται: pf. pass καλέω
5 **κατεστήκεε**: had stationed; plpf. κατίστημι
ἐνδιατάξαι: epexegetical (explanatory) aor. inf. ἐνδιατάσσω, ἐξαριθμέω
10 **κελεύσαντος Ξέρξεω**: gen. absolute
11 **ἐν τῷ**: *in which*
πεπόλισται: pf. pass.
12 **τελευταία**: *the end (is);* add linking verb
13 **τὸ παλαιὸν**: *long ago*; adverbial acc.
οὔνομα…θέμενος: *making your name…;* double acc., aor. mid. pple τίθημι
14 **καταχόντες**: aor. pple κατ-έχω
ἀνέψυχον: i.e. the Persians were dry-docking the ships to preserve them
16 **ὅσον…πλῆθος**: *how great a multitude*
ἐς ἀριθμόν: *to the (total) number*
ἔχω: *I am able*
17 **τὸ ἀτρεκές**: adverbial acc.
λέγεται: *it is not said*; i.e. the number
πρὸς: *by…*; likely gen. of agent
18 **τόνδε τὸν τρόπον**: *in this following way*
20 **συνήγαγόντες**: aor. pple συνάγω
συννάξαντες: aor. pple συν-νάσσω
21 **ὡς μάλιστα εἶχον**: as much as they were able; εἶχον (ἔχω, is able) is redundant; ὡς+ superlative is 'as X as possible'
22 **ἀπέντες**: aor. pple ἀπ-ίημι
23 **κατὰ τὸν κύκλον**: *in a circle*; according to
ὕψος: *in height*; acc. of respect
ἀνδρὶ: *dat. of a possession*
25 **περιοικοδομημένον**: i.e. walled-in space
μέχρι οὗ: *up to which (time)*
26 **κατὰ**: *according to*

61 οἱ δὲ στρατευόμενοι οἵδε ἦσαν, Πέρσαι μὲν ὧδε ἐσκευα-
σμένοι· περὶ μὲν τῇσι κεφαλῇσι εἶχον τιάρας καλεο-
μένους πίλους ἀπαγέας, περὶ δὲ τὸ σῶμα κιθῶνας χειριδω-
τοὺς ποικίλους, . . . λεπίδος σιδηρέης ὄψιν ἰχθυοειδέος, περὶ
δὲ τὰ σκέλεα ἀναξυρίδας, ἀντὶ δὲ ἀσπίδων γέρρα· ὑπὸ δὲ
φαρετρεῶνες ἐκρέμαντο· αἰχμὰς δὲ βραχέας εἶχον, τόξα δὲ
μεγάλα, ὀϊστοὺς δὲ καλαμίνους, πρὸς δὲ ἐγχειρίδια παρὰ
2 τὸν δεξιὸν μηρὸν παραιωρεύμενα ἐκ τῆς ζώνης. καὶ ἄρ-
χοντα παρείχοντο Ὀτάνεα τὸν Ἀμήστριος πατέρα τῆς
Ξέρξεω γυναικός, ἐκαλέοντο δὲ πάλαι ὑπὸ μὲν Ἑλλήνων
Κηφῆνες, ὑπὸ μέντοι σφέων αὐτῶν καὶ τῶν περιοίκων
3 Ἀρταῖοι. ἐπεὶ δὲ Περσεὺς ὁ Δανάης τε καὶ Διὸς ἀπίκετο
παρὰ Κηφέα τὸν Βήλου καὶ ἔσχε αὐτοῦ τὴν θυγατέρα
Ἀνδρομέδην, γίνεται αὐτῷ παῖς τῷ οὔνομα ἔθετο Πέρσην,
τοῦτον δὲ αὐτοῦ καταλείπει· ἐτύγχανε γὰρ ἄπαις ἐὼν ὁ
Κηφεὺς ἔρσενος γόνου. ἐπὶ τούτου δὴ τὴν ἐπωνυμίην
62 ἔσχον. Μῆδοι δὲ τὴν αὐτὴν ταύτην ἐσταλμένοι ἐστρα-
τεύοντο· Μηδικὴ γὰρ αὕτη ἡ σκευή ἐστι καὶ οὐ Περσική.
οἱ δὲ Μῆδοι ἄρχοντα μὲν παρείχοντο Τιγράνην ἄνδρα Ἀχαι-
μενίδην, ἐκαλέοντο δὲ πάλαι πρὸς πάντων Ἄριοι, ἀπικο-
μένης δὲ Μηδείης τῆς Κολχίδος ἐξ Ἀθηνέων ἐς τοὺς Ἀρίους
τούτους μετέβαλον καὶ οὗτοι τὸ οὔνομα. αὐτοὶ περὶ σφέων
2 ὧδε λέγουσι Μῆδοι. Κίσσιοι δὲ στρατευόμενοι τὰ μὲν
ἄλλα κατά περ Πέρσαι ἐσκευάδατο, ἀντὶ δὲ τῶν πίλων
μιτρηφόροι ἦσαν. Κισσίων δὲ ἦρχε Ἀνάφης ὁ Ὀτάνεω.
Ὑρκάνιοι δὲ κατά περ Πέρσαι ἐσεσάχατο, ἡγεμόνα παρεχό-
μενοι Μεγάπανον τὸν Βαβυλῶνος ὕστερον τούτων ἐπιτρο-
63 πεύσαντα. Ἀσσύριοι δὲ στρατευόμενοι περὶ μὲν τῇσι
κεφαλῇσι εἶχον χάλκεά τε κράνεα καὶ πεπλεγμένα τρόπον

Ἀθῆναι, αἱ: Athens, 13
Ἀμήστρις, -ιος ἡ: Amastris (female) 1
ἀναξυρίδες, -ίδων αἱ: trousers, pants, 2
Ἀνάφης, ὁ: Anaphes, 1
Ἀνδρομέδη, ἡ: Andromeda, 2
ἀ-παγης, -ες: not firm, not stiff; soft, 1
ἄ-παις, -αιδος, ὁ, ἡ: childless, 2
Ἄριοι, οἱ: the Arians, 4
Ἀρταῖοι, οἱ: the Artaeians, 1
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
Ἀσσύριος, -η, -ον: Assyrian, 3
Ἀχαιμενίδης, ὁ: Achaemenid, 2
Βαβυλών, -ῶνος, ὁ: Babylon, 1
Βῆλος, ὁ: Belus, 1
βραχύς, -έα, -ύ: short, brief, 9
γέρρον, τό: wicker-work, 1
γόνος, ὁ: offspring, a child, 6
Δανάη, ἡ: Danaë, 2
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
ἐπι-τροπεύω: to be governor/administrator, 2
ἐπωνυμίη, ἡ: name, a nickname, surname, 16
ἔρσην, -ενος, ὁ: male, masculine, 4
ζώνη, ἡ: a belt; girdle, 2
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
θυγάτηρ, ἡ: a daughter, 14
ἰχθυο-ειδής, -ές: fish-like, of fishes 1
καλάμινος, -η, -ον: made of reed, 7
κατα-λείπω: to leave behind, 9
Κηφεύς, ὁ: Cepheus, 3
Κηφῆνες, οἱ: Cephenes, 1
κιθών, -ῶνος, ἡ: tunic, (Att. **χιτών**) 5
Κίσσοι, οἱ: the Cissians, 4
Κολχίς, -ίδος, ἡ: Colchis (place) 3
κράνος, τό: a helmet, 18
κρεμάννυμι: to hang, suspend, 2
λεπίς, -ίδος ἡ: a scale, husk, 1
Μεγάπανος, ὁ: Megapanus, 1
μέντοι: however, nevertheless; certainly, 13
μετα-βάλλω: to change, 6
Μηδείη, -ης, ἡ: Medea (female) 1
Μηδικος, -η, -ον: Median, of the Mede, 9
Μῆδος, ὁ: Mede, Median, 13
μηρός, ὁ: the thigh, 1
μιτρη-φόρος, -ον: wearing a mitra, 1
ὀϊστός, ὁ: arrow, 5
Ὀτάνης, -εω ὁ: Otanes, 4
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
παρ-αιωρέω: to hang up beside, 1
πατήρ, ὁ: a father, 18
περί-οικος, -ον: neighboring, living round, 2
Περσεὺς, ὁ: Perseus (the hero), 2
Πέρσης, ὁ: Perses, 2
Περσικός, -ή, -όν: Persian, 6
πῖλος, ὁ: felt (cap), felt, wool, 11
πλέκω: to weave, twist, plait, 3
ποικίλος, -η, -ον: variegated, many colored, 6
σάττω: to pack, 5
σιδήρεος, -η, -ον: made of iron, iron, 12
σκέλος, -εος, τό: the leg, 2
σκευάζω: to equip, prepare, make ready, 17
στέλλω: to equip, make ready, send, 9
σῶμα, -ατος, τό: the body, 7
τιάρα, ἡ: tiara, (Persian) hat, 1
Τιγράνης, ὁ: Tigranes, 1
τόξον, τό: a bow, 12
Ὑρκάνιοι, οἱ: the Hyrcanians, 1
φαρετρεών, -ῶνος, ὁ: quiver, 1
χάλκεος, -η, -ον: made of bronze, copper 15
χειριδωτός, -όν: sleeved, having sleeves, 1
ὧδε: in this way, so, thus, 17

---

1 **οἵδε ἦσαν**: *were the following*:
ἐσκευασμένοι: pf. pass. pple
2 **καλεομένους**: *named*; 'called'
4 **λεπίδος σιδηρέης**: *of…*; gen. quality
ὄψιν: *in…*; acc. of respect
5 **ὑπὸ**: *and beneath (these)*
6 **ἐκρέμαντο**: impf. mid. κρεμάννυμι
ἄρχοντα παρείχοντο: *they acknowledged as leader*; 'produces as leader,' impf. mid.
11 **ὑπὸ...σφέων αὐτῶν**: *by themselves*
12 **ὁ Δανάης**: *son of both Danaë and Zeus*
13 **παρὰ**: *to*
ἔσχε: *married*; aor. ἔχω
14 **αὐτῷ**: *to him*; i.e. Perseus, dat. possession
τῷ: *to whom*; dat. ind. object
ἔθετο: aor. mid. τίθημι
15 **καταλείπει**: *Perseus left this one there*
ἐτύγχανε…ἐὼν: *happened to be*
16 **ἐπὶ τούτου**: *(named) after this one*
17 **ἐσταλμένοι**: pf. pass. στέλλω
19 **ἄρχοντα παρείχοντο**: see line 6
20 **πρὸς πάντων**: *by all*; 'before all'
23 **ὧδε λέγουσι**: *speak thus about themselves*
24 **ἄλλα κατά περ**: *in other respects just as*
ἐσκευάδατο: plpf. pass. σκευάζω
26 **ἐσεσάχατο**: plpf. pass. σάττω
ἡγεμόνα παρεχόμενοι: see line 6, 19
29 **πεπεγμένα**: pf. pass. πλέκω

τινὰ βάρβαρον οὐκ εὐαπήγητον, ἀσπίδας δὲ καὶ αἰχμὰς καὶ ἐγχειρίδια παραπλήσια τῇσι Αἰγυπτίῃσι εἶχον, πρὸς δὲ ῥόπαλα ξύλων τετυλωμένα σιδήρῳ, καὶ λινέους θώρηκας. οὗτοι δὲ ὑπὸ μὲν Ἑλλήνων ἐκαλέοντο Σύριοι, ὑπὸ δὲ τῶν βαρβάρων Ἀσσύριοι ἐκλήθησαν. [τούτων δὲ μεταξὺ Χαλ-
64 δαῖοι.] Ἦρχε δὲ σφέων Ὀτάσπης ὁ Ἀρταχαίεω. Βάκτριοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι ἀγχότατα τῶν Μηδικῶν ἔχοντες ἐστρατεύοντο, τόξα δὲ καλάμινα ἐπιχώρια καὶ αἰχμὰς βρα-
2 χέας. Σάκαι δὲ οἱ Σκύθαι περὶ μὲν τῇσι κεφαλῇσι κυρβασίας ἐς ὀξὺ ἀπηγμένας ὀρθὰς εἶχον πεπηγυίας, ἀναξυρίδας δὲ ἐνεδεδύκεσαν, τόξα δὲ ἐπιχώρια καὶ ἐγχειρίδια, πρὸς δὲ καὶ ἀξίνας σαγάρις εἶχον. τούτους δὲ ἐόντας Σκύθας Ἀμυργίους Σάκας ἐκάλεον· οἱ γὰρ Πέρσαι πάντας τοὺς Σκύθας καλέουσι Σάκας. Βακτρίων δὲ καὶ Σακέων ἦρχε
65 Ὑστάσπης ὁ Δαρείου τε καὶ Ἀτόσσης τῆς Κύρου. Ἰνδοὶ δὲ εἵματα μὲν ἐνδεδυκότες ἀπὸ ξύλων πεποιημένα, τόξα δὲ καλάμινα εἶχον καὶ ὀϊστοὺς καλαμίνους· ἐπὶ δὲ σίδηρος ἦν. ἐσταλμένοι μὲν δὴ ἦσαν οὕτω Ἰνδοί, προσετετάχατο δὲ
66 συστρατευόμενοι Φαρναζάθρῃ τῷ Ἀρταβάτεω. Ἄριοι δὲ τόξοισι μὲν ἐσκευασμένοι ἦσαν Μηδικοῖσι, τὰ δὲ ἄλλα κατά περ Βάκτριοι. Ἀρίων δὲ ἦρχε Σισάμνης ὁ Ὑδάρνεος. Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι τε καὶ Γανδάριοι καὶ Δαδίκαι τὴν αὐτὴν σκευὴν ἔχοντες τὴν καὶ Βάκτριοι ἐστρα-
2 τεύοντο. τούτων δὲ ἦρχον οἵδε. Πάρθων μὲν καὶ Χορασμίων Ἀρτάβαζος ὁ Φαρνάκεος, Σόγδων δὲ Ἀζάνης ὁ Ἀρταίου, Γανδαρίων δὲ καὶ Δαδικέων Ἀρτύφιος ὁ Ἀρταβάνου.

ἀγχοῦ: near, nearby, 6
Ἀζάνης, ὁ: Azanes (male) 1
Αἰγύπτιος, -η, -ον: Egyptian, 8
ἀναξυρίδες, -ίδων αἱ: trousers, pants, 2
ἀξίνη, ἡ: battle-axe, 1
ἀπ-άγω: to lead away, carry off, 5
Ἀρτάβαζος, ὁ: Artabazus, 1
Ἀρταβανος, ὁ: Artabanus, 18
Ἀρταβάτης, ὁ: Artabates, 1
Ἀρταῖος, ὁ: Artaeus, 2
Ἀρταχαίης, ὁ: Artachaees, 5
Ἀρτύφιος, ὁ: Artyphius, 2
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
Ἀσσύριος, -η, -ον: Assyrian, 3
Ἀτόσσα, -ης, ἡ: Atossa, 5
Ἄριοι, οἱ: the Arians, 4
Βάκτριοι, οἱ: the Bactrians, 3
βραχύς, -έα, -ύ: short, brief, 9
Γανδάριοι, οἱ: the Gandarians, 2
Δαδίκαι, οἱ: the Dadicae, 2
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
εἷμα, -ατος, τό: clothing, clothes, garment, 3
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
εὐαπήγητος, -ον: easy to describe, 1
θώραξ, -ακος, ὁ: breastplate, corslet, 2
Ἰνδός, -ή, -όν: Indian, 6
καλάμινος, -η, -ον: made of reed, 7
κυρβασία, ἡ: a Persian bonnet, hat, 1
Κῦρος, -ου, ὁ: Cyrus, 11
λίνεος, -η, -ον: made of linen, of flax, 4
μεταξύ: between, 12
Μηδικος, -η, -ον: Median, of the Mede, 9
ξύλον, τό: wood, 11
ὀϊστός, ὁ: arrow, 5
ὀξύς, -έα, -ύ: sharp, 4
ὀρθός, -ή, -όν: straight, upright, right, 6
Ὀτάσπης, ὁ: Otaspes, 1
παραπλήσιος, -η, -ον: resembling, like +dat 3
Πάρθοι, οἱ: the Parthians, 2
Παρναζάθρης, ὁ: Parnazathres, 1
πήγνυμι: to stick, fix, 7
προσ-τάσσω: to order, assign, appoint, 6
ῥόπαλον, τό: club, cudgel, 2
σάγαρις, ἡ: single-edged axe, 1
Σάκαι, αἱ: Sacae, 6
σίδηρος, ὁ: iron; sword, knife, 8
Σισάμνης, ὁ: Sisamnes, 1
σκευάζω: to equip, prepare, make ready, 17
Σκύθης, -ου, ὁ: Scythian, 11
Σόγοι, οἱ: the Sogdians, 2
στέλλω: to equip, make ready, send, 9
Σύριος, -η, -ον: Syrian, 3
συστρατεύω: to (join/share in a) campaign, 7
τόξον, τό: a bow, 12
τυλόω: to make knobby or studded 1
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
Ὑστάσπης, -εος ὁ: Hystaspes, 5
Φαρνάκης, -εος, ὁ: Pharnaces, 1
Χαλδαῖοι, οἱ: the Chaldaeans, 1
Χοράσιμιοι, οἱ: the Chorasmians, 2

---

1 **πρὸς δὲ**: *and in addition*
3 **τετυλωμένα**: pf. pass. pple τυλόω
σιδήρῳ: *with…*; dat. of means
5 **ἐκλήθησαν**: 3rd pl. aor. pass. καλέω
τούτων δε μεταξὺ: i.e. among these (were)
7 **ἀγχότατα…ἔχοντες**: *being very near* (+ gen); ἔχω + adv. translates 'to be' + adj.
9 **οἱ Σκύθαι**: apposition; Sacae are Scythians
10 **ἀπηγμένας**: *tapered*; 'carried off,' pf. pass. pple ἀπ-άγω
πεπηγυίας: *stiff*; 'fixed' pf. pass. πήγνυμι
11 **ἐνεδεδύκεσαν**: plpf. but impf. sense ἐνδύω
πρὸς δὲ: *and in addition*
12 **σαγάρις**: (called) 'sagaris', acc. pl. Att. σαγάρεις
τούτους…ἐόντας…Ἀμυργίους: *these (although) being Amyrgian Scythians*
16 **ἐνδεδυκότες**: pf pple but pres sense ἐνδύω
πεποιημένα: pf pass. pple ποιέω
17 **ἐπὶ δὲ**: *and on (them);* i.e. the point
ἦν: *there was*; impf.
18 **ἐσταλμένοι…ἦσαν**: *were equipped*; or periphrastic plpf. pass. (pf. pass. pple + impf. εἰμί) στέλλω
προσετετάχατο: plpf. pass πρόστάσσω
20 **ἐσκευασμένοι…ἦσαν**: *were equipped*; or periphrastic plpf. pass. (pf. pass. pple + impf. εἰμί) στέλλω
ἄλλα κατά περ: *in other respects just as*
23 **τὴν**: *which the Bactrians (had)*; add verb
24 **Πάρθων, Χορασμίων**: object, add ἦρχε
25 **Σόγδων**: object, add ἦρχον
26 **Γανδαρίων, Δαδικέων**: object, add ἦρχε

67 Κάσπιοι δὲ σισύρνας τε ἐνδεδυκότες καὶ τόξα ἐπιχώρια καλάμινα ἔχοντες καὶ ἀκινάκας ἐστρατεύοντο. οὗτοι μὲν οὕτω ἐσκευάδατο, ἡγεμόνα παρεχόμενοι Ἀριόμαρδον τὸν Ἀρτυφίου ἀδελφεόν, Σαράγγαι δὲ εἵματα μὲν βεβαμμένα ἔχοντες ἐνέπρεπον, πέδιλα δὲ ἐς γόνυ ἀνατείνοντα εἶχον, τόξα δὲ καὶ αἰχμὰς Μηδικάς. Σαραγγέων δὲ ἦρχε
2 Φερενδάτης ὁ Μεγαβάζου. Πάκτυες δὲ σισυρνοφόροι τε ἦσαν καὶ τόξα ἐπιχώρια εἶχον καὶ ἐγχειρίδια. Πάκτυες δὲ ἄρχοντα παρείχοντο Ἀρταΰντην τὸν Ἰθαμίτρεω.
68 Οὔτιοι δὲ καὶ Μύκοι τε καὶ Παρικάνιοι ἐσκευασμένοι ἦσαν κατά περ Πάκτυες. τούτων δὲ ἦρχον οἵδε, Οὐτίων μὲν καὶ Μύκων Ἀρσαμένης ὁ Δαρείου, Παρικανίων δὲ
69 Σιρομίτρης ὁ Οἰοβάζου. Ἀράβιοι δὲ ζειρὰς ὑπεζωμένοι ἦσαν, τόξα δέ παλίντονα εἶχον πρὸς δεξιά, μακρά. Αἰθίοπες δὲ παρδαλέας τε καὶ λεοντέας ἐναμμένοι, τόξα δὲ εἶχον ἐκ φοίνικος σπάθης πεποιημένα, μακρά, τετραπηχέων οὐκ ἐλάσσω, ἐπὶ δὲ καλαμίνους ὀϊστοὺς μικρούς· ἀντὶ δὲ σιδήρου ἐπῆν λίθος ὀξὺς πεποιημένος, τῷ καὶ τὰς σφρηγῖδας γλύφουσι· πρὸς δὲ αἰχμὰς εἶχον, ἐπὶ δὲ κέρας δορκάδος ἐπῆν ὀξὺ πεποιημένον τρόπον λόγχης· εἶχον δὲ καὶ ῥόπαλα τυλωτά. τοῦ δὲ σώματος τὸ μὲν ἥμισυ ἐξηλείφοντο γύψῳ
2 ἰόντες ἐς μάχην, τὸ δὲ ἥμισυ μίλτῳ. Ἀραβίων δὲ καὶ Αἰθιόπων τῶν ὑπὲρ Αἰγύπτου οἰκημένων ἦρχε Ἀρσάμης ὁ Δαρείου καὶ Ἀρτυστώνης τῆς Κύρου θυγατρός, τὴν μάλιστα στέρξας τῶν γυναικῶν Δαρεῖος εἰκὼ χρυσέην σφυρήλατον ἐποιήσατο. τῶν μὲν δὴ ὑπὲρ Αἰγύπτου Αἰθιό-

ἀδελφεός, ὁ: a brother, 17
Αἴγυπτος, ὁ: Egypt, 7
Αἰθίοψ, Αἰθίοπος, ὁ: Ethiopian, 5
ἀκινάκης, ἡ: short straight sword (Persian), 2
ἀνα-τείνω: to hold up, stretch up, extend, 3
Ἀράβιοι, οἱ: Arabians, 5
Ἀριόμαρδος, ὁ: Ariomardus, 2
Ἀρσαμένης, -εος ὁ: Arsamenes, 1
Ἀρσάμης, -εος ὁ: Arsames, 4
Ἀρταΰντης, ὁ: Artayntes, 1
Ἀρτυστώνη, ἡ: Artystone (female) 2
Ἀρτύφιος, ὁ: Artyphius, 2
βάπτω: to dye; dip, bathe, 1
γλύφω: to carve, engrave, cut out, 1
γόνυ, γούνατος, τό: the knee, 2
γύψος, ὁ: chalk, 1
δορκάς, -άδος, ἡ: (kind of) deer, a gazelle, 1
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
εἰκών, -όνος, ἡ: a likeness, image; statue, 1
εἷμα, -ατος, τό: clothing, clothes, garment, 3
ἐμ-πρέπω: to be conspicuous, famous, 2
ἐν-άπτω: to bind on, tie on, 1
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
ἐξ-αλείφω: to smear over, plaster over, 2
ζειρά, ἡ: wide upper garment (down to feet) 2
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
ἥμισυς, -υ: half, 8
θυγάτηρ, ἡ: a daughter, 14
Ἰθαμίτρης, ὁ: Ithamitres, 1
καλάμινος, -η, -ον: made of reed, 7
Κάσπιοι, οἱ: the Caspians, 2
κέρας, τό: horn, 5
Κῦρος, -ου, ὁ: Cyrus, 11
λεοντέη, ἡ: lion-skin, 1
λίθος, ὁ: a stone, 8
λόγχη, ἡ: a spear-head, javelin-head, 18
μακρός, -ή, -όν: long, far, distant, large, 15
Μεγάβαζος, ὁ: Megabazus, 4
Μηδικος, -η, -ον: Median, of the Mede, 9
μίλτος, ἡ: red ochre, red earth, 1
μικρός, ή, όν: small, little; trifle, 18
Μύκοι, οἱ: the Mycians, 2
Οἰοβάζος, ὁ: Oeobazus, 1
ὀϊστός, ὁ: arrow, 5
ὀξύς, -έα, -ύ: sharp, 4
Οὔτιοι, οἱ: the Utians, 2
Πάκτυες, οἱ: the Pactyes, 3
παλίν-τονος, -ή, -όν: stretched or bent back, 1
παρδαλέη, ἡ: leopard-skin, 2
Παρικάνιοι, οἱ: the Paricanians, 3
πέδιλον, τό: sandal, 3
ῥόπαλον, τό: club, cudgel, 2
Σαράγγαι, οἱ: the Sarangae, 2
σίδηρος, ὁ: iron; sword, knife, 8
Σιρομίτρης, ὁ: Siromitres, 2
σισύρνη, ἡ: coat (made of skins), 1
σισύρνοφόρος, -ον: coat-wearing, 1
σκευάζω: to equip, prepare, make ready, 17
σπάθη, ἡ: blade or strip (of wood), 2
στέργω: to love, feel affection; be content, 3
σφρηγίς, ἡ: a seal, signet, seal-ring, 1
σφυρ-ήλατος, -ον: hammered, 1
σῶμα, -ατος, τό: the body, 7
τετρά-πηχυς, -υ: four cubits (long), 1
τόξον, τό: a bow, 12
τυλωτός, -ον: studded, knobbed, 1
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
ὕπο-ζώννυμι: to undergird, 1
Φερενδάτης, ὁ: Pherendates, 1
φοῖνιξ, -ικος, ὁ, ἡ: date palm-wood; purple 2
χρύσεος, -η, -ον: golden, 15

---

1 **ἐνδεδυκότες**: pf pple but pres. sense ἐνδύω
ἐσκευάδατο: plpf. pass. σκευάζω
3 **ἡγεμόνα παρεχόμενοι**: *they acknowledged as leader*; 'producing as leader,'
5 **βεβαμμένα**: pf. pass. pple βάπτω
9 **ἄρχοντα παρείχοντο**: see line 3
10 **ἐσκευασμένοι…ἦσαν**: *were equipped*; or periphrastic plpf. pass. (pple + impf. εἰμί)
11 **κατά περ**: *just as*
Οὐτίων, Μυκων, Παρικανίων: add ἦρχε
13 **ὑπεζωμένοι ἦσαν**: *were girded*; or periphrastic plpf. pass. (pf. pass. pple + impf. εἰμί) ὑποζώννυμι
14 **παλίντονα**: *curved back*; the end of the bow curved up when not strung
πρὸς δεξιά: *to the right*; 'on the right side'
15 **ἐναμμένοι**: pf. pass. ἐνάπτω
16 **τετραπηχέων…**: in apposition to μακρά
τετραπηχέων: *than…*; gen. of comparison
17 **ἐλάσσω**: ἐλάσσο(ν)α, acc. neuter pl.
ἀντὶ δὲ σιδήρου: *instead of iron*
18 **ἐπῆν**: 3rd pl. impf. ἔπ-ειμι
τῷ: *with which*; relative, dat. of means
22 **ἰόντες**: nom. pl. pple ἔρχομαι
24 **τὴν…στέρξας**: *whom loving...*; aor pple
25 **εἰκὼ**: *hammered gold statue*; acc. εἰκό(ν)α

70 πων καὶ Ἀραβίων ἦρχε Ἀρσάμης, οἱ δὲ ἀπὸ ἡλίου ἀνατο-
λέων Αἰθίοπες (διξοὶ γὰρ δὴ ἐστρατεύοντο) προσετετάχατο
τοῖσι Ἰνδοῖσι, διαλλάσσοντες εἶδος μὲν οὐδὲν τοῖσι ἑτέροισι,
φωνὴν δὲ καὶ τρίχωμα μοῦνον· οἱ μὲν γὰρ ἀπὸ ἡλίου Αἰ-
θίοπες ἰθύτριχες εἰσί, οἱ δ' ἐκ τῆς Λιβύης οὐλότατον τρί-
2 χωμα ἔχουσι πάντων ἀνθρώπων. οὗτοι δὲ οἱ ἐκ τῆς Ἀσίης
Αἰθίοπες τὰ μὲν πλέω κατά περ Ἰνδοὶ ἐσεσάχατο, προμε-
τωπίδια δὲ ἵππων εἶχον ἐπὶ τῇσι κεφαλῇσι σύν τε τοῖσι
ὠσὶ ἐκδεδαρμένα καὶ τῇ λοφιῇ· καὶ ἀντὶ μὲν λόφου ἡ λοφιὴ
κατέχρα, τὰ δὲ ὦτα τῶν ἵππων ὀρθὰ πεπηγότα εἶχον· προ-
71 βλήματα δὲ ἀντ' ἀσπίδων ἐποιεῦντο γεράνων δοράς. Λίβυες
δὲ σκευὴν μὲν σκυτίνην ἴσαν ἔχοντες, ἀκοντίοισι δὲ ἐπικαύ-
τοισι χρεώμενοι, ἄρχοντα δὲ παρείχοντο Μασσάγην τὸν
72 Ὀαρίζου. Παφλαγόνες δὲ ἐστρατεύοντο ἐπὶ μὲν τῇσι
κεφαλῇσι κράνεα πεπλεγμένα ἔχοντες, ἀσπίδας δὲ σμικρὰς
αἰχμάς τε οὐ μεγάλας, πρὸς δὲ ἀκόντια καὶ ἐγχειρίδια, περὶ
δὲ τοὺς πόδας πέδιλα ἐπιχώρια ἐς μέσην κνήμην ἀνατείνοντα.
Λίγυες δὲ καὶ Ματιηνοὶ καὶ Μαριανδυνοί τε καὶ Σύριοι τὴν
αὐτὴν ἔχοντες Παφλαγόσι ἐστρατεύοντο. οἱ δὲ Σύριοι
2 οὗτοι ὑπὸ Περσέων Καππαδόκαι καλέονται. Παφλαγόνων
μέν νυν καὶ Ματιηνῶν Δῶτος ὁ Μεγασίδρου ἦρχε, Μαριαν-
δυνῶν δὲ καὶ Λιγύων καὶ Συρίων Γωβρύης ὁ Δαρείου τε καὶ
73 Ἀρτυστώνης. Φρύγες δὲ ἀγχοτάτω τῆς Παφλαγονικῆς
σκευὴν εἶχον, ὀλίγον παραλλάσσοντες. οἱ δὲ Φρύγες, ὡς
Μακεδόνες λέγουσι, ἐκαλέοντο Βρίγες χρόνον ὅσον Εὐρω-
πήιοι ἐόντες σύνοικοι ἦσαν Μακεδόσι, μεταβάντες δὲ ἐς τὴν

ἀγχοῦ: near, nearby, 6
Αἰθίοψ, Αἰθίοπος, ὁ: Ethiopian, 5
ἀκόντιον, τό: javelin, 16
ἀνα-τείνω: to hold up, stretch up, extend, 3
ἀνατολή, ἡ: rise, rising; east; eastern, 3
Ἀράβιοι, οἱ: Arabians, 5
Ἀρσάμης, -εος ὁ: Arsames, 4
Ἀρτυστώνη, ἡ: Artystone (female) 2
Ἀσίη, ἡ: Asia, 17
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
Βρίγες, οἱ: the Briges, 1
γέρανος, ὁ: a crane, 1
Γοβρύης, -εω, ὁ: Gobryas (male) 6
δι-αλλάσσω: to differ, change, alter, 1
διξός, -ή, -όν: twofold, double (Att. διττός), 3
δορά, ἡ: a skin, hide, 1
Δῶτος, ὁ: Dotus (male) 2
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
εἶδος, -εος, τό: appearance, form, beauty, 2
ἐκ-δέρω: to strip off, flay, skin, 2
ἐπίκαυτος, -ον: burnt upon (the tip), 2
Εὐρωπήιοι, οἱ: European, 1
Ἰνδός, -ή, -όν: Indian, 6
ἰθύ-θριξ, ἰθύ-τριχος, ὁ, ἡ: straight-haired, 1
Καππαδόκαι, αἱ: Cappadocians, 1
κατα-χράω: to suffice, be sufficient, 1
κνήμη, ἡ: the lower leg, shin, 3
κράς, κρατός, ἡ: the head, 12
Λιβῦς, -ῦος, - ὁ: a Libyan, 6
Λίγυς, -υος, ὁ: a Ligyean, 3
λοφίη, ἡ: mane, back-fin, 2
λόφος, ὁ: plume (on a helmet), crest, 6
Μακεδών, -όνος, ο, ἡ: a Macedonian, 6
Μαριανδυνοί, οἱ: the Mariandynians, 2
Μασσάγης, ὁ: Massages (male), 1
Ματιηνοί, οἱ: the Matienians, 2
Μεγασίδρος, ὁ: Megasidrus (male) 1
μετα-βαίνω: to migrate, change places, 1
Ὀάριζος, ὁ: Oarizus (male), 1
ὀρθός, -ή, -όν: straight, upright, right, 6
οὖλος, -η, -ον: woolly, woollen, think, 1
οὖς, ὠτος, τό: ear, 8
Παφλαγονικός, -ή, -όν: Paphlagonian, 1
Παφλαγών, όνος, ὁ: a Paphlagonian, 3
παρ-αλλάσσω: alter, change; transpose, 1
πέδιλον, τό: sandal, 3
πήγνυμι: to stick, fix, 7
πλέκω: to weave, twist, plait, 3
πούς, ποδός, ὁ: a foot, 10
πρό-βλημα, -ατος, τό: barrier, protection, 1
προμετωπίδιον, τό: skin of the forehead, 1
προσ-τάσσω: to order, assign, appoint, 6
σάττω: to pack, 5
σκύτινος, -η, -ον: leather, made of leather, 1
σμικρός, -η, -ον: small, little; insignificant, 18
σύν-οικος, -ον: co-inhabitant, used to (dat) 2
Σύριος, -η, -ον: Syrian, 3
τρίχωμα, -ατος, τό: hair, growth of hair, 2
Φρύξ, -υγός, ὁ: a Phrygian, 8
φωνή, ἡ: speech, voice, 4

---

1 ἀπὸ...ἀνατολέων: *from the risings of the sun*; i.e. from the east
2 προσετετάχατο: plpf. pass. προστάσσω
3 τοῖσι᾽ Ἰνδοῖσι: *to the Indians*; dat. compound *as leader*; 'producing as leader,'
διαλλάσσοντες: *differing in acc. from* (dat)
εἶδος οὐδὲν...φωνὴν...τρίχωμα: *in...in... and in*...; acc. of respect
4 μοῦνον: adverbial acc.
5 εἰσί: *are*
7 τὰ μὲν πλέω: *in most respects*; 'more,' acc. respect, neut. pl. πλέο(ν)α
κατά περ: *just as*
ἐσεσάχατο: plpf. pass. σάττω
9 ὠσὶ: dat. pl. οὖς, ὠτος
ἐκδεδαρμένα: pf. pass. pple ἐκδέρω
10 ὦτα: acc. pl. οὖς, ὠτος
πεπηγότα: *erect*; 'fixed' pf. pple πήγνυμι
12 ἤισαν: 3rd pl. impf. ἔρχομαι
13 χρέωμενοι: pple. χράομαι
ἄρχονα παρείχοντο: *they acknowledged as leader*; 'produced as leader,'
15 πεπλεγμένα: pf. pple πλέκω
16 πρὸς δὲ: *and in addition*
19 τὴν αὐτὴν...Παφλαγόσι: *same as the Paphlagonians*; αὐτός governs a dat.
20 ὑπὸ: *by*; gen. of agent
Παφλαγόνων, Ματιηνῶν: obj. of ἦρχε
Μαριανδυνῶν...Συρίων: supply ἦρχε
23 ἀγχότατω...ἔχοντες: *being very near to* (+ gen); ἔχω + adv translates 'to be' + adj
24 ὡς: *as*...; parenthetical
25 χρόνον ὅσον: *for as much time as*...; 'for a time, for as much (time),' acc. duration
24 ὀλίγον: *a litte*; inner accusative
26 ἦσαν: 3rd pl. impf. εἰμί
μεταβάντες: nom. aor. pple μεταβαίνω

Ἀσίην ἅμα τῇ χώρῃ καὶ τὸ οὔνομα μετέβαλον [ἐς Φρύγας].
Ἀρμένιοι δὲ κατά περ Φρύγες ἐσεσάχατο, ἐόντες Φρυγῶν
ἄποικοι. τούτων συναμφοτέρων ἦρχε Ἀρτόχμης Δαρείου
74 ἔχων θυγατέρα. Λυδοὶ δὲ ἀγχοτάτω τῶν Ἑλληνικῶν εἶχον
ὅπλα. οἱ δὲ Λυδοὶ Μηίονες ἐκαλεῦντο τὸ πάλαι, ἐπὶ δὲ
Λυδοῦ τοῦ Ἄτους ἔσχον τὴν ἐπωνυμίην, μεταβαλόντες τὸ
οὔνομα. Μυσοὶ δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι εἶχον κράνεα
ἐπιχώρια, ἀσπίδας δὲ μικράς, ἀκοντίοισι δὲ ἐχρέωντο ἐπι-
2 καύτοισι. οὗτοι δὲ εἰσὶ Λυδῶν ἄποικοι, ἀπ᾽ Ὀλύμπου δὲ
ὄρεος καλέονται Ὀλυμπιηνοί. Λυδῶν δὲ καὶ Μυσῶν ἦρχε
Ἀρταφρένης ὁ Ἀρταφρένεος ὃς ἐς Μαραθῶνα ἐσέβαλε ἅμα
75 Δάτι. Θρήικες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι ἀλωπεκέας
ἔχοντες ἐστρατεύοντο, περὶ δὲ τὸ σῶμα κιθῶνας, ἐπὶ δὲ
ζειρὰς περιβεβλημένοι ποικίλας, περὶ δὲ τοὺς πόδας τε καὶ
τὰς κνήμας πέδιλα νεβρῶν, πρὸς δὲ ἀκόντιά τε καὶ πέλτας
2 καὶ ἐγχειρίδια σμικρά. οὗτοι δὲ διαβάντες μὲν ἐς τὴν
Ἀσίην ἐκλήθησαν Βιθυνοί, τὸ δὲ πρότερον ἐκαλέοντο, ὡς
αὐτοὶ λέγουσι, Στρυμόνιοι, οἰκέοντες ἐπὶ Στρυμόνι· ἐξανα-
στῆναι δὲ φασὶ ἐξ ἠθέων ὑπὸ Τευκρῶν τε καὶ Μυσῶν.
Θρηίκων δὲ τῶν ἐν τῇ Ἀσίῃ ἦρχε Βασσάκης ὁ Ἀρταβάνου
76 . . . ἀσπίδας δὲ ὠμοβοΐνας εἶχον σμικράς, καὶ προβόλους
δύο λυκιοεργέας ἕκαστος εἶχε, ἐπὶ δὲ τῇσι κεφαλῇσι κράνεα
χάλκεα· πρὸς δὲ τοῖσι κράνεσι ὦτά τε καὶ κέρεα προσῆν
βοὸς χάλκεα, ἐπῆσαν δὲ καὶ λόφοι· τὰς δὲ κνήμας ῥάκεσι
φοινικέοισι κατειλίχατο. ἐν τούτοισι τοῖσι ἀνδράσι Ἄρεος
77 ἐστὶ χρηστήριον. Καβηλέες δὲ οἱ Μηίονες, Λασόνιοι δὲ

ἀγχοῦ: near, nearby, 6
ἀκόντιον, τό: javelin, 16
ἀλωπέκεος, -η, -ον: of a fox, 1
ἄπ-οικος, ὁ: colonist, 12
Ἀρμένιοι, οἱ: Armenian, 1
Ἀρταβανος, ὁ: Artabanus, 18
Ἀρταφρένης, ὁ: Artaphrenes, 4
Ἀρτόχμης, ὁ: Artochmes, 1
Ἀσίη, ἡ: Asia, 17
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
Ἄρης, Ἄρεος, ὁ: Ares (god of war), 2
Ἄτυς, -υος, ὁ: Atys, 2
Βασσάκης, ὁ: to Bassaces (male), 1
Βιθυνοι, οἱ: the Bithynians, 1
βοῦς, ὁ: cow, 3
Δάτις, Δάτιος, ὁ: Datis, 4
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἐξ-ανίστημι: rise and depart from, emigrate, 2
ἐπίκαυτος, -ον: burnt upon (the tip), 2
ἐπωνυμίη, ἡ: name, a nickname, surname, 16
ἐσ-βάλλω: throw or put into; put on board 11
ζειρά, ἡ: wide upper garment (down to feet) 2
ἦθος, -έος, ὁ: custom; accustomed place, 4
Θρηίκιος, -η, -ον: Thracian, 7
θυγάτηρ, ἡ: a daughter, 14
Καβηλέες, οἱ: Cabelees, 1
κατ-ελίσσω: to wrap up, swathe, 2
κέρας, τό: horn, 5
κιθών, -ῶνος, ἡ: tunic, (Att. **χιτών**) 5
κνήμη, ἡ: the lower leg, shin, 3
κράνος, τό: a helmet, 18
Λασόνιοι, οἱ: Lasonii, 1
λόφος, ὁ: plume (on a helmet), crest, 6
Λυδός, ὁ: Lydian, 7
λυκιοεργής, -ές: Lycian-made, 1
Μαραθών, -θῶνος, ὁ: Marathon, 2
μετα-βάλλω: to change, 6
Μηίονες, οἱ: the Meiones, 1
μικρός, ή, όν: small, little; trifle, 18
Μυσοι, οἱ: Mysians, 3
νεβρός, ὁ: fawn, 1
Ὀλύμπος, ὁ: Olympus, 4
Ὀλυμπιηνοί, οἱ: Olympienians, 1
οὖς, ὠτος, τό: ear, 8
πέδιλον, τό: sandal, 3
πέλτη, ἡ: a shield, a small light shield, 3
περι-βάλλω: to throw round, enclose; clothe 4
ποικίλος, -η, -ον: variegated, many colored, 6
πούς, ποδός, ὁ: a foot, 10
πρό-βολος, ὁ: a hunting-spear, projectile, 1
ῥάκος, τό: ragged garment, strips of cloth, 1
σάττω: to pack, 5
σμικρός, -η, -ον: small, little; insignificant, 18
Στρυμών, -ονος ὁ: Strymon river, 6
Στυμόνιοι, οἱ: the Strymonians, 1
συν-αμφότεροι: both together, 2
σῶμα, -ατος, τό: the body, 7
Τευκροί, οἱ: Teucrians, 3
φοινίκεος, -η, -ον: crimson red, purple, 1
Φρύξ, -υγὸς, ὁ: a Phrygian, 8
χάλκεος, -η, -ον: made of bronze, copper 15
ὠμο-βόϊνος (-βόεος), -η, -ον: of raw oxhide, 3

---

2 **κατά περ**: *just as*
ἐσεσάχατο: plpf. pass. σάττω
3 **ἄποικοι**: predicate noun with pple εἰμί
τούτων συναμφοτέρων: object of ἦρχε
4 **ἀγχότατω…εἶχον**: *were very near to* (+ gen); ἔχω + adv translates 'to be' + adj
εἶδος οὐδὲν…φωνὴν…τρίχωμα: *in…in… and in…*; acc. of respect
4 **μοῦνον**: adverbial acc.
5 **ἐκαλεῦντο**: *were called*; impf (ἐκαλοῦντο)
τὸ πάλαι: *long ago, formerly*; adverbial acc
6 **ἐπὶ Λυδοῦ**: *(named) after Lydus, son of Atys*
μεταβαλόντες: aor. pple μεταβάλλω
8 **ἐχρέωντο**: impf. χράομαι + dat. objects
9 **Λυδῶν**: *from the Lydians*
10 **Λυδῶν, Μυσῶν**: objects of ἦρχε
11 **ἐσέβαλε**: *assaulted*; 'entered,' ἐσβάλλω
12 **ἀλωπεκέας**: *fox-(skins)*; add noun δορὰς
13 **ἐπὶ δὲ**: and *over (these)*
14 **ζειρὰς…ποικίλας**: *in…*; acc. of respect
περιβεβλημένοι: pf. pass. περιβάλλω
15 **πρὸς δὲ**: *and in addition*
16 **διαβάντες**: aor. pple διαβαίνω
17 **ἐκλήθησαν**: 3rd pl. aor. pass. καλέω
τὸ πρότερον: *previously*; adverbial acc.
ἐπὶ: *on the Strymon (river)*
τὸ πρότερον: *previously*; adverbial acc.
18 **ἐξαναστῆναι**: *that (they)…*; supply acc. subject, aor. inf. ἐξανίστημι
19 **φασὶ**: 3rd pl. pres. φημί
ἐξ ἠθέων: *homes*; 'accustomed (places)'
ὑπὸ: *because of…*; gen. of cause
23 **πρὸς..προσῆν**: *there was added to helmets*
24 **ἐπῆσαν**: *were on top*; impf. ἔπ-ειμι

καλεύμενοι, τὴν αὐτὴν Κίλιξι εἶχον σκευήν, τὴν ἐγώ, ἐπεὰν κατὰ τὴν Κιλίκων τάξιν διεξιὼν γένωμαι, τότε σημανέω. Μιλύαι δὲ αἰχμάς τε βραχέας εἶχον καὶ εἵματα ἐνεπεπορπέατο· εἶχον δὲ αὐτῶν τόξα μετεξέτεροι Λύκια, περὶ δὲ τῇσι κεφαλῇσι ἐκ διφθερέων πεποιημένας κυνέας. τούτων πάν-
78 των ἦρχε Βάδρης ὁ Ὑστάνεος. Μόσχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κυνέας ξυλίνας εἶχον, ἀσπίδας δὲ καὶ αἰχμὰς σμικράς· λόγχαι δὲ ἐπῆσαν μεγάλαι. Τιβαρηνοὶ δὲ καὶ Μάκρωνες καὶ Μοσσύνοικοι κατά περ Μόσχοι ἐσκευασμένοι ἐστρατεύοντο. τούτους δὲ συνέτασσον ἄρχοντες οἵδε, Μόσχους μὲν καὶ Τιβαρηνοὺς Ἀριόμαρδος ὁ Δαρείου τε παῖς καὶ Πάρμυος τῆς Σμέρδιος τοῦ Κύρου, Μάκρωνας δὲ καὶ Μοσσυνοίκους Ἀρταΰκτης ὁ Χεράσμιος, ὃς Σηστὸν τὴν ἐν
79 Ἑλλησπόντῳ ἐπετρόπευε. Μᾶρες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια πλεκτὰ εἶχον, ἀσπίδας δὲ δερματίνας σμικρὰς καὶ ἀκόντια. Κόλχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ξύλινα, ἀσπίδας δὲ ὠμοβοΐνας μικρὰς αἰχμάς τε βραχέας, πρὸς δὲ μαχαίρας εἶχον. Μαρῶν δὲ καὶ Κόλχων ἦρχε Φαρανδάτης ὁ Τεάσπιος. Ἀλαρόδιοι δὲ καὶ Σάσπειρες κατά περ Κόλχοι ὡπλισμένοι ἐστρατεύοντο. τούτων δὲ
80 Μασίστιος ὁ Σιρομίτρεω ἦρχε. τὰ δὲ νησιωτικὰ ἔθνεα τὰ ἐκ τῆς Ἐρυθρῆς θαλάσσης ἑπόμενα, νήσων δὲ ἐν τῇσι τοὺς ἀνασπάστους καλεομένους κατοικίζει βασιλεύς, ἀγχοτάτω τῶν Μηδικῶν εἶχον ἐσθῆτά τε καὶ ὅπλα. τούτων δὲ τῶν νησιωτέων ἦρχε Μαρδόντης ὁ Βαγαίου, ὃς ἐν Μυκάλῃ στρατηγέων δευτέρῳ ἔτεϊ τούτων ἐτελεύτησε ἐν τῇ μάχῃ.

81 Ταῦτα ἦν τὰ κατ' ἤπειρον στρατευόμενά τε ἔθνεα καὶ τεταγμένα ἐς τὸν πεζόν. τούτου ὦν τοῦ στρατοῦ ἦρχον

ἀγχοῦ: near, nearby, 6
ἀκόντιον, τό: javelin, 16
Αλαρόδιοι, οἱ: the Alarodians, 1
ἀνα-σπαστός, -όν: drawn up; removed, 1
Ἀριόμαρδος, ὁ: Ariomardus, 2
Ἀρταΐκτης, ὁ: Artayctes, 2
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
Βαγαίος, ὁ: Bagaeus, 1
Βάδρης, ὁ: Badres (male) 1
βραχύς, -έα, -ύ: short, brief, 9
δερμάτινος, -η, -ον: made of leather, 1
δι-εξ-έρχομαι: to go through; recount, 10
διφθέρα ἡ: a tanned hide, leather 1
εἷμα, -ατος, τό: clothing, clothes, garment, 3
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐμ-πορπάω: to fasten with a brooch or pin, 1
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπι-τροπεύω: be governor/administrator of, 2
ἕπομαι: follow, accompany, escort (+ dat) 12
Ἐρυθρῆ, ἡ: Red sea, 2
ἐσθής, -ητος, ἡ: clothing, clothes, 6
κατ-οικίζω: to settle, establish, 1
Κίλιξ, -λίκος, ὁ: Cilician, 5
Κολχοι, οἱ: the Colchians, 2
κράνος, τό: a helmet, 18
κυνέη, ἡ: helmet 3
Κῦρος, -ου, ὁ: Cyrus, 11
λόγχη, ἡ: a spear-head, javelin-head, 18
Λύκιος, -η, -ον: Lycian, 3
Μάκρωνες, οἱ: the Macrones, 2
Μαρδόντης, ὁ: Mardontes, 1
Μᾶρες, οἱ: the Mares, 2
Μασίστιος, ὁ: Masistius, 1
μάχαιρα, ἡ: dagger, knife, 4
μετ-εξ-έτεροι, -αι, -α: some among many, 2
Μηδικος, -η, -ον: Median, of the Mede, 9
μικρός, ή, όν: small, little; trifle, 18
Μιλύαι, οἱ: the Milyae, 1
Μοσσύνοικοι, οἱ: the Mossynoikians, 2
Μόσχοι, οἱ: the Moschians, 3
Μυκάλη, ἡ: Mycale, 1
ξύλινος, -η, -ον: wooden, 8
νησιώτης, ὁ: islander, Aegean islander, 4
νησιωτικός, -ή, -όν: of an islands, 1
ὁπλίζω: to make ready, arm, 2
Πάρμυος, ὁ: Parmys (male) 1
πλεκτός, -ή, -όν: woven, braided, twisted, 2
Σάσπειρες, οἱ: Saspires, 1
σημαίνω: to show, indicate, declare, 9
Σηστός, -οῦ, ὁ: Sestus, 2
Σιρομίτρης, ὁ: Siromitres, 2
σκευάζω: to equip, prepare, make ready, 17
Σμέρδις, -ιος, ὁ: Smerdis (male) 1
σμικρός, -η, -ον: small, little; insignificant, 18
συν-τάσσω: to arrange together, order, 1
τάξις, ιος ἡ: placement, ordering, 5
Τεάσπις, -ιος, ὁ: Teaspis, 1
τελευτάω: to end, complete, finish; die, 18
Τίβαρνοι, οἱ: the Tibareni, 2
τόξον, τό: a bow, 12
Ὑστάνης, -εος, ὁ: Hystanes (male), 1
Φαρανδάτης, ὁ: Pharandates, 1
Χεράσμιος, ὁ: Cherasmis (male) 1
ὠμο-βόϊνος (-βόεος), -η, -ον: of raw oxhide, 3

---

2 **αὐτὴν Κίλιξι**: *same as the Cilicians*
τὴν: *which…*; relative
ἐπεὰν…γένωμαι: whenever I, narrating, come to be to the place of the Cilicians; pple διεξέρχομαι, aor. subj. γίνομαι in a general temporal clause
σημανέω: fut. σημαίνω
4 **ἐνεπεπορπέατο**: *fastened (for themselves) clothes with brooches*; 3rd pl. plpf. mid. ἐμπορπάω (Att. -ηντο → Ion. -έατο)
κυνέας: supply verb εἶχον from above
5 **τούτων πάντων**: object of ἦρχε
8 **ἐπῆσαν**: 3rd pl. impf. ἔπειμι
9 **κατά περ**: *just as*
ἐσκευασμένοι: pf. pple σκευάζω
10 **τούτους…οἵδε**: *the following leaders marshalled these (men)*
11 **Ἀριόμαρδος…**: ellipsis, add συνέτασσον
Ἀρταΐκτης…: ellipsis, add συνέτασσε
18 **πρὸς δὲ**: *and in addition*
20 **κατά περ**: *just as*
ὡπλισμένοι: pf. pass. ὁπλίζω
τούτων: object of ἦρχε
22 **Ἐρυθρῆς θαλάσσης**: Herodotus may be talking about islands in the Persian Gulf
(ἐκ) νήσων δὲ ἐν τῃσι: *and (those from) the islands in which*; parallel to ἔθνεα both are subject of εἶχον below
τοὺς…καλεομένους: *those called 'Exiles*;'
24 **ἀγχότατω…εἶχον**: *were very near to* (+ gen); ἔχω + adv translates 'to be' + adj
ἐσθῆτά τε καὶ ὅπλα: *in…*; acc. of respect
26 **ἐτελεύτησε**: *died*; 'ended'
28 **ταῦτα ἦν ἔθνεα**: *these were the peoples…*

μὲν οὗτοι οἵ περ εἰρέαται, καὶ οἱ διατάξαντες καὶ ἐξαριθμήσαντες οὗτοι ἦσαν καὶ χιλιάρχας τε καὶ μυριάρχας ἀποδέξαντες, ἑκατοντάρχας δὲ καὶ δεκάρχας οἱ μυριάρχαι. τελέων δὲ καὶ ἐθνέων ἦσαν ἄλλοι σημάντορες. ἦσαν μὲν δὴ οὗτοι
82 οἵ περ εἰρέαται ἄρχοντες, ἐστρατήγεον δὲ τούτων τε καὶ τοῦ σύμπαντος στρατοῦ τοῦ πεζοῦ Μαρδόνιός τε ὁ Γοβρύεω καὶ Τριτανταίχμης ὁ Ἀρταβάνου τοῦ γνώμην θεμένου μὴ στρατεύεσθαι ἐπὶ Ἑλλάδα καὶ Σμερδομένης ὁ Ὀτάνεω, Δαρείου ἀμφότεροι οὗτοι ἀδελφεῶν παῖδες, Ξέρξῃ δὲ ἐγίνοντο ἀνεψιοί, καὶ Μασίστης ὁ Δαρείου τε καὶ Ἀτόσσης παῖς καὶ Γέργις ὁ Ἀριάζου καὶ Μεγάβυζος ὁ Ζωπύρου.
83 οὗτοι ἦσαν στρατηγοὶ τοῦ σύμπαντος πεζοῦ χωρὶς τῶν μυρίων· τῶν δὲ μυρίων τούτων Περσέων τῶν ἀπολελεγμένων ἐστρατήγεε μὲν Ὑδάρνης ὁ Ὑδάρνεος, ἐκαλέοντο δὲ ἀθάνατοι οἱ Πέρσαι οὗτοι ἐπὶ τοῦδε· εἴ τις αὐτῶν ἐξέλειπε τὸν ἀριθμὸν ἢ θανάτῳ βιηθεὶς ἢ νούσῳ, ἄλλος ἀνὴρ ἀραίρητο, καὶ ἐγίνοντο οὐδαμὰ οὔτε πλεῦνες μυρίων οὔτε ἐλάσσονες.
2 κόσμον δὲ πλεῖστον παρείχοντο διὰ πάντων Πέρσαι, καὶ αὐτοὶ ἄριστοι ἦσαν· σκευὴν μὲν τοιαύτην εἶχον ἥ περ εἴρηται, χωρὶς δὲ χρυσόν τε πολλὸν καὶ ἄφθονον ἔχοντες ἐνέπρεπον, ἁρμαμάξας τε ἅμα ἤγοντο, ἐν δὲ παλλακὰς καὶ θεραπηίην πολλήν τε καὶ εὖ ἐσκευασμένην· σῖτα δέ σφι, χωρὶς τῶν ἄλλων στρατιωτέων, κάμηλοί τε καὶ ὑποζύγια ἦγον.
84 ἱππεύει δὲ ταῦτα τὰ ἔθνεα· πλὴν οὐ πάντα παρείχετο ἵππον, ἀλλὰ τοσάδε μοῦνα, Πέρσαι μὲν τὴν αὐτὴν ἐσκευασμένοι καὶ ὁ πεζὸς αὐτῶν· πλὴν ἐπὶ τῇσι κεφαλῇσι εἶχον

ἀδελφεός, ὁ: a brother, 17
ἀ-θάνατος, -ον: immortal, undying, 10
αἱρέω: to seize, take; *mid*. choose, 17
ἀνεψιός, ὁ: nephew, a sister's son, 2
ἀπο-λέγω: to pick out, choose; decline, 5
Ἀριάζος, ὁ: Ariazus, 1
ἀριθμός, ὁ: number, amount, quantity, 17
ἁρμ-άμαξη, ἡ: a covered wagon, 2
Ἀρταβανος, ὁ: Artabanus, 18
Ἀτόσσα, -ης, ἡ: Atossa, 5
ἄ-φθονος, ον: without envy; abundant, 2
βιάω: to overpower, use force, constrain, 7
Γέργις, ὁ: Gergis, 2
Γοβρύης, -εω, ὁ: Gobryas (male) 6
δεκ-άρχης, ὁ: leader of 10; decurion, 1
δια-τάσσω: to arrange, appoint, 6
ἑκατοντ-άρχης, ὁ: leader of 100, 1
ἐκ-λείπω: to leave out, omit, pass over, 10
ἐμ-πρέπω: to be conspicuous, famous, 2
ἐξ-αριθμέω: to count out, number, 5
θάνατος, ὁ: death, 12
θεραπήιη, ἡ: service, train of servants, 8
ἱππεύω: to ride or drive a horse, 2
κάμηλος, ὁ: a camel, 10
κόσμος, ὁ: order, adornment, 4
Μαρδόνιος, ὁ: Mardonius, 9
Μασίστης, ὁ: Masistes, 2
Μεγάβυζος, ὁ: Megabyzus, 2
μυρι-άρχης, ὁ: commander of 10,000, 2
νοῦσος, ἡ: malady, illness, sickness 8
Ὀτάνης, -εω ὁ: Otanes, 4
παλλακή, ἡ: concubine, 3
πλεῖστος, -η, -ον: most, greatest, largest, 6
σημάντωρ, -ορος, ὁ: to commander, leader, 1
σῖτος, ὁ: to grain, food (pl. **σῖτα, τὰ**) 10
σκευάζω: to equip, prepare, make ready, 17
Σμερδομένης, ὁ: Smerdomenes, 2
στρατιώτης, -ου, ὁ: soldier, 1
σύμ-πας, -πασα, -παν: every, all, whole, 7
τέλος, -εος, τό: end, result; assigned (unit) 18
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
Τριτανταίχμης, ὁ: Tritantaechmes, 2
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
ὑπο-ζύγιον, τό: yoked beasts, 11
χιλι-άρχης, ὁ: commander of 1000, 1
χρυσός, ὁ: gold, 5
χωρίς: separately; apart from, without (gen) 5
Ζώπυρος, ὁ: Zopyrus, 1

---

1 **ὅ περ εἰρέαται**: *who have been mentioned*; pf. pass. λέγω (stem ερ), (νται → ατται)
2 **ἦσαν**: impf. εἰμί
ἀποδέξαντες: *appointing*; ἀπο-δείκνυμι
τελέων: *miltary companies*; i.e. an assigned unit; gen. pl. τελός
5 **ὅ περ εἰρέαται**: see line 1
ἐστρατήγεον: *were generals of*; + gen.
7 **τοῦ…θεμένου**: *setting forth*; gen. sg. aor. pple τίθημι modifies Ἀρταβάνου
12 **τῶν μυρίων**: of the Ten Thousand; name for elite forces called the 'Immortals'
13 **τῶν δὲ μυρίων**: gen. obj. of ἐστρατήγεε
ἀπολελεγμένων: pf. pass. pple ἀπολέγω
15 **ἀθάνατοι**: *the Immortals;* nom. predicate, a proper name capitalized in English
οἱ Πέρσαι οὗτοι: nom. subject
ἐπὶ τοῦδε: *for this (following) reason*
αὐτῶν: *of them*; i.e. the Immortals
ἐξέλειπε: *leaves*; gnomic aorist ἐκλείπω
16 **ἢ θανάτῳ…ἢ νούσῳ**: dat. of means
βιηθεὶς: nom. sg. aor. pass. pple βιάω
16 **ἀραίρητο**: plpf. αἱρέω
οὐδαμὰ: *in no way*; adv. (Att. οὐδαμῇ)
17 **πλεῦνες**: *more*; Att. πλέονες
μυρίων: gen. of comparison
18 **περείχοντο**: *presented*; impf.
διὰ πάντων: *of all*; 'over all'
19 **ἥ**: *which*; antecedent σκευή
εἴρηται: *has been mentioned*; pf. pass.
20 **χωρὶς**: *apart from (this)*; i.e separately
21 **ἅμα**: *at the same time*; 'along with (them)'
ἐν δὲ: *and therein*; 'and in (the wagons)'
22 **ἐσκευασμένην**: pf. pass. pple σκευάζω
22 **σφι**: *for them*; dat. of interest
24 **ἦγον**: 3rd pl. impf. ἄγω
25 **ταῦτα τὰ ἔθνεα**: nom. pl. of 3rd sg. verb
πάντα: nom. pl. of 3rd sg. verb
26 **τοσάδε μοῦνα, Πέρσαι**: *only so many (provided cavalry): the Persians…*
τὴν αὐτην…και: *the same as*
27 **εἶχον**: 3rd sg. impf. ἔχω

μετεξέτεροι [ἔνιοι] αὐτῶν καὶ χάλκεα καὶ σιδήρεα ἐξεληλαμένα
85 ποιήματα. εἰσὶ δὲ τινὲς νομάδες ἄνθρωποι, Σαγάρτιοι καλεό-
μενοι, ἔθνος μὲν Περσικὸν καὶ φωνῇ, σκευὴν δὲ μεταξὺ
ἔχουσι πεποιημένην τῆς τε Περσικῆς καὶ τῆς Πακτυϊκῆς· οἳ
παρείχοντο μὲν ἵππον ὀκτακισχιλίην, ὅπλα δὲ οὐ νομίζουσι
ἔχειν οὔτε χάλκεα οὔτε σιδήρεα ἔξω ἐγχειριδίων, χρέωνται
2 δὲ σειρῇσι πεπλεγμένῃσι ἐξ ἱμάντων· ταύτῃσι πίσυνοι
ἔρχονται ἐς πόλεμον. ἡ δὲ μάχη τούτων τῶν ἀνδρῶν ἥδε·
ἐπεὰν συμμίσγωσι τοῖσι πολεμίοισι, βάλλουσι τὰς σειρὰς
ἐπ᾽ ἄκρῳ βρόχους ἐχούσας· ὅτευ δ᾽ ἂν τύχῃ, ἤν τε ἵππου ἤν
τε ἀνθρώπου, ἐπ᾽ ἑωυτὸν ἕλκει· οἱ δὲ ἐν ἕρκεσι ἐμπαλασ-
σόμενοι διαφθείρονται. τούτων μὲν αὕτη ἡ μάχη, καὶ
86 ἐπετετάχατο ἐς τοὺς Πέρσας· Μῆδοι δὲ τήν περ ἐν τῷ
πεζῷ εἶχον σκευήν, καὶ Κίσσιοι ὡσαύτως. Ἰνδοὶ δὲ σκευῇ
μὲν ἐσεσάχατο τῇ αὐτῇ καὶ ἐν τῷ πεζῷ, ἤλαυνον δὲ κέλητας
καὶ ἅρματα· ὑπὸ δὲ τοῖσι ἅρμασι ὑπῆσαν ἵπποι καὶ ὄνοι
ἄγριοι. Βάκτριοι δὲ ἐσκευάδατο ὡσαύτως καὶ ἐν τῷ πεζῷ,
2 καὶ Κάσπιοι ὁμοίως. Λίβυες δὲ καὶ αὐτοὶ κατά περ ἐν τῷ
πεζῷ· ἤλαυνον δὲ καὶ οὗτοι πάντες ἅρματα. ὡς δ᾽ αὕτως
†Κάσπιοι† καὶ Παρικάνιοι ἐσεσάχατο ὁμοίως καὶ ἐν τῷ πεζῷ.
Ἀράβιοι δὲ σκευὴν μὲν εἶχον τὴν αὐτὴν καὶ ἐν τῷ πεζῷ,
ἤλαυνον δὲ πάντες καμήλους ταχυτῆτι οὐ λειπομένας ἵππων.
87 ταῦτα τὰ ἔθνεα μοῦνα ἱππεύει. ἀριθμὸς δὲ τῆς ἵππου ἐγένετο
ὀκτὼ μυριάδες, πάρεξ τῶν καμήλων καὶ τῶν ἁρμάτων. οἱ
μέν νυν ἄλλοι ἱππέες ἐτετάχατο κατὰ τέλεα, Ἀράβιοι δὲ
ἔσχατοι ἐπετετάχατο· ἅτε γὰρ τῶν ἵππων οὔτι ἀνεχομένων
τὰς καμήλους, ὕστεροι ἐτετάχατο, ἵνα μὴ φοβέοιτο τὸ ἱππικόν.

ἄγριος, -α, -ον: wild, fierce, 8
ἀν-έχω: to uphold, endure; arise, 9
Ἀράβιοι, οἱ: Arabians, 5
ἀριθμός, ὁ: number, amount, quantity, 17
ἅρμα, -ατος, τό: a chariot, 15
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
Βάκτριοι, οἱ: the Bactrians, 3
βάλλω: to throw, pelt, hit, strike, 5
βρόχος, ὁ: noose, 1
δια-φθείρω: to destroy, corrupt, kill, 11
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
ἕλκος, -εος, ὁ: wound, sore, 2
ἐμ-παλάσσομαι: to be entangled in, 1
ἔνιοι, -αι, -α: some, 3
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
ἕρκος, τό: fence, wall; coils (of whips) 2
ἔσχατος, -η, -ον: extreme, last, furthest, 14
ἱμάς, -άντος, ὁ: leather strap, 2
Ἰνδός, -ή, -όν: Indian, 6
ἱππεύς, ὁ: a horseman, charioteer 4
ἱππεύω: to ride or drive a horse, 2
ἱππικός, -ή, -όν: of a horse, calvary, 1
κάμηλος, ὁ: a camel, 10
Κάσπιοι, οἱ: the Caspians, 2
κέλης, -ητος, ἡ: swift horse, racer, 1
Κίσσοι, οἱ: the Cissians, 4
Λιβῦς, -ῦος, - ὁ: a Libyan, 6
μεταξύ: between, among 12
μετ-εξ-έτεροι, -αι, -α: some among many, 2
Μῆδος, ὁ: Mede, Median, 13
νομάς, νομάδος: nomadic, roaming, 3
νομίζω: believe, consider; be accustomed, 16
ὀκτα-κισ-χίλιοι: eight thousand, 2
ὀκτώ: eight, 5
ὄνος, ὁ, ἡ: a mule, 3
Πακτυϊκός, ή, όν: Pactyan, 1
πάρ-εξ: adv. besides; except; outside (gen.) 3
Παρικάνιοι, οἱ: the Paricanians, 3
Περσικός, -ή, -όν: Persian, 6
πίσυνος, -όν: trusting in, relying upon, 3
πλέκω: to weave, twist, plait, 3
ποίημα, τό: handwork, work done; poem, 1
Σαγάρτιοι, οἱ: the Sagartians, 1
σάττω: to pack, 5
σειρή, ἡ: rope; cord, string, band, 2
σιδήρεος, -η, -ον: made of iron, iron, 12
σκευάζω: to prepare, make ready, 17
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
ταχυτής, -ῆτος, ἡ: speed, swiftness, 1
τέλος, -εος, τό: end, result; assigned (unit) 18
τύχη, ἡ: chance, luck, fortune, success, 6
ὕπ-ειμι: be under, 1
φοβέω: to put to flight, terrify, frighten, 9
φωνή, ἡ: speech, voice, 4
χάλκεος, -η, -ον: made of bronze, copper 15
ὡσ-αύτως: in the same manner, just so, 3

---

1 **ἐξεληλαμένα**: *beat out*; pf. pass. pple. ἐξελαύνω
2 **εἰσὶ**: *there are*
3 **ἔθνος**: *the race (is);* supply verb
φωνῇ: *in speech*; dat. of respect
μεταξὺ: with Περσικῆς…Πακτυϊκῆς
5 **οὐ νομίζουσι**: *they are not accustomed*
6 **χρέωνται**: 3rd pl. pres. χράομαι
7 **πεπλεγμένησο**: dat. pl. pf. pass. pple πλέκω
ταύτῃσι: dat. obj. of πίσυνοι
8 **ἡ δὲ μάχη**: *the (manner of) fighting*
ἥδε: (*is) the following*
10 **ὅτευ**: *whatever*; gen. sg. οὗτινος (ὅτου)
τύχῃ: *one catches, attains* (+ gen); 3rd sg. aor. subj. τυγχάνω, general relative
ἤν…ἤν: *whether…or*
11 **ἑωυτὸν**: *himself*; Att. ἑαυτὸν
ἐμπαλασσόμενοι: pf. pass. pple
12 **ἡ μάχη**: *the (manner of) fighting*
13 **ἐπετετάχατο**: they were assigned; 3rd pl. plpf. ἐπιτάσσω (Att. -ντο → -ατο)
τήν…πεζῷ: *which (the Medes had) in their infantry*; relative clause, add εἶχον
15 **ἐσεσάχατο**: 3rd pl. plpf. pass. σάττω
τῇ αὐτῇ καὶ: *the same as*
ὑπῆσαν: 3rd pl. impf. ὕπ-είμι
17 **ἐσκευάδατο**: 3rd pl. plpf. pass. σκευάζω
ὡσαύτως καὶ: in the same way as
18 **κατά περ**: *just as*
19 **ὡς δ᾽ αὕτως**: *so in the same way*
21 **τὴν αὐτὴν καὶ**: *the same as*
ταχυτῆτι: *in….*; acc. of respect. ταχυτής
22 **οὐ λειπομένας ἵππων**: *not lacking from horses*; i.e. 'differ from,' gen. comparison
23 **ταῦτα…**: neuter pl. subject of 3rd sg. verb
25 **ἱππέες**: *horsemen*; nom. pl. ἱππεύς
ἐτετάχατο: 3rd pl. plpf. pass. τάσσω
26 **ἔσχατοι**: *in the rear*
ἅτε: *since…*; ἅτε + pple (gen. abs.) causal
27 **ἵνα μὴ**: *so that…might not*; purpose, opt.

88 Ἵππαρχοι δὲ ἦσαν Ἁρμαμίθρης τε καὶ Τίθαιος Δάτιος παῖδες. ὁ δὲ τρίτος σφι συνίππαρχος Φαρνούχης κατελέλειπτο ἐν Σάρδισι νοσέων. ὡς γὰρ ὁρμῶντο ἐκ Σαρδίων, ἐπὶ συμφορὴν περιέπεσε ἀνεθέλητον· ἐλαύνοντι γάρ οἱ ὑπὸ τοὺς πόδας τοῦ ἵππου ὑπέδραμε κύων, καὶ ὁ ἵππος οὐ προϊδὼν ἐφοβήθη τε καὶ στὰς ὀρθὸς ἀπεσείσατο τὸν Φαρνούχεα, πεσὼν δὲ αἷμά
2 τε ἤμεε καὶ ἐς φθίσιν περιῆλθε ἡ νοῦσος. τὸν δὲ ἵππον αὐτίκα κατ᾽ ἀρχὰς ἐποίησαν οἱ οἰκέται ὡς ἐκέλευε· ἐς τὸν χῶρον ἐν τῷ περ κατέβαλε τὸν δεσπότην ἀπαγαγόντες, ἐν τοῖσι γούνασι ἀπέταμον τὰ σκέλεα. Φαρνούχης μὲν οὕτω παρελύθη τῆς ἡγεμονίης.

89 τῶν δὲ τριηρέων ἀριθμὸς μὲν ἐγένετο ἑπτὰ καὶ διηκόσιαι καὶ χίλιαι, παρείχοντο δὲ αὐτὰς οἵδε, Φοίνικες μὲν σὺν Σύροισι τοῖσι ἐν τῇ Παλαιστίνῃ τριηκοσίας, ὧδε ἐσκευασμένοι· περὶ μὲν τῇσι κεφαλῇσι κυνέας εἶχον ἀγχοτάτω πεποιημένας τρόπον τὸν Ἑλληνικόν, ἐνδεδυκότες δὲ θώρηκας λινέους, ἀσπίδας δὲ ἴτυς οὐκ ἐχούσας εἶχον καὶ ἀκόντια.
2 οὗτοι δὲ οἱ Φοίνικες τὸ παλαιὸν οἴκεον, ὡς αὐτοὶ λέγουσι, ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ, ἐνθεῦτεν δὲ ὑπερβάντες τῆς Συρίης οἰκέουσι τὸ παρὰ θάλασσαν· τῆς δὲ Συρίης τοῦτο τὸ χωρίον καὶ τὸ μέχρι Αἰγύπτου πᾶν Παλαιστίνη καλέεται. Αἰγύπτιοι
3 δὲ νέας παρείχοντο διηκοσίας. οὗτοι δὲ εἶχον περὶ μὲν τῇσι κεφαλῇσι κράνεα χηλευτά, ἀσπίδας δὲ κοίλας, τὰς ἴτυς μεγάλας ἐχούσας, καὶ δόρατά τε ναύμαχα καὶ τύχους μεγάλους. τὸ δὲ πλῆθος αὐτῶν θωρηκοφόροι ἦσαν, μαχαίρας
90 δὲ μεγάλας εἶχον. οὗτοι μὲν οὕτω ἐστάλατο, Κύπριοι δὲ παρείχοντο νέας πεντήκοντα καὶ ἑκατόν, ἐσκευασμένοι ὧδε.

ἀγχοῦ: near, nearby, 6
ἀκόντιον, τό: javelin, 16
ἀν-εθέλητος, -ον: unwished for, unwelcome, 2
ἀπ-άγω: to lead away, carry off, 5
ἀπο-σείω: to shake off, 1
ἀπο-τάμνω: to cut off, sever, 3
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἁρμαμίθρης, ὁ: Harmamithres, 1
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
αἷμα, -ατος τό: blood; carnage, 5
Αἴγυπτος, ὁ: Egypt, 7
Αἰγύπτιος, -η, -ον: Egyptian, 8
αὐτίκα: straightway, at once; presently, 11
γόνυ, γούνατος, τό: the knee, 2
Δάτις, Δάτιος, ὁ: Datis, 4
δεσπότης, ὁ: master, lord, 11
διηκόσιοι, -αι, -α: two hundred, 10
δόρυ, δόρατος, τό: shaft of a spear, spear, 5
ἑκατόν: a hundred, 16
ἐμέω: to vomit, throw up, 1
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
ἐνθεῦτεν: from here, from there (ἐντεῦθεν) 12
Ἐρυθρῆ, ἡ: Red sea, 2
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
θωρακο-φόρος, -ον: wearing a breastplate, 2
θώραξ, -ακος, ὁ: breastplace, corslet, 2
ἵππ-αρχος, -ου, ὁ: master of the cavalry, 1
ἵστημι: to make stand ; set up, stop, 18
ἴτυς, -υος, ἡ: rim, edge (of a shield), 2
κατα-βάλλω: to store, throw down, 4
κατα-λείπω: to leave behind, 9
κοῖλος, -η, -ον: hollow, hollowed, 4
κράς, κρατός, ἡ: the head, 12
κυνέη, ἡ: helmet 3
Κύπριοι, οἱ: Cyprians, 3
κύων, κυνός, ὁ, ἡ: a dog, 15
λίνεος, -η, -ον: made of linen, of flax, 4
μάχαιρα, ἡ: dagger, knife, 4
μέχρι: up to; until, as long as (+ gen.), 16
ναύμαχος, -η, -ον: for sea-warfare, 1
νοσέω: to be sick, ill, 1
νοῦσος, ἡ: malady, illness, sickness 8
οἰκέτης, -ου, ὁ: a house-slave, menial, 3
ὀρθός, -ή, -όν: straight, upright, right, 6
παλαιός, -ή, -όν: old in years, old, aged, 17
Παλαιστίνη, ἡ: Palestine, 2
παρα-λύω: to release (from), loosen, 2
παρ-έρχομαι: to go by, pass by, pass, 7
Παρνούχης, -εος ὁ: Pharnuches, 2
πεντήκοντα: fifty, 6
περι-πίπτω: to fall on, be wrecked, 2
πίπτω: to fall, fall down, 18
πούς, ποδός, ὁ: a foot, 10
προ-εἶδον: to look forward catch sight of, 3
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
σκέλος, -εος, τό: the leg, 2
σκευάζω: to equip, prepare, make ready, 17
στέλλω: to equip, make ready, send, 9
Σύριη, ἡ: Syria, 2
Σύρος, ὁ: a Syrian, 1
συν-ίππάρχος, ὁ: joint-master of cavalry, 1
Τίθαιος, ὁ: Tithaeus, 1
τριήκοντα: thirty, 9
τριήρης, ὁ: a trireme, 7
τρίτος, -η, -ον: the third, 18
τύχος, ὁ: battle-axe, 1
ὑπερ-βαίνω: to cross over, step over, 1
ὑπο-τρέχω: to run under, 1
φθίσις, ἡ: wasting away, consumption, 1
φοβέω: to put to flight, terrify, frighten, 9
Φοίνικες, οἱ: Phoenicians, 12
χηλευτός, -ή, -όν: knitted, woven, 1
χωρίον, τό: place, spot, region, 14
ὧδε: in this way, so, thus, 17

---

1 Ἱππαρχοι: *the masters of the cavalry were*
2 κατελέλειπτο: plpf. pass. καταλείπω
3 νοσέων: nom. sg. pres. pple νοσέω
ὡς: *when…*;temporal
ὁρμῶντο: impf. ὁρμάω
ἐπὶ συμφορὴν: *into...misfortune*
4 περιέπεσε: aor. περι-πίπτω
5 ὑπέδραμε: 3rd sg. aor. ὑπο-τρέχω
προϊδὼν: aor. pple προ-εἶδον
6 ἐφοβήθη: *became afraid*; ingressive aor mid
στὰς: nom. sg. aor. act. ἵστημι
πεσὼν: nom. sg. aor. pple πίπτω
περιῆλθε: passed; 3rd sg. aor. περι-έρχομαι
8 τὸν δὲ ἵππον: *as for the horse*; acc. respect
κατ᾽ ἀρχὰς: *at the beginning*; 'during…'
ὡς ἐκέλευε: *just as (Pharnuces) ordered*
9 ἐν…κατέβαλε: *on which it threw the master*
11 παρελύθη: 3rd sg. aor. pass. παρα-λύω
15 ἀγχοτάτω πεποιημένας: *made very closely*; does not, as often, modify εἶχον
16 τρόπον τὸν…: *in the Greek way*; adv. acc.
26 ἐστάλατο: 3rd pl. plpf. pass. στέλλω

τὰς μὲν κεφαλὰς εἰλίχατο μίτρῃσι οἱ βασιλέες αὐτῶν, οἱ δὲ ἄλλοι εἶχον κιθῶνας, τὰ δὲ ἄλλα κατά περ Ἕλληνες. τούτων δὲ τοσάδε ἔθνεα εἰσί, οἳ μὲν ἀπὸ Σαλαμῖνος καὶ Ἀθηνέων, οἳ δὲ ἀπ᾽ Ἀρκαδίης, οἳ δὲ ἀπὸ Κύθνου, οἳ δὲ ἀπὸ Φοινίκης, οἳ δὲ ἀπὸ Αἰθιοπίης, ὡς αὐτοὶ Κύπριοι λέγουσι. Κίλικες δὲ
91 ἑκατὸν παρείχοντο νέας. οὗτοι δ᾽ αὖ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια, λαισήια δὲ εἶχον ἀντ᾽ ἀσπίδων ὠμοβοέης πεποιημένα, καὶ κιθῶνας εἰρινέους ἐνδεδυκότες· δύο δὲ ἀκόντια ἕκαστος καὶ ξίφος εἶχον, ἀγχοτάτω τῇσι Αἰγυπτίῃσι μαχαίρῃσι πεποιημένα. οὗτοι [μὲν] τὸ παλαιὸν Ὑπαχαιοὶ ἐκαλέοντο, ἐπὶ δὲ Κίλικος τοῦ Ἀγήνορος ἀνδρὸς Φοίνικος ἔσχον τὴν ἐπωνυμίην. Πάμφυλοι δὲ τριήκοντα παρείχοντο νέας Ἑλληνικοῖσι ὅπλοισι ἐσκευασμένοι. οἱ δὲ Πάμφυλοι οὗτοι εἰσὶ τῶν ἐκ Τροίης ἀποσκεδασθέντων ἅμα Ἀμφιλόχῳ καὶ Κάλχαντι.
92 Λύκιοι δὲ παρείχοντο νέας πεντήκοντα θωρηκοφόροι τε ἐόντες καὶ κνημιδοφόροι, εἶχον δὲ τόξα κρανέϊνα καὶ ὀϊστοὺς καλαμίνους ἀπτέρους καὶ ἀκόντια, ἐπὶ δὲ αἰγὸς δέρμα περὶ τοὺς ὤμους αἰωρεύμενον, περὶ δὲ τῇσι κεφαλῇσι πίλους πτεροῖσι περιεστεφανωμένους· ἐγχειρίδια δὲ καὶ δρέπανα εἶχον. Λύκιοι δὲ Τερμίλαι ἐκαλέοντο ἐκ Κρήτης γεγονότες, ἐπὶ δὲ Λύκου τοῦ Πανδίονος ἀνδρὸς Ἀθηναίου ἔσχον τὴν ἐπωνυμίην.
93 Δωριέες δὲ οἱ ἐκ τῆς Ἀσίης τριήκοντα παρείχοντο νέας, ἔχοντές τε Ἑλληνικὰ ὅπλα καὶ γεγονότες ἀπὸ Πελοποννήσου. Κᾶρες δὲ ἑβδομήκοντα παρείχοντο νέας, τὰ μὲν ἄλλα κατά περ Ἕλληνες ἐσταλμένοι, εἶχον δὲ καὶ δρέπανα καὶ ἐγχειρίδια. οὗτοι δὲ οἵτινες πρότερον ἐκαλέοντο, ἐν
94 τοῖσι πρώτοισι τῶν λόγων εἴρηται. Ἴωνες δὲ ἑκατὸν νέας παρείχοντο ἐσκευασμένοι ὡς Ἕλληνες. Ἴωνες δὲ ὅσον

Ἀγήνωρ, ὁ: Agenor, 1
ἀγχοῦ: near, nearby, 6
Ἀθῆναι, αἱ: Athens, 13
Αἰγύπτιος, -η, -ον: Egyptian, 8
Αἰθιοπίη, ἡ: Ethiopia, 1
αἴξ, αἰγός, ὁ, ἡ: goat, 1
αἰωρέω: to hang; lift, raise, 1
ἀκόντιον, τό: javelin, 16
Ἀμφιλόχος, ὁ: Amphilochus, 1
ἀπο-σκεδάννυμι: to scatter, disperse, 1
ἄ-πτερος, -ον: featherless; wingless, 1
Ἀρκαδίη, ὁ: Arcadia, 2
Ἀσίη, ἡ: Asia, 17
ἀσπίς, ἀσπίδος, ὁ: a round shield, 12
αὖ: again; on the contrary, on the other hand, 6
δέρμα, -ατος, τό: the skin, hide, 1
δρέπανον, τό: a scythe, 4
Δωριεύς, -έως, ὁ: Doric, 3
ἐγ-χειρίδιον, τό: hand-knife, dagger, 9
ἑβδομήκοντα: seventy, 6
εἰρίνεος, -η, -ον: woolen, of wool, 1
ἑκατόν: a hundred, 16
ἑλίσσω: to wind, curl, turn about, 1
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
ἐπωνυμίη, ἡ: name, a nickname, surname, 16
θωρακο-φόρος, -ον: wearing a breastplate, 2
Ἴων, Ἴωνος, ὁ: Ionian, 9
καλάμινος, -η, -ον: made of reed, 7
Κάλχας, -αντις, ὁ: Calchis, 1
Κάρ, Καρός, ὁ: a Carian, 2
κιθών, -ῶνος, ἡ: tunic, (Att. **χιτών**) 5
Κίλιξ, -λίκος, ὁ: Cilician, 5
κνημιδο-φόρος, -ον: wearing greaves, 1
κρανέινος, -η, -ον: wooden, of cornel wood, 1
κράνος, τό: a helmet, 18
Κρήτη, ἡ: Crete, 4
Κύθνος, ὁ: Cynthnus, 1
Κύπριοι, οἱ: Cyprians, 3
λαισήιον, τό: buckler, light shield, 1
Λύκιος, -η, -ον: Lycian, 3
Λύκος, ὁ: Lycus (male) 1
μάχαιρα, ἡ: dagger, knife, 4
μίτρη, ἡ: mitra, headband, 1
ξίφος, τό: a sword, 3
οἰστός, ὁ: arrow, 5
παλαιός, -ή, -όν: old in years, old, aged, 17
Πάμφυλοι, οἱ: Pamphylians, 1
Πανδίων, -ίονος, ὁ: Pandion, 1
Πελοποννήσος, ὁ: Peloponnesus, 9
πεντήκοντα: fifty, 6
περι-στέφανόω: to be put round as a crown, 2
πῖλος, ὁ: felt (cap), felt, wool, 11
πτερόν, τό: feather, wing, 2
Σαλαμίς, -ῖνος, ὁ: Salamis, 6
σκευάζω: to equip, prepare, make ready, 17
στέλλω: to equip, make ready, send, 9
Τερμίλαι, οἱ: the Termilae, 1
τόξον, τό: a bow, 12
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
τριήκοντα: thirty, 9
Τροίη, ἡ: Troy, 2
Ὑπαχαιοί, οἱ: Hypachae, 1
Φοίνικες, οἱ: Phoenicians, 12
ὦμος, ὁ: shoulder, 3
ὠμο-βόϊνος (-βόεος), -η, -ον: of raw oxhide, 3

---

1 **εἱλίχατο**: 3rd pl. plpf. pass. ἑλίσσω
2 **τὰ δὲ ἄλλα**: *in other respects*; acc. respect
κατὰ περ: *just as*
3 **οἳ μὲν…οἳ δὲ**: *some…others*
πεποιημένα: pf. pass. pple. ποιέω
8 **ἐνδεδυκότες**: pf. but pres. sense, ἐν-δύ(ν)ω
10 **ἀγχοτάτω**: superlative adv. ἀγχοῦ + dat.
τὸ παλαιὸν: *long ago*; adverbial acc.
11 **ἐπὶ**: *(named) after…*
ἔσχον: 3rd pl. aor. ἔχω
13 **ἐσκευασμένοι**: pf. pass. σκευάζω
14 **ἀποσκεδασθέντων**: *among…*; partitive gen.; aor. pass. pple. ἀποσκεδάννυμι
ἐόντες: nom. pl. pple. εἰμί
17 **ἐπὶ δὲ**: *and upon these*
18 **αἰωρεύμενον**: *draped*; (Att. αἰωροῦμενον)
πτεροῖσι: dat. of means
20- **γεγονότες** pf. pple γίνομαι
24 **τὰ δὲ ἄλλα**: *in other respects*; acc. respect
24 **κατὰ περ**: *just as*
25 **ἐσταλμένοι**: pf. pass. pple στέλλω
26 **πρότερον**: *previously*; adverbial acc.
ἐν τοῖσι πρώτοισι: *in the beginning of the Histories*; 'of the accounts,' see Hdt. I.171
27 **εἴρηται**: *has been mentioned*; pf. pass.
28 **ὡς**: *just as*

μὲν χρόνον ἐν Πελοποννήσῳ οἴκεον τὴν νῦν καλεομένην Ἀχαιίην, καὶ πρὶν ἢ Δαναόν τε καὶ Ξοῦθον ἀπικέσθαι ἐς Πελοπόννησον, ὡς Ἕλληνες λέγουσι, ἐκαλέοντο Πελασγοὶ
95 Αἰγιαλέες, ἐπὶ δὲ Ἴωνος τοῦ Ξούθου Ἴωνες. νησιῶται δὲ ἑπτακαίδεκα παρείχοντο νέας, ὡπλισμένοι ὡς Ἕλληνες, καὶ τοῦτο Πελασγικὸν ἔθνος; ὕστερον δὲ Ἰωνικὸν ἐκλήθη κατὰ τὸν αὐτὸν λόγον καὶ οἱ δυωδεκαπόλιες Ἴωνες οἱ ἀπ᾽ Ἀθηνέων. Αἰολέες δὲ ἑξήκοντα νέας παρείχοντο, ἐσκευασμένοι τε ὡς Ἕλληνες καὶ τὸ πάλαι καλεόμενοι Πελασγοί, ὡς
2 Ἑλλήνων λόγος. Ἑλλησπόντιοι δὲ πλὴν Ἀβυδηνῶν (Ἀβυδηνοῖσι γὰρ προσετέτακτο ἐκ βασιλέος κατὰ χώρην μένουσι φύλακας εἶναι τῶν γεφυρέων) οἱ δὲ λοιποὶ ⟨οἱ⟩ ἐκ τοῦ Πόντου στρατευόμενοι παρείχοντο μὲν ἑκατὸν νέας, ἐσκευασμένοι δὲ ἦσαν ὡς Ἕλληνες. οὗτοι δὲ Ἰώνων καὶ Δωριέων
96 ἄποικοι. ἐπεβάτευον δὲ ἐπὶ πασέων τῶν νεῶν Πέρσαι καὶ Μῆδοι καὶ Σάκαι. τούτων δὲ ἄριστα πλεούσας παρείχοντο νέας Φοίνικες καὶ Φοινίκων Σιδώνιοι. τούτοισι πᾶσι καὶ τοῖσι ἐς τὸν πεζὸν τεταγμένοισι αὐτῶν ἐπῆσαν ἑκάστοισι ἐπιχώριοι ἡγεμόνες, τῶν ἐγώ, οὐ γὰρ ἀναγκαίῃ ἐξέργομαι ἐς
2 ἱστορίης λόγον, οὐ παραμέμνημαι. οὔτε γὰρ ἔθνεος ἑκάστου ἐπάξιοι ἦσαν οἱ ἡγεμόνες, ἔν τε ἔθνεϊ ἑκάστῳ ὅσαι περ πόλιες τοσοῦτοι καὶ ἡγεμόνες ἦσαν, εἵποντο δὲ ὡς οὐ στρατηγοὶ ἀλλ᾽ ὥσπερ οἱ ἄλλοι στρατευόμενοι δοῦλοι· ἐπεὶ στρατηγοί γε οἱ τὸ πᾶν ἔχοντες κράτος καὶ ἄρχοντες τῶν ἐθνέων ἑκάστων, ὅσοι αὐτῶν ἦσαν Πέρσαι, εἰρέαταί μοι.
97 τοῦ δὲ ναυτικοῦ ἐστρατήγεον Ἀριαβίγνης τε ὁ Δαρείου καὶ Πρηξάσπης ὁ Ἀσπαθίνεω καὶ Μεγάβαζος ὁ Μεγαβάτεω καὶ Ἀχαιμένης ὁ Δαρείου, τῆς μὲν Ἰάδος τε καὶ Καρικῆς

Ἀβυδηνοί, οἱ: Abydenians, 4
Αἰγιαλής, -ές: Aegialian, 1
Αἰολεύς, -έως, ὁ: Aeolian, 2
Ἀθῆναι, αἱ: Athens, 13
ἄπ-οικος, ὁ: colonist, 12
Ἀριαβίγνης, ὁ: Ariabignes, 2
Ἀσπαθίνης, -εω, ὁ: Aspathines (male) 1
Ἀχαιΐη, ἡ: Achaea (place) 6
Ἀχαιμένης, -έος ὁ: Achaemenes, 4
γεφύρη, ἡ: bridge; dam, mound, 9
Δαναός, ὁ: Danaus (male) 1
δυωεκάπολις, -ιος: formed of twelve-cities
Δωριεύς, -έως, ὁ: Doric, 3
ἑκατόν: a hundred, 16
Ἑλλησπόντιος, -η, -ον: of the Hellespont, 3
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐξ-έργομαι: to shut out, debar, 1
ἑξήκοντα: sixty, 4
ἐπ-άξιος, -ον: worthy, worthy (to mention), 1
ἐπι-βατεύω: be (a soldier) on board of ship, 4
ἕπομαι: follow, accompany, escort (+ dat) 12
ἑπτα-και-δεκα: seventeen, 1
ἔργον, τό: work, task, deed, act, 12
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
Ἰάς, Ἰάδος, ἡ: *adj*. Ionian, 1
ἱστορίη, ἡ: inquiry; examination, 1
Ἴων, Ἴωνος, ὁ: Ionian, 9
Ἰωνικός, -ή, -όν: Ionian, Ionic, 1
Καρικός, -ή, -όν, ὁ: Carian, 1
κράτος, -εος, τό: strength, power, 12
λοιπός, -ή, -όν: remaining, the rest, 15
Μεγάβαζος, ὁ: Megabazus, 4
Μεγάβατης, ὁ: Megabates, 1
μένω: to stay, remain, 20
Μῆδος, ὁ: Mede, Median, 13
νησιώτης, ὁ: islander, Aegean islander, 4
Ξοῦθος, ὁ: Xuthus, 2
ὁπλίζω: to make ready, arm, 2
παρα-μιμνήσκομαι: to mention aside, 2
Πελασγικός, -ή, -όν: Pelasgian, 7
Πελασγοί, οἱ: the Pelasgians, 2
Πελοποννήσος, ὁ: Peloponnesus, 9
πόντος, ὁ: sea, 5
Πρηξάσπης, ὁ: Prexaspes (male) 1
πρίν: until, before, 10
προσ-τάσσω: to order, assign, appoint, 6
Σάκαι, αἱ: Sacae, 6
Σιδώνιος, -η, -ον: Sidonian, of Sidon, 6
σκευάζω: to equip, prepare, make ready, 17
Φοίνικες, οἱ: Phoenicians, 12
φύλαξ, -κος, ὁ: a watcher, guard, sentinel, 10
ὥσπερ: as, just as, as if, 3

---

1 **ὅσον μὲν χρόνον**: *for as much time*; duration
2 **οἴκεον**: *inhabited*; + acc. unaugmented 3rd pl. impf. οἰκέω
τὴν…Ἀχαιίην: acc. direct obj. of οἴκεον
3 **πρὶν ἤ**: *before*; 'sooner than' governs inf.
Πελασγοὶ Αἰγιαλέες: *Aegialian Pelasgians*
4 **ἐπὶ**: *after…(had a name);* supply ἔσχον τὴν ἐπωνυμίην
5 **ὡπλισμένοι**: pf. pass. pple ὁπλίζω
ὡς: *just as*
6 **τοῦτο**: *this (was)*; supply verb
ὕστερον: *later*; adverbial acc.
ἐκλήθη: 3rd sg. aor. pass. καλέω
κατὰ τὸν αὐτὸν λόγον: *according to the same reason*
8 **ἐσκευασμένοι**: pf. pass. pple σκευάζω
9 **τὸ πάλαι**: *formerly, long ago*; adv. acc.
ὡς: *so (is)*; supply verb
11 **προσετέτακτο**: 3rd pl. plpf. προσ-τάσσω
κατὰ χώρην: *by land*
μένουσι: dat. pl. pple + Ἀβυδηνοῖσι
12 **εἶναι**: pres. inf. εἰμί
13 **ἐσκευασμένοι…ἦσαν**: *were equipped*; or periphrastic plpf. pass. (pf. pass. pple + impf. εἰμί) στέλλω
14 **οὗτοι**: *these (were)*
15 **ἐπὶ**: *on(board)…*
16 **τούτων**: *of these (ships);* partitive gen.
ἄριστα: superlative adv.
12 **πλεούσας**: fem. acc. pl.
17 **και Φοινίκων Σιδώνιοι**: *and among the Phoenicians the Sidonians*; partitive gen.
τούτοισι: over these…; all datives are dat. of compound ἐπῆσαν
18 **τεταγμένοισι**: dat. pl pf. pass. pple τάσσω
18 **ἑκάστοισι**: modifies ἐπιχώριοι
19 **τῶν ἐγω**: *which I*; obj of παραμέμνημαι, which is pf. mid. of παραμιμνήσκομαι
οὐ γὰρ ἀναγκαίῃ ἐξέργομαι…λόγον: *for I am not by necessity compelled (to make mention) for the account of the history*; dat. cause, pres. pass., and ἐς of purpose
20 **παραμέμνημαι**: *I have mentioned (one) beside (another)*; i.e. 'I have listed'
22 **εἵποντο**: impf. ἕπομαι
25 **εἰρέαται**: 'have been mentioned' dat agent

στρατιῆς Ἀριαβίγνης ὁ Δαρείου τε παῖς καὶ τῆς Γοβρύεω θυγατρός· Αἰγυπτίων δὲ ἐστρατήγεε Ἀχαιμένης Ξέρξεω ἐὼν ἀπ᾽ ἀμφοτέρων ἀδελφεός, τῆς δὲ ἄλλης στρατιῆς ἐστρατήγεον οἱ δύο. τριηκόντεροι δὲ καὶ πεντηκόντεροι καὶ κέρκουροι καὶ ἱππαγωγὰ πλοῖα σμικρὰ συνελθόντα ἐς τὸν ἀριθμὸν ἐφάνη
98 τρισχίλια. τῶν δὲ ἐπιπλεόντων μετά γε τοὺς στρατηγοὺς οἵδε ἦσαν ὀνομαστότατοι, Σιδώνιος Τετράμνηστος Ἀνύσου, καὶ Τύριος Ματτὴν Σιρώμου, καὶ Ἀράδιος Μέρβαλος Ἀγβάλου, καὶ Κίλιξ Συέννεσις Ὠρομέδοντος, καὶ Λύκιος Κυβερνίσκος Σίκα, καὶ Κύπριοι Γόργος τε ὁ Χέρσιος καὶ Τιμῶναξ ὁ Τιμαγόρεω, καὶ Καρῶν Ἰστιαῖός τε ὁ Τύμνεω καὶ Πίγρης ὁ Ὑσσελδώμου, καὶ Δαμασίθυμος ὁ Κανδαύλεω.
99 τῶν μέν νυν ἄλλων οὐ παραμέμνημαι ταξιάρχων ὡς οὐκ ἀναγκαζόμενος, Ἀρτεμισίης δὲ, τῆς μάλιστα θῶμα ποιεῦμαι ἐπὶ τὴν Ἑλλάδα στρατευσαμένης γυναικός· ἥτις ἀποθανόντος τοῦ ἀνδρὸς αὐτή τε ἔχουσα τὴν τυραννίδα καὶ παιδὸς ὑπάρχοντος νεηνίεω ὑπὸ λήματός τε καὶ ἀνδρηίης
2 ἐστρατεύετο, οὐδεμιῆς οἱ ἐούσης ἀναγκαίης. οὔνομα μὲν δὴ ἦν αὐτῇ Ἀρτεμισίη, θυγάτηρ δὲ ἦν Λυγδάμιος, γένος δὲ ἐξ Ἁλικαρνησσοῦ τὰ πρὸς πατρός, τὰ μητρόθεν δὲ Κρῆσσα. ἡγεμόνευε δὲ Ἁλικαρνησσέων τε καὶ Κῴων καὶ Νισυρίων τε
3 καὶ Καλυδνίων, πέντε νέας παρεχομένη. καὶ συναπάσης τῆς στρατιῆς, μετά γε τὰς Σιδωνίων, νέας εὐδοξοτάτας παρείχετο, πάντων τε τῶν συμμάχων γνώμας ἀρίστας βασιλέϊ ἀπεδέξατο. τῶν δὲ κατέλεξα πολίων ἡγεμονεύειν αὐτήν, τὸ ἔθνος ἀποφαίνω πᾶν ἐὸν Δωρικόν, Ἁλικαρνησσέας μὲν Τροιζηνίους, τοὺς δὲ ἄλλους Ἐπιδαυρίους.

Ἄγβαλος, -ου, ὁ: Agbalus, 1
ἀδελφεός, ὁ: a brother, 17
Αἰγύπτιος, -η, -ον: Egyptian, 7
ἀναγκάζω: to force, compel, require, 15
ἀνδρήιος, -η, -ον: of a man, courageous, 3
Ἄνυσος, ὁ: Anysus, 1
ἀπο-φαίνω: to show, make clear; perform, 5
Ἀράδιος, -η, -ον: Aradian, from Aradus, 1
Ἀριαβίγνης, ὁ: Ariabignes, 2
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἀρτεμισίη, ἡ: Artemisia (female) 2
Ἀχαιμένης, -έος ὁ: Achaemenes, 7
Ἁλικαρνησσεύς, -εος, ὁ: Halicarnassian, 2
Ἁλικαρνησσός, ὁ: Halicarnassus, 1
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
Γόργος, ὁ: Gorgus (male), 1
Γοβρύης, -εω, ὁ: Gobryas (male) 6
Δαμασίθυμος, ὁ: Damasithymus, 1
Δωρικός, -ή, -όν: Doric, 5
Ἐπιδαυριοι, οἱ: Epidaurians, 1
ἐπι-πλέω: to sail against, 5
εὖ-δοξος, -ον: well-reputed, glorious, 1
ἡγεμονεύω: to lead, rule, command, 3
θυγάτηρ, ἡ: a daughter, 14
θῶμα, -ατος, τό: wonder, amazement, 11
ἱππ-αγωγός, -όν: horse-transporting, 2
Ἱστιαῖος, -ου, ὁ: Histiaeus, 2
Καλυδνίοι οἱ: the Calydnians, 1
Κανδαύλης, -εω, ὁ: Candaules, 1
Κάρ, Καρός, ὁ: a Carian, 2
κατα-λέγω: pick, recount, 14
κέρκουρος, ὁ: light ship, light boat, 1
Κίλιξ, -λίκος, ὁ: Cilician, 5
Κρῆσσα, -ης, ἡ: *fem*. Cretan, 1
Κυβερνίσκος, ὁ: Cyberniscus (male), 1
Κύπριοι, οἱ: Cyprians, 3
Κῷος, ὁ: a Coan, an inhabitant of Cos, 4
λῆμα, λήματος, τό: purpose, will, desire, 1
Λυγδάμις, -ιος, ὁ: Lygdamis (male) 1
Λύκιος, -η, -ον: Lycian, 3
Ματτήν, ὁ: Matten (male), 1
Μέρβαλος, ὁ: Merbalus, 1
μητρό-θεν: from the mother or mother's side, 2
νεηνίης, -εω, ὁ: a young man, youth, 1
Νισυρίοι, οἱ: the Nisyrians, 1
ὀνομαστός, -ή, -όν: notable, well-named, 10
Ὠρομέδων, -οντος, ὁ: Oromedon (male), 1
παρα-μιμνήσκομαι: to mention in addition, 2
πατήρ, ὁ: a father, 18
πέντε: five, 8
πεντηκόντορος, ὁ: a ship with fifty oars. 10
Πίγρης, ὁ: Pigres, 1
πλοῖον τό: ship, vessel, 11
Σίκας, ὁ: Sicas (male), 1
Σιρώμος, ὁ: Siromus (male), 1
Σιδώνιος, -η, -ον: Sidonian, of Sidon, 6
σμικρός, -η, -ον: small, little; insignificant, 18
Συέννεσις, ὁ: Syennesis (male), 1
συν-άπας, -απασα, -άπαν: all together, 2
συν-έρχομαι: to go together, gather, 5
ταξί-αρχος, ὁ: commander of a squadron), 1
Τετράμνηστος, ὁ: Tetramnestus, 1
Τιμαγόρης, -εω, ὁ: Timagoras (male), 1
Τιμῶναξ, ὁ: Timonax (male), 1
τριακόντορος, ὁ: a ship with thirty oars. 1
τρισ-χίλιοι: three thousand, 3
Τροιζηνίοι, οἱ: Troezenians, 1
Τύμνης, -εω, ὁ: Tymnes, 1
τυραννίς, -ίδος, ἡ: sovereignty, 4
Τύριος, -η, -ον: Tyrian, from Tyre, 1
ὑπ-άρχω: begin (gen); be at hand; belong, 14
Ὑσσελδώρος, ὁ: Hysseldomus, 1
Χέρσις, -ιος, ὁ: Chersis (male), 1

---

2 ἐστρατήτεε: *was general*; + gen., impf.
ἐὼν: nom. sg. pres. pple εἰμί
3 ἀπ' ἀμφοτέρων: *on both sides*; full brother
pl. impf. οἰκέω
5 συνελθόντα...ἐφάνη: *appeared to come together*; acc. sg. aor. pple συν-έρχομαι
ἐς...ἀριθμὸν τρισχίλια: to the number 3000
6 τῶν ἐπιπλεόντων: *among*…; partitive gen.
13 παραμέμνημαι*: I have mentioned*; + gen.
ὡς οὐκ ἀναγκαζόμενος: *since I am not compelled*; ὡς + pple expresses cause
14 Ἀρτεμισίης: gen. obj. of παραμέμνημαι
τῆς: *who*…; gen abs with στρατευσμένης
θῶμα ποιεῦμαι: *I am amazed*; periphrastic for θωμάζω (Att. θαυμάζω)
15 γυναικός: in final position for emphasis
ἀποθανόνος: gen. abs., aor. ἀποθνῄσκω
15 παιδὸς ὑπάρχοντος νεηνίεω: *her son becoming a young man*; gen. abs.
15 ὑπὸ: *because of*…; gen. of cause
19 ἦν αὐτῇ: was to her; 'she had,' possession
20 τὰ...πατρός: on father's side; acc. respect
23 μετά γε τὰς: after the Sidonians' (ships)
24 ἀπεδέξατο: *presented*; aor. ἀποδείκνυμι

100 ἐς μὲν τοσόνδε ὁ ναυτικὸς στρατὸς εἴρηται. Ξέρξης δέ, ἐπεὶ ἠριθμήθη τε καὶ διετάχθη ὁ στρατός, ἐπεθύμησε αὐτός σφεας διεξελάσας θεήσασθαι· μετὰ δὲ ἐποίεε ταῦτα, καὶ διεξελαύνων ἐπὶ ἅρματος παρὰ ἔθνος ἓν ἕκαστον ἐπυνθάνετο. καὶ ἀπέγραφον οἱ γραμματισταί, ἕως ἐξ ἐσχάτων ἐς ἔσχατα
2 ἀπίκετο καὶ τῆς ἵππου καὶ τοῦ πεζοῦ. ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, τῶν νεῶν κατελκυσθεισέων ἐς θάλασσαν, ἐνθαῦτα ὁ Ξέρξης μετεκβὰς ἐκ τοῦ ἅρματος ἐς νέα Σιδωνίην ἵζετο ὑπὸ σκηνῇ χρυσέῃ καὶ παρέπλεε παρὰ τὰς πρῴρας τῶν νεῶν, ἐπειρωτῶν τε ἑκάστας ὁμοίως καὶ τὸν πεζὸν καὶ ἀπογραφό-
3 μενος. τὰς δὲ νέας οἱ ναύαρχοι ἀναγαγόντες ὅσον τε τέσσερα πλέθρα ἀπὸ τοῦ αἰγιαλοῦ ἀνεκώχευον, τὰς πρῴρας ἐς γῆν τρέψαντες πάντες μετωπηδόν, καὶ ἐξοπλίσαντες τοὺς ἐπιβάτας ὡς ἐς πόλεμον. ὁ δ' ἐντὸς τῶν πρωρέων πλέων ἐθηεῖτο καὶ τοῦ αἰγιαλοῦ.

101 ὡς δὲ καὶ ταύτας διεξέπλωσε καὶ ἐξέβη ἐκ τῆς νεός, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα, καλέσας δ' αὐτὸν εἴρετο τάδε. 'Δημάρητε, νῦν μοι σὲ ἡδύ τι ἐστὶ εἰρέσθαι τὰ θέλω. σὺ εἶς Ἕλλην τε, καὶ ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων Ἑλλήνων τῶν ἐμοὶ ἐς λόγους ἀπικνεομένων, πόλιος οὔτ' ἐλαχίστης οὔτ'
2 ἀσθενεστάτης. νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι. οὐ γάρ, ὡς ἐγὼ δοκέω, οὐδ' εἰ πάντες Ἕλληνες καὶ οἱ λοιποὶ οἱ πρὸς ἑσπέρης οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοι εἰσὶ ἐμὲ
3 ἐπιόντα ὑπομεῖναι, μὴ ἐόντες ἄρθμιοι. ἐθέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις περὶ αὐτῶν, πυθέσθαι.' ὁ μὲν ταῦτα εἰρώτα, ὁ δὲ ὑπολαβὼν ἔφη 'βασιλεῦ, κότερα ἀλη-

αἰγιαλος, ὁ: beach, shore 11
ἀλήθειη, ἡ: truth, 7
ἀν-άγω: to lead up, put to sea, 11
ἀνοκωχεύω: to hold back, keep taut, hold, 2
ἀντ-αείρω: to raise/rise against (Att. **-αίρω**) 4
ἀξιό-μαχος, -η, -ον: worthy in war; match, 5
ἀπο-γράφω: to write up, list, register, 2
ἄρθμιος, -η, -ον: united, bound, 2
ἀριθμέω: to count, reckon, 4
Ἀρίστων, -ωνος, ὁ: Ariston, 4
ἀ-σθενής, -ές: weak; sickly, ill 3
γραμματιστής, ὁ: scribe, 1
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δι-εκ-πλώω: to sail out through, 3
δι-εξ-ελαύνω: to drive, ride, march through, 2
δια-τάσσω: to arrange, appoint, 6
εἰρωτάω: ask, inquire, question (**ἐρωτάω**) 4
ἐκ-βαίνω: to step out; come to pass, turn out, 5
ἐλάχιστος, -η, -ον: the smallest, least, 7
ἐντός: within, inside, 12
ἐξ-οπλίζω: to arm completely, 1
ἐπ-ειρωτάω: inquire of, question, consult, 4
ἐπι-βάτης, -ου ὁ: soldier (on board a ship) 8
ἐπι-θυμέω: to desire, long for, 4
ἑσπέρη, ἡ: evening, eve; west, 10
ἔσχατος, -η, -ον: extreme, last, furthest, 14
ἕως: until, as long as, 6
ἡδύς, -εῖα, ύ: sweet, pleasant, agreeable, 2
ἵζω: to make sit, place, 8
κατ-έλκω: to draw down, drag down, 1
κότερος, -α, -ον: which of two? whether? 2
λοιπός, -ή, -όν: remaining, the rest, 15
μέντοι: however, nevertheless; certainly, 13
μετ-εκ-βαίνω: to move, change place, 2
μετ-ωπηδόν: with front foremost; in line, 1
μετα-πέμπω: to send after or for, summon, 3
ναυ-αρχός, ὁ: admiral, sea-captain, 2
ὁκοῖος, -η, -ον: of what sort or kind, 1
παρα-πλέω: to sail by or past, 2
πλέθρον, τό: a plethron (=100 feet), 2
πρῷρη, ἡ: prow, 9
Σιδώνιος, -η, -ον: Sidonian, of Sidon, 6
σκηνή, ἡ: tent, canapy, 3
συλ-λέγω: to collect, gather, 10
συστρατεύω: to (join/share in a) campaign, 7
τέσσερες, -α: four, 12
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
ὑπο-λαμβάνω: to take up, reply; suppose, 3
ὑπο-μένω: to await, remain; withstand, 9
φράζω: to point out, tell, indicate, 16
χρύσεος, -η, -ον: golden, 15

---

1 **ἐς τοσόνδε**: *to such an extent*; 'to so many'
εἴρηται: pf. pass. λέγω (stem ερ)
2 **ἠριθμήθη**: 3rd sg. aor. pass. ἀριθμέω
διετάχθη: 3rd sg. aor. pass. δια-τάσσω
3 **διεξελάσας**: fem. pl. aor. pple διεξ-ελαύνω
παρὰ: alongside, beside; + neuter acc. sg.
6 **τῆς ἵππου**: *cavalry*; note the gender
ὡς: *when*
7 **ἐπεποίητο**: 3rd sg. plpf. pass. ποιέω + dat. agent and neuter pl. subject
κατελκυσθεισέων: gen. abs., aor. pass. pple; they pull ships beached to dry into the water
μετεκβάς: nom. sg. aor. pple μετ-εκ-βαίνω
10 **ὁμοίως**: *similarly as, in a same way as*
11 **ἀναγαγόντες**: nom. pl. aor. pple ἀν-άγω
ὅσον τε τέσσερα πλέθρα: *as far as four plethera*; acc. extent of space
ἀνεκώχευον: *held in a line*
ὡς ἐς πόλεμον: *as for war*
14 **ἐντὸς…πρωρέων…αἰγιαλοῦ**: *between…*
πλέων: nom. sg. pple πλέω, i.e. Xerxes
15 **ἐθηεῖτο**: impf. θηέομαι (Att. θεάομαι)
16 **ἐξέβη**: 3rd sg. aor. ἐκβαίνω
18 **εἴρετο**: impf. εἴρομαι (Att. ἔρομαι)
Δημάρητε: vocative, direct address
19 **μοι…ἐστὶ**: dat. of possession
ἡδύ τι: *a pleasure*; 'something pleasant'
εἱρέσθαι: pres. inf. εἴρομαι (Att. ἔρομαι)
τὰ: *which…*; relative (ἐ)θέλω
εἷς: unaspirated, 2nd sg. pres. εἰμί (Att. εἶ)
20 **σεῦ τε καὶ**: *from you…*; gen. of source
21 **ἐς λόγους**: *in(to) conversation*
πόλιος: *your city (being)…*; gen. abs. (gen. subj. and gen. pred.) add linking verb
22 **φράσον**: aor. imperative φράζω
24 **πρὸς ἑσπέρης** directional, not temporal
25 **συλλεχθείησαν**: *should be gathered*; aor. opt. pass. συλλέγω in the protasis of a mixed condition
22 **ὑπομεῖναι**: aor. epexegetical (explanatory) inf. ὑπομένω with ἀξιόμαχοι
26 **μὴ ἐόντες**: *unless being united*; conditional pple equivalent to εἰ μὴ εἴησαν (opt).
27 **τὸ…ὁκοῖον**: *the (answer)…(namely) what*
28 **εἰρώτα**: εἰρώταε, 3rd sg. impf. εἰρωτάω

θείῃ χρήσωμαι πρὸς σὲ ἢ ἡδονῇ;' ὁ δέ μιν ἀληθείῃ χρήσασθαι ἐκέλευε, φὰς οὐδέν οἱ ἀηδέστερον ἔσεσθαι ἢ πρότερον
102 ἦν. ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε. 'βασιλεῦ, ἐπειδὴ ἀληθείῃ διαχρήσασθαι πάντως κελεύεις ταῦτα λέγοντα τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφος ἐστί, ἀρετὴ δὲ ἔπακτος ἐστί, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεωμένη ἡ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν
2 δεσποσύνην. αἰνέω μέν νυν πάντας Ἕλληνας τοὺς περὶ ἐκείνους τοὺς Δωρικοὺς χώρους οἰκημένους, ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε τοὺς λόγους ἀλλὰ περὶ Λακεδαιμονίων μούνων, πρῶτα μὲν ὅτι οὐκ ἔστι ὅκως κοτὲ σοὺς δέξονται λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι, αὖτις δὲ ὡς ἀντιώσονταί τοι ἐς μάχην καὶ ἢν οἱ ἄλλοι Ἕλληνες
3 πάντες τὰ σὰ φρονέωσι. ἀριθμοῦ δὲ πέρι, μή πύθῃ ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τε εἰσί· ἤν τε γὰρ τύχωσι ἐξεστρατευμένοι χίλιοι, οὗτοι μαχήσονταί τοι, ἤν τε ἐλάσ-
103 σονες τούτων ἤν τε καὶ πλεῦνες.' ταῦτα ἀκούσας Ξέρξης γελάσας ἔφη 'Δημάρητε, οἷον ἐφθέγξαο ἔπος, ἄνδρας χιλίους στρατιῇ τοσῇδε μαχήσεσθαι. ἄγε εἰπέ μοι· σὺ φὴς τούτων τῶν ἀνδρῶν βασιλεὺς αὐτὸς γενέσθαι· σὺ ὦν ἐθελήσεις αὐτίκα μάλα πρὸς ἄνδρας δέκα μάχεσθαι; καίτοι εἰ τὸ πολιτικὸν ὑμῖν πᾶν ἐστι τοιοῦτον οἷον σὺ διαιρέεις, σέ γε τὸν κείνων βασιλέα πρέπει πρὸς τὸ διπλήσιον ἀντιτάσ-
2 σεσθαι κατὰ νόμους τοὺς ὑμετέρους. εἰ γὰρ κείνων ἕκαστος δέκα ἀνδρῶν τῆς στρατιῆς τῆς ἐμῆς ἀντάξιος ἐστί, σὲ δέ γε

ἀ-ηδης, -ες: unpleasant, distastful, 1
αἰεί: always, forever, in every case, 17
αἰνέω: to praise, commend, 10
ἀλήθειη, ἡ: truth, 7
ἀντ-άξιος, -α, -ον: worth as much as (gen.), 2
ἀντιόομαι: to resist, oppose (+ dat.) 6
ἀντι-τάσσω: to set opposite or against, 1
ἀπ-αμύνω: to ward off, keep away, 3
ἀρετή, ἡ: excellence, goodness, virtue, 15
ἀριθμός, ὁ: number, amount, quantity, 17
αὐτίκα: straightway, at once; presently, 11
αὖτις: back again, later, 8
γελάω: to laugh, 5
δέκομαι: to receive, accept, take, 10
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δι-αιρέω: to divide, define, distinguish, 6
δια-χράομαι: use constantly; destroy (dat) 5
δι-πλήσιος, -η, -ον:: twofold, double, 3
δουλοσύνη, ἡ: slavery, captivity, subjection, 4
Δωρικός, -ή, -όν: Doric, 5
ἐκ-στρατεύω: to march out, 1
ἐπ-ακτός, -ον: brought in, imposed, 1
ἐπειδή: when, after, since, because, 10
ἡδονή, ἡ: pleasure, enjoyment, delight, 3
ἰσχυρός, -ά, -όν: strong, powerful; severe, 3
καί-τοι: and yet, and indeed, and further 6
κατ-εργάζομαι: to make, achieve; overcome 7
πάντως: altogether, by all means, certainly, 7
πενίη, ἡ: poverty, need, 2
πολιτικόν, τό: the citizenry, the state, 1
πρέπω: to be fitting, conspicuous, 1
σοφίη, ἡ: wisdom, skill, judgment, 6
σύν-τροφος, -ον: brought up with, natural to 1
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
ὑμέτερος, -α, -ον: your, yours, 2
φθέγγομαι: to utter a sound or voice, 1
φρονέω: to think, to be wise, prudent, 7
ψεύδομαι: to lie, cheat, beguile, 4

---

1 **χρήσωμαι**: *am I to employ*; aor. deliberative subjunctive χράομαι
κότερα ἀληθείῃ…ἢ ἡδονῇ: *truth…or pleasure*; untranslated κότερα anticipates ἤ
2 **φὰς**: nom. sg. pple φημί
οὐδέν: *that nothing*; subject of fut. inf. εἰμί
οἱ: dat. sg. 3rd person pronoun
πρότερον: *previously*; adverbial acc.
5 **τὰ**: *which…*; relative pronoun
μὴ ψευδόμενός…ἁλώσεται: *one will not be proven to speak falsely*; μὴ is used with the fut. ἁλίσκομαι as if it were a result clause
6 **τῇ Ἑλλάδι**: dat. with pred. adj. σύντροφός
7 **ἀπό**: *from…*; gen. source
κατεργασμένη: *achieved*; 'achieved by toil,' pf. pass. pple. κατεργάζομαι,
8 **τῇ**: *which*; antecedent ἀρετὴ
10 **ἔρχομαι δὲ λέξων οὐ**: *I am not going to say*; periphrastic future; fut. pple, λέγω
12 **πρῶτα μὲν ὅτι…αὖτις δὲ ὡς**: *(I say) first that…and again that*
οὐκ ἔστι ὅκως: *it is not possible that*; + fut.
σοὺς: *your*; acc. pl. σός
13 **δέξονται**: fut. δέκομαι
14 **ἀντιώσονται**: fut.
καὶ ἤν: *even if….*, ἤν (ἐὰν) + subj. as protasis in a future more vivid condition
15 **τὰ σὰ φρονέωσι**: *consider your affairs*; i.e. side with Xerxes; inner accusative
ἀριμοῦ δὲ πέρι: *concerning their number*
μή πύθῃ: *do not ask*; prohibitive aor. subj. (neg. imperative) 2nd sg. mid. πυνθάνομαι
ὅσοι τινὲς ἐόντες: *how many these are (who)…*; 'being how many, these…'
16 **οἷοί τε εἰσί**: *are able*; οἷός τε + εἰμί
ἤν…τύχωσι…μαχήσονται: future more vivid condition (ἐὰν + subj., fut.)
τύχωσι: *happen to*; + pple; aor. subj.
17 **ἤν τε…ἤν τε**: *whether….or*; 'if…or'
19 **οἷον…ἔπος** *what word*; i.e. what a strange thing! introduces exclamation
ἐφθέγξα(σ)ο: 2nd sg. aor. φθέγγομαι
ἄνδρας: *(namely) that…*; acc. + inf. follows in apposition to ἔπος
20 **στρατιῇ τοσῇδε**: *with…*; i.e. against; dat. of association (accompaniment)
ἄγε: *come now*; introduces an imperative
εἰπέ: aor. imperative εἶπον
22 **πρὸς**: *against*
23 **τὸ πολιτκὸν**: *the citizenry*
ὑμῖν: *for you*; dat. of possession
τοιοῦτον οἷον: *such…as*; 'the sort that'
24 **πρέπει**: *it is fitting that*; acc. + inf.
πρὸς διπλήσιον: *against double as many*; i.e. Demaratus as king must be able to face twice as many Persians
25 **κατὰ**: *according to…*
κείνων: *of those (Spartans)*; partitive

δίζημαι εἴκοσι εἶναι ἀντάξιον, καὶ οὕτω μὲν ὀρθοῖτ᾽ ἂν ὁ λόγος ὁ παρὰ σέο εἰρημενος· εἰ δὲ τοιοῦτοί τε ἐόντες καὶ μεγάθεα τοσοῦτοι, ὅσοι σύ τε καὶ οἳ παρ᾽ ἐμὲ φοιτῶσι Ἑλλήνων ἐς λόγους, αὐχέετε τοσοῦτον, ὅρα μὴ μάτην κόμ-
3 πος ὁ λόγος οὗτος εἰρημένος ᾖ. ἐπεὶ φέρε ἴδω παντὶ τῷ οἰκότι· κῶς ἂν δυναίατο χίλιοι ἢ καὶ μύριοι ἢ καὶ πεντακισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως καὶ μὴ ὑπ᾽ ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντιστῆναι; ἐπεί τοι πλεῦνες περὶ ἕνα ἕκαστον γινόμεθα ἢ χίλιοι, ἐόντων ἐκείνων πέντε
4 χιλιάδων. ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέτερον γενοίατ᾽ ἄν, δειμαίνοντες τοῦτον, καὶ παρὰ τὴν ἑωυτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζόμενοι μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες· ἀνειμένοι δὲ ἐς τὸ ἐλεύθερον οὐκ ἂν ποιέοιεν τούτων οὐδέτερα. δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλήθεϊ χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μού-
5 νοισι μάχεσθαι. ἀλλὰ παρ᾽ ἡμῖν [μὲν μούνοισι] τοῦτο ἐστὶ τὸ σὺ λέγεις, ἔστι γε μὲν οὐ πολλὸν ἀλλὰ σπάνιον· εἰσὶ γὰρ Περσέων τῶν ἐμῶν αἰχμοφόρων οἳ ἐθελήσουσι Ἑλλήνων ἀνδράσι τρισὶ ὁμοῦ μάχεσθαι· τῶν σὺ ἐὼν
104 ἄπειρος πολλὰ φλυηρέεις.᾽ πρὸς ταῦτα Δημάρητος λέγει Ὦ βασιλεῦ, ἀρχῆθεν ἠπιστάμην ὅτι ἀληθείῃ χρεώμενος οὐ φίλα τοι ἐρέω. σὺ δ᾽ ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων
2 τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι. καίτοι ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι

αἰχμοφόρος, ὁ: bodyguard, spearman, 4
ἀλήθειη, ἡ: truth, 7
ἀληθής, -ές: true, 7
ἀμείνων, -ον: better, nobler, braver, 12
ἀναγκάζω: to force, compel, require, 15
ἀν-ισόω: to make equal to, equalise (dat) 1
ἀντ-άξιος, -α, -ον: worth as much as (gen.), 2
ἀντ-ίστημι: to stand or set against, resist, 2
ἀπ-αιρέω: to take away from, remove, 2
ἄ-πειρος, -ον: ignorant, inexperienced, 2
ἀρχῆ-θεν: from the beginning, 1
αὐχέω: to boast, declare loudly, 1
γέρας, ὁ: a gift of honor, 5
δειμαίνω: to be afraid, in a fright, 1
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δίζημαι: to look for, search, 4
δύναμαι: to be able, can, be capable, 13
ἐξ-επίσταμαι: to know thoroughly, 5
ἐλεύθερος, -η, -ον: free, 14
ἔγωγε: I (for my part), 4
ἡμέτερος, -α, -ον: our, 12
καί-τοι: and yet, and indeed, and further 6
κατ-ήκω: to have come down; be fitting, 6
κόμπος, ὁ: noise, din, crashing, 3
κῶς: how? in what way? (Att. **πῶς**) 2
μάστιξ, -ιγος, ἡ: a whip, lash, 7
μάτην: in vain, idlely, 2
μέγαθος, τό: size, magnitude, size, height, 8
ὁμοῦ: at the same place, together, 18
ὀρθόω: to set straight, set upright, 4
οὐδ-έτερος, -η, -ον: neither of the two, 3
πεντα-κισ-μύριοι: 5 time 10,000 (=50,000), 1
πέντε: five, 8
σπάνιος, -η, -ον: scarce, rare, seldom, 2
Σπαρτιήτης, ὁ: a Spartan, 19
στέργω: to love, feel affection; be content, 3
τιμή, ἡ: honor; state offices, 16
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
φίλος, -η, -ον: dear, beloved; *subst*. friend, 15
φλυηρέω: to talk nonsense, play the fool, 2
φοιτάω: to go to and fro, visit, 6
φύσις, -εως ὁ: nature, property, quality 3
χαλεπός, -ά, -όν: difficult, hard, harmful, 1
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14

---

1 **εἴκοσι**: *for twenty*; governed by ἀντάξιον
ὀρθοῖτο ἄν: *would be correct*; potential opt.
2 **ὁ…εἰρημενος**: pf. pple λέγω (ἐρ)
παρὰ σέο: *by you*; 'from you'
3 **μεγάθεα τοσοῦτοι, ὅσοι**: *so great in size as…*; correlatives, acc. of respect
σύ τε καὶ οἵ…τοσοῦτον: *both you and those (who) among the Greeks come to me in conversation, boast so much*; τοσοῦτον is an inner acc. of the imperative; Xerxes notes that Greeks are short in stature
4 **ὅρα…μὴ…ᾖ**: *see (to it) that…not be*; sg. imperative introduces a negative clause of effort with 3rd sg. subj. εἰμί
5 **ἐπεὶ**: *(I say this) since…*
φέρε: *come now*; introducing a command
ἴδω: *Let me look (upon this)*; 1st sg. aor. jussive subj. εἶδον
παντὶ τῷ οἰκότι: *with all reasonableness*;
6 **ἂν δυναίατο**: *would be able*; 3rd pl aor. potential opt. δύναμαι (-ντο → -ατο)
7 **ἐόντες…ἀρχόμενοι**: *if being…and being ruled*; conditional participles use μὴ not οὐ
ὑπ' ἑνὸς: *by one*; gen. of agent
8 **ἀντιστῆναι**: complementary aor. inf. ἀντ-ίστημι governed by δυναίατο
ἐπεὶ: *(I say this) since…*
τοι: *you know*; the particle, not pronoun
πλεῦνες…χίλιοι: *we turn out (to be) more than 1000 over each one (of the Greeks)*; the comparative adj. is predicate (πλέονες)
9 **ἐόντων…χιλιάδων**: *even if…*; gen. abs. is conditional in force
10 **κατὰ**: *according to our custom*; 'manner'
11 **γενοίατο ἄν**: *would become*; ἄν + aor. potential opt. ἀμείνονες is the pred adj.
παρὰ: *contrary to…*; i.e. better than
12 **ἴοιεν (ἄν)**: *they would go*; missing ἄν + 3rd pl. pres. potential opt. ἔρχομαι
ἐς: *against*; + acc.
13 **ἐλάσσονες**: *inferior men*; i.e. enemies
ἀνειμένοι: *having been let go*; pf. ἀν-ίημι
ἐς τὸ ἐλεύθερον: *to freedom*; 'to the free'
14 **οὐκ…οὐδέτερα**: *not…either one*
15 **ἀνισωθέντας** aor. pass. pple. ἀν-ισόω
ἂν…μάχεσθαι: *would fight*; equivalent to potential opt. in direct speech
16 **παρ' ἡμῖν**: *among us*; 'on our side'
19 **ἀνδράσι τρισὶ**: *with 3 Greeks*; association
20 **τῶν**: *of these things*; modifies ἄπειρος
φίλα…ἐρέω: *I would say unfriendly things*
23 **κατήκοντα**: *how things stand*; 'becoming'
24 **ἐστοργὼς**: *happen to love*; pf. στέργω
25 **ἀπελόμενοι**: aor. mid. pple ἀπ-αιρέω

πατρώια ἄπολίν τε καὶ φυγάδα πεποιήκασι, πατὴρ δὲ <ὁ> σὸς ὑποδεξάμενος βίον τέ μοι καὶ οἶκον ἔδωκε. οὐκ ὦν οἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὐνοίην φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα. ἐγὼ δὲ οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι οὔτε δυοῖσι, ἑκών τε εἶναι οὐδ᾽ ἂν μουνομαχέοιμι. εἰ δὲ ἀναγκαίη εἴη ἢ μέγας τις ὁ ἐποτρύνων ἀγών, μαχοίμην ἂν πάντων ἥδιστα ἑνὶ τούτων τῶν ἀνδρῶν οἳ Ἑλλήνων ἕκαστος φησὶ τριῶν ἄξιος εἶναι. ὡς δὲ καὶ Λακεδαιμόνιοι κατὰ μὲν ἕνα μαχόμενοι οὐδαμῶν εἰσι κακίονες ἀνδρῶν, ἁλέες δὲ ἄριστοι ἀνδρῶν ἁπάντων. ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροι εἰσί· ἔπεστι γάρ σφι δεσπότης νόμος, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον ἢ οἱ σοὶ σέ. ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τὠυτὸ αἰεί, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι. σοὶ δὲ εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα σιγᾶν θέλω τὸ λοιπόν· νῦν τε ἀναγκασθεὶς ἔλεξα. γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ᾽

105 ὁ μὲν δὴ ταῦτα ἀμείψατο, Ξέρξης δὲ ἐς γέλωτά τε ἔτρεψε καὶ οὐκ ἐποιήσατο ὀργὴν οὐδεμίαν, ἀλλ᾽ ἠπίως αὐτὸν ἀπεπέμψατο. τούτῳ δὲ ἐς λόγους ἐλθὼν Ξέρξης, καὶ ὕπαρχον ἐν τῷ Δορίσκῳ τούτῳ καταστήσας Μασκάμην τὸν Μεγαδόστεω, τὸν δὲ ὑπὸ Δαρείου σταθέντα καταπαύσας, ἐξήλαυνε τὸν στρατὸν διὰ τῆς Θρηίκης ἐπὶ τὴν Ἑλλάδα.
106 κατέλιπε δὲ ἄνδρα τοιόνδε Μασκάμην γενόμενον, τῷ μούνῳ Ξέρξης δῶρα πέμπεσκε ὡς ἀριστεύοντι πάντων ὅσους αὐτὸς

ἀγών, ὁ: competition, struggle; assembly 2
αἰεί: always, forever, in every case, 17
ἁλής, -ές: all together, all at once, 13
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀναγκάζω: to force, compel, require, 15
ἄνωγα: to command, order, bid, 3
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἄ-πολις, -ι: citiless, without a city, 4
ἀριστεύω: to be the best, noble, 3
γέλως, ὁ: laughter, 4
γῶν: γε ὦν at any rate, at least, (Att. γοῦν) 1
δεσπότης, ὁ: master, lord, 11
δι-ωθέω: to push away, reject, 1
δῶρόν, τό: a gift, present, 5
Δωρικός, -ή, -όν: Doric, 5
ἑκών, ἑκοῦσα, ἑκόν: willing, intentionally, 4
ἐλεύθερος, -η, -ον: free, 14
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐπι-κρατέω: to rule over, overpower, 7
ἐπ-οτρύνω: to urge on, stir up, excite, 3
εὔ-νοιη, ἡ: good-will, kindness, favor, 2
ἡδύς, -ῖα, ύ: sweet, pleasant, agreeable, 2
ἤπιος, -η, -ον: mild, kind, gentle, 3
Θρήικη, ἡ: Thrace, 6
ἵστημι: to make stand ; set up, stop, 18
κατα-λείπω: to leave behind, 9
κατα-παύω: to put an end, cease from, quell 2
κατ-ίστημι: set down; appoint, establish, 18
λοιπός, -ή, -όν: remaining, the rest, 15
Μασκάμης, -εω, ὁ: Mascames (male) 2
μέντοι: however, nevertheless; certainly, 13
Μεγαδοστης, -εω, ὁ: Megadostes, 1
μουνο-μαχέω: to fight in single combat, 1
νόος, ὁ: mind, perception, heart, 5
ὀργή, ἡ: anger; temperment, 2
πατήρ, ὁ: a father, 18
πατρῷος, -η, -ον: of one's father, inherited, 2
σιγάω: to be silent, be quiet 1
στέργω: to love, feel affection; be content, 3
σώφρων, -ον: prudent, temperate, sound, 1
τάξις, ιος ἡ: placement, ordering, 5
τοιόσδε, -άδε, -όνδε: such, 21
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
ὕπ-αρχος, ὁ: commander (under another), 12
ὑπ-ίσχομαι: to promise, engage in, 2
ὑπο-δειμαίνω: to fear secretly or slightly, 1
ὑπο-δέκομαι: receive, undertake, promise, 6
φεύγω: to flee, escape; 18
φλυηρέω: to talk nonsense, play the fool, 2
φυγάς, -άδος, ὁ: fugitive, exile, 1

---

1 **πατρώια**: neut. acc. modifies γέρεα
πεποιήκασι: pf. ποιέω governs double acc.
2 **ὑποδεξάμενος**: aor. mid. pple ὑποδέκομαι
ἔδωκε: 3rd pl. aor. δίδωμι
3 **οἰκός ἐστι**: *it is reasonable*; Att. ἐοικός
εὐνοίην φαινομένη: *goodwill (when) it*
4 **ἀνδράσι…δυοῖσι**: *with…*; dat. association
5 **οἷός τε εἶναι**: *to be able*; 'to be the sort to' common idiom, οἷος τε + εἰμί
ἑκών τε εἶναι: *willingly*; common absolute infinitive: 'as far as the will is concerned'
6 **ἂν μουνομαχέοιμι**: *I would…*; potential opt.
εἰ…εἴη, μαχοίμην ἂν: *should be, would fight*; fut. less vivid (εἰ opt., ἄν opt.)
7 **ἀγών**: *there should be…contest*; supply εἴη
ἥδιστα: superlative adverb, ἡδύς
8 **οἳ**: *who..*
φησί: 3rd sg. pres. φημί
9 **ὡς δὲ καὶ**: *so also…*
κατὰ ἕνα: *one against one*; 'by one'
οὐδαμῶν: *than…*; gen. of comparison
10 **κακίονες**: comparative adj.
ἁλέες: *together (they are)*; add εἰσί
11 **πάντα**: *in…*; acc. of respect
12 **σφι**: *over them*; dat. with compound ἔπειμι
τὸν: *which*
πολλῷ: *much*; dat. degree of difference
13 **οἱ σοὶ σέ**: *your (Persians fear) you*;
τὰ ἂν…ἀνώγῃ: *whatever…*; ἄν + 3rd sg. subj. in a general relative clause
τὠυτὸ: *the same*; Att. ταὐτὸ = τὸ αὐτὸ
14 **ἐῶν**: pple ἐάω; constrast accent on ἐῶν
15 **ἐπικρατέειν, ἀπόλλυσθαι**: inf. of purpose
τἆλλα: τὰ ἄλλα; acc. of respect
σιγᾶν: inf. σιγάω
17 **τὸ λοιπόν**: *for the future*; acc. duration
17 **ἀναγκασθεὶς**: aor. pass. pple. ἀναγκάζω
γένοιτο: *may it…*; opt. of wish
18 **κατὰ**: *according to*
20 **ἐποιήσατο ὀργὴν**:: *he became angry*; periphrastic form aor. ὀργίζω
21 **ἐς…ἐλθὼν**: *after coming into conversation*
22 **καταστήσας**: *appointing* (acc) (acc); aor.
23 **τὸν…σταθέντα**: *the (commander) put in place…*;aor. pass. pple ἵστημι
25 **τῷ**: *to whom*
26 **πέμπεσκε**: *used to send*; iterative impf. -σκ
ὡς ἀριστεύοντι: *since he…*; ὡς causal

κατέστησε ἢ Δαρεῖος ὑπάρχους, πέμπεσκε δὲ ἀνὰ πᾶν ἔτος· ὡς δὲ καὶ Ἀρτοξέρξης ὁ Ξέρξεω τοῖσι Μασκαμείοισι ἐκγόνοισι. κατέστασαν γὰρ ἔτι πρότερον ταύτης τῆς ἐλάσιος ὕπαρχοι ἐν τῇ Θρηίκῃ καὶ τοῦ Ἑλλησπόντου παν-
2 ταχῇ. οὗτοι ὦν πάντες οἵ τε ἐκ Θρηίκης καὶ τοῦ Ἑλλησπόντου, πλὴν τοῦ ἐν Δορίσκῳ, ὑπὸ Ἑλλήνων ὕστερον ταύτης τῆς στρατηλασίης ἐξαιρέθησαν· τὸν δὲ ἐν Δορίσκῳ [Μασκάμην] οὐδαμοί κω ἐδυνάσθησαν ἐξελεῖν πολλῶν πειρησαμένων. διὰ τοῦτο δή οἱ τὰ δῶρα πέμπεται παρὰ
107 τοῦ βασιλεύοντος αἰεὶ ἐν Πέρσῃσι. τῶν δὲ ἐξαιρεθέντων ὑπὸ Ἑλλήνων οὐδένα βασιλεὺς Ξέρξης ἐνόμισε εἶναι ἄνδρα ἀγαθὸν εἰ μὴ Βόγην μοῦνον τὸν ἐξ Ἠιόνος, τοῦτον δὲ αἰνέων οὐκ ἐπαύετο, καὶ τοὺς περιεόντας αὐτοῦ ἐν Πέρσῃσι παῖδας ἐτίμα μάλιστα, ἐπεὶ καὶ ἄξιος ἐπαίνου μεγάλου ἐγένετο Βόγης· ὃς ἐπειδὴ ἐπολιορκέετο ὑπὸ Ἀθηναίων καὶ Κίμωνος τοῦ Μιλτιάδεω, παρεὸν αὐτῷ ὑπόσπονδον ἐξελθεῖν καὶ νοστῆσαι ἐς τὴν Ἀσίην, οὐκ ἠθέλησε, μὴ δειλίῃ δόξειε
2 περιεῖναι βασιλέϊ, ἀλλὰ διεκαρτέρεε ἐς τὸ ἔσχατον. ὡς δ᾽ οὐδὲν ἔτι φορβῆς ἐνῆν ἐν τῷ τείχεϊ, συννήσας πυρὴν μεγάλην ἔσφαξε τὰ τέκνα καὶ τὴν γυναῖκα καὶ τὰς παλλακὰς καὶ τοὺς οἰκέτας καὶ ἔπειτα ἐσέβαλε ἐς τὸ πῦρ, μετὰ δὲ ταῦτα τὸν χρυσὸν ἅπαντα τὸν ἐκ τοῦ ἄστεος καὶ τὸν ἄργυρον ἔσπειρε ἀπὸ τοῦ τείχεος ἐς τὸν Στρυμόνα, ποιήσας δὲ ταῦτα ἑωυτὸν ἐσέβαλε ἐς τὸ πῦρ. οὕτω μὲν οὗτος δικαίως
108 αἰνέεται ἔτι καὶ ἐς τόδε ὑπὸ Περσέων. Ξέρξης δὲ ἐκ τοῦ Δορίσκου ἐπορεύετο ἐπὶ τὴν Ἑλλάδα, τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρατεύεσθαι ἠνάγκαζε· ἐδεδούλωτο γάρ, ὡς καὶ πρότερόν μοι δεδήλωται, ἡ μέχρι Θεσσαλίης πᾶσα

αἰεί: always, forever, in every case, 17
αἰνέω: to praise, commend, 10
αἶνος, ὁ: praise, 1
ἀναγκάζω: to force, compel, require, 15
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἄργυρος, ὁ: silver, 1
Ἀρτοξέρξης, ὁ: Artaxerxes (male), 2
Ἀσίη, ἡ: Asia, 17
ἄστυ, τὸ: a city, town, 15
βασιλεύω: to rule, be king, reign, 9
Βόγης, ὁ: Boges (male), 3
δειλίη, ἡ: cowardice, 2
δηλόω: to make clear, show, reveal, 2
δια-καρτερέω: endure through (to the end) 1
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
δουλόω: to make a slave, enslave, 12
δύναμαι: to be able, can, be capable, 13
δῶρόν, τό: a gift, present, 5
Δωρικός, -ή, -όν: Doric, 5
ἔκ-γονος, -ον: offspring, descendant, 1
ἔλασις, -ιος, ἡ: march, expedition, drive, 6
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐμ-ποδών: in the way, in one's path, 9
ἔν-ειμι: be in, on, among, 3
ἐξ-αιρέω: to take out, remove, leave out, 8
ἐξ-έρχομαι: to go out, come out, 3
ἐπαίνος, ὁ: praise, approval, 1
ἐπειδή: when, after, since, because, 10
ἔπειτα: thereupon, then, 8
ἐσ-βάλλω: throw or put into; put on board 11
ἔσχατος, -η, -ον: extreme, last, furthest, 14
Ἠιών, -όνος, ἡ: Eion (town), 3
Θεσσαλίη, ἡ: Thessaly, 19
Θρηίκη, ἡ: Thrace, 6
κατ-ίστημι: set down; appoint, establish, 18
Κίμων, -ωνος, ὁ: Cimon, 1
Μασκαμείος, -η, -ον: of Mascames (male), 1
Μασκάμης, -εω, ὁ: Mascames (male) 2
μέχρι: up to; until, as long as (+ gen.), 16
Μιλτιάδης, -εω, ὁ: Miltiades, 1
νομίζω: believe, consider; be accustomed, 16
νοστέω: return, come back, 7
οἰκέτης, -ου, ὁ: a house-slave, menial, 3
παλλακή, ἡ: concubine, 3
περί-ειμι: to survive; surpass, be superior, 11
πολιορκέω: to besiege, hem in a city, 4
πῦρ, -ος, τό: fire, 6
πυρή, ἡ: fire, pyre, funeral pyre, 2
σπείρω: to scatter, strew; sow, plant, 1
στρατ-ηλασίη, ἡ: expedition, march, 6
Στρυμών, -ονος ὁ: Strymon river, 6
συν-νέω: to heap up, pile up, 1
συστρατεύω: to (join/share in a) campaign, 7
σφάζω: to slay, slaughter, kill, 3
τέκνον, τό: a child, 9
τιμάω: to honour, value, esteem, 19
ὑπ-αρχος, ὁ: commander (under another), 12
ὑπο-σπονδος, -ον: under treaty, bound, 1
φορβή, ἡ: food; fodder, forage, 3
χρυσός, ὁ: gold, 5

---

1 **κατέστησε ἢ Δαρεῖος**: *he himself or Darius appointed as commanders*
πέμπεσκε: *used to send*; iterative impf. σκ
ἀνὰ πᾶν ἔτος: *every year*; 'through…year'
2 **ὡς**: *so also…used to send*; add πέμπεσκε
3 **κατέστασαν**: *were appointed*; 'stood'
ταύτης…ἐλάσιος: *than…*; gen. comparison
4 **ὕπαρχοι**: *commanders*; or 'governors'
6 **ὕστερον**: *later*; comparative adverb
7 **στρατηλασίης**: *than…*; gen. comparison
ἐξαιρέθησαν: 3rd pl. aor. pass. ἐξ-αιρέω
8 **ἐδυνάσθησαν**: 3rd pl. aor. dep. pass δύναμαι
ἐξελεῖν: aor. inf. ἐξ-αιρέω
πολλῶν περησαμένων: concessive gen abs.
9 **διὰ τοῦτο δή**: *for exactly this reason*
οἱ: *to him*; i.e. even to Mascames
πέμπεται: pres. pass. with neut. pl. subject
παρὰ…βασιλεύοντος: *from the kings*
10 **τῶν ἐξαιεθέντων**: *of those…*; partitive gen., aor. pass. pple ἐξ-αιρέω
11 **οὐδένα**: acc. subject of εἶναι, inf. of εἰμί
12 **εἰ μὴ**: *except*
13 **αἰνέων**: complementary pple of παύω
τοὺς περιεόντας αὐτοῦ: *surviving him*; i.e. those living after his death; περί-ειμι
14 **ἐτίμα**: ἐτίμαε, impf. α-contract τιμάω
ὅς ἐπειδὴ: *when he…*
16 **παρεὸν…ἐξελθειν καὶ νοστῆσαι**: *though it being available to him…*; acc. abs πάρειμι
17 **μὴ…δόξειε**: *so that he not seem*; neg. purpose clause; opt. in secondary sequence
δειλίῃ: *because of…*; dat. of cause
18 **βασιλέϊ**: dat. of reference
19 **φορβῆς**: partitive gen. with οὐδὲν
20 **ἐνῆν**: 3rd sg. impf. ἔν-ειμι
25 **ἐς τόδε**: *to this (time)*; 'to this day'
27 **ἐδεδούλωτο**: plpf. pass. δουλόω
28 **δεδήλωται**: *has been shown*; + dat. agent

καὶ ἦν ὑπὸ βασιλέα δασμοφόρος, Μεγαβάζου τε καταστρε-
ψαμένου καὶ ὕστερον Μαρδονίου. παραμείβετο δὲ πορευό-
μενος ἐκ Δορίσκου πρῶτα μὲν τὰ Σαμοθρηίκια τείχεα, τῶν
ἐσχάτη πεπόλισται πρὸς ἑσπέρης πόλις τῇ οὔνομα ἐστὶ
Μεσαμβρίη. ἔχεται δὲ ταύτης Θασίων πόλις Στρύμη, διὰ
δὲ σφέων τοῦ μέσου Λίσος ποταμὸς διαρρέει, ὃς τότε οὐκ
ἀντέσχε τὸ ὕδωρ παρέχων τῷ Ξέρξεω στρατῷ ἀλλ᾽ ἐπέλιπε.
ἡ δὲ χώρη αὕτη πάλαι μὲν ἐκαλέετο Γαλλαϊκή, νῦν δὲ
Βριαντική· ἔστι μέντοι τῷ δικαιοτάτῳ τῶν λόγων καί αὕτη
109 Κικόνων. διαβὰς δὲ τοῦ Λίσου ποταμοῦ τὸ ῥέεθρον ἀπεξη-
ρασμένον πόλιας Ἑλληνίδας τάσδε παραμείβετο, Μαρώνειαν
Δίκαιαν Ἄβδηρα. ταύτας τε δὴ παρεξήιε καὶ κατὰ ταύτας
λίμνας ὀνομαστὰς τάσδε, Μαρωνείης μὲν μεταξὺ καὶ Στρύμης
κειμένην Ἰσμαρίδα, κατὰ δὲ Δίκαιαν Βιστονίδα, ἐς τὴν
ποταμοὶ δύο ἐσιεῖσι τὸ ὕδωρ, Τραῦός τε καὶ Κόμψαντος.
κατὰ δὲ Ἄβδηρα λίμνην μὲν οὐδεμίαν ἐοῦσαν ὀνομαστὴν
παραμείψατο Ξέρξης, ποταμὸν δὲ Νέστον ῥέοντα ἐς θάλασ-
σαν. μετὰ δὲ ταύτας τὰς χώρας ἰὼν τὰς ἠπειρώτιδας
πόλις παρήιε, τῶν ἐν μιῇ λίμνη ἐοῦσα τυγχάνει ὡσεὶ τριή-
κοντα σταδίων μάλιστά κῃ τὴν περίοδον, ἰχθυώδης τε καὶ
κάρτα ἁλμυρή· ταύτην τὰ ὑποζύγια μοῦνα ἀρδόμενα ἀνεξή-
ρηνε. τῇ δὲ πόλι ταύτῃ οὔνομα ἐστὶ Πίστυρος. ταύτας
μὲν δὴ τὰς πόλιας τὰς παραθαλασσίας τε καὶ Ἑλληνίδας ἐξ
110 εὐωνύμου χειρὸς ἀπέργων παρεξήιε· ἔθνεα δὲ Θρηίκων δι᾽
ὧν τῆς χώρης ὁδὸν ἐποιέετο τοσάδε, Παῖτοι, Κίκονες, Βί-

Ἄβδηρα, τά: Abdera, 2
ἁλμυρός, -ά, -όν: salt, briny, 2
ἀντ-έχω: hold out against, stop; lay hold of, 5
ἀπ-έργω: keep away, prevent (Att. **εἴργω**) 3
ἀπο-ξηραίνω: to dry up, 1
ἄρδω: to water, 1
Βίστονες, οἱ: Bistones, 1
Βιστονίς, -ίδος, ἡ: Bistonian (fem. adj.), 1
Βριαντικός, -ή, -όν: Briantic (region), 1
Γαλλαϊκός, -ή, -όν: Gallaic (region), 1
δασμο-φόρος, -ον: paying tribute to, 2
Δίκαια, ἡ: Dicaea, 1
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
δια-ρρέω: to flow through, 1
Δορίσκος, ὁ: Doriscus, 6
Ἑλληνίς, -ίδος, ἡ: Greek (fem. adj.), 5
ἐπι-λείπω: to fail, run dry; leave behind, 5
ἐσ-ίημι: to send into, to let in, 1
ἔσχατος, -η, -ον: extreme, last, furthest, 14
ἑσπέρη, ἡ: evening, eve; west, 10
εὐ-ωνύμιος, -ον: of good name; on the left , 2
ἠπειρώτης, ὁ: mainlander, living on land, 3
Θάσιος, -η, -ον: Thasian, 2
Θρῄξ, Θρῃκός, ὁ: Thracian, 5
Ἴσμαρίς, -ίδος, ἡ: Ismarid, 1
ἰχθυ-ώδης, -ες: full of fish, fish-filled 1
κάρτα: very, extremely, strongly, 5
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κεῖμαι: to lie down, 15
κῃ: in some way, somehow, 2
Κίκονες, οἱ: Ciconians, 3
Κόμψαντος, ὁ: Compsantus river, 1
λίμνη, ἡ: pool, marshy lake, basin, 9
Λίσος, ὁ: Lisus river, 2
Μαρδόνιος, ὁ: Mardonius, 9
Μαρώνεια, ἡ: Maronea, 2
Μεγάβαζος, ὁ: Megabazus, 4
μέντοι: however, nevertheless; certainly, 13
Μεσαμβρίη, ἡ: Mesambria, 1
μεταξύ: between, among 12
Νέστος, ὁ: Nestus river, 3
ὀνομαστός, -ή, -όν: notable, well-named, 10
Παῖτοι, οἱ: the Paetians, 1
παρα-θαλάσσιος, -η, -ον: by the sea, 2
παρ-αμείβομαι: to pass by; leave aside, 10
παρ-εξ-έρχομαι: to pass by, go out beside, 9
παρ-έρχομαι: to go by, pass by, pass, 7
περί-οδος, ὁ: circumference, journey around 8
Πίστυρος, ὁ: Pistyrus, 1
πολίζω: to build (a city), found, 3
ῥέεθρον, τό: river, stream, channel, 7
Σαμοθρηικίος, -ή, -όν: Samothracian, 3
Στρύμη, ἡ: Stryme (town), 2
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
Τραῦος, ὁ: Trauvus river, 1
τριήκοντα: thirty, 9
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπο-ζύγιον, τό: yoked beasts, 11
ὡσ-εί: as if, about, 1

---

1 **ἦν**: 3rd sg. impf. εἰμί
Μεγαβάζου καταστρεψαμένου: gen. abs.
3 **τὰ...τείχεα**: *the fortresses*
τῶν ἐσχάτη: *of these fortresses the furthest*
πεπόλισται: pf. pass. πολίζω
4 **πρὸς ἑσπέρης**: directional, not temporal
τῇ: *to whom*; dat. of possession
5 **ἔχεται δὲ ταύτης**: *borders on this*; 'clings to this' or 'touches on this'
διὰ...τοῦ μέσου: *through the middle of them*
7 **ἀντέσχε**: *suffice*; 'hold out,' aor. ἀντ-έχω
ἐπέλιπε: aor. ἐπι-λείπω
9 **τῷ δικαιοτάτῳ τῶν λόγων**: *by the most just of accounts*
αὕτη Κικόνων: *this is the Ciconians' (city)*
10 **διαβὰς**: nom. sg. aor. pple διαβαίνω
ἀπεξηρασμένον: pf. pass. ἀπο-ξηραίνω
πόλιας: *cities*; acc. pl.
11 **Μαρώνειαν**: acc. apposition to πόλιας
παρεξῄιε: 3rd impf. παρ-εξ-έρχομαι
12 **κατὰ**: *through...*
14 **ἐς τὴν**: *into which...*
15 **ἐσιεῖσι**: 3rd pl. pres. ἐσ-ίημι
Τραῦός, Κόμψαντος: appositive ποταμοι
17 **ῥέοντα**: acc. sg. pres. pple. ῥέω
18 **ἰὼν**: nom. sg. pple ἔρχομαι
19 **παρῄιε**: 3rd impf. παρ-έρχομαι
τῶν..μιῇ: *in one of which*; partitve
ἐοῦσα τυγχάνει: *happens to be*; pple εἰμί
20 **τριήκοντα σταδίων**: gen. of measure in the predicate position
20 **τὴν περίοδον**: *in…*; acc. of respect
21 **ἀνεξήρηνε**: aor. ἀπο-ξηραίνω
22 **τῇ δὲ πόλι**: dat. of possession, πόλις
23 **ἐξ**: *from*; English idiom prefers 'on'
24 **παρεξῄιε**: 3rd impf. παρ-εξ-έρχομαι
δι' ὧν τῆς χώρης: *through whose lands*; relative gen. pl., note the aspiration

στονες, Σαπαῖοι, Δερσαῖοι, Ἠδωνοὶ, Σάτραι. τούτων οἱ μὲν παρὰ θάλασσαν κατοικημένοι ἐν τῇσι νηυσὶ εἵποντο· οἱ δὲ αὐτῶν τὴν μεσόγαιαν οἰκέοντες καταλεχθέντες τε ὑπ᾽ ἐμεῦ, πλὴν Σατρέων, οἱ ἄλλοι πάντες πεζῇ ἀναγκαζόμενοι εἵποντο.

111 Σάτραι δὲ οὐδενός κω ἀνθρώπων ὑπήκοοι ἐγένοντο, ὅσον ἡμεῖς ἴδμεν, ἀλλὰ διατελεῦσι τὸ μέχρι ἐμεῦ αἰεὶ ἐόντες ἐλεύθεροι μοῦνοι Θρηίκων· οἰκέουσί τε γὰρ ὄρεα ὑψηλά, ἴδῃσί τε παντοίῃσι καὶ χιόνι συνηρεφέα, καὶ εἰσὶ τὰ πολέμια
2 ἄκροι. οὗτοι οἱ Διονύσου τὸ μαντήιον εἰσὶ ἐκτημένοι· τὸ δὲ μαντήιον τοῦτο ἔστι μὲν ἐπὶ τῶν ὀρέων τῶν ὑψηλοτάτων, Βησσοὶ δὲ τῶν Σατρέων εἰσὶ οἱ προφητεύοντες τοῦ ἱροῦ, πρόμαντις δὲ ἡ χρέωσα κατά περ ἐν Δελφοῖσι, καὶ οὐδὲν ποικιλώτερον.

112 Παραμειψάμενος δὲ ὁ Ξέρξης τὴν εἰρημένην, δεύτερα τούτων παραμείβετο τείχεα τὰ Πιέρων, τῶν ἑνὶ Φάγρης ἐστὶ οὔνομα καὶ ἑτέρῳ Πέργαμος. ταύτῃ μὲν δὴ παρ᾽ αὐτὰ τὰ τείχεα τὴν ὁδὸν ἐποιέετο, ἐκ δεξιῆς χειρὸς τὸ Πάγγαιον ὄρος ἀπέργων, ἐὸν μέγα τε καὶ ὑψηλόν, ἐν τῷ χρύσεά τε καὶ ἀργύρεα ἔνι μέταλλα, τὰ νέμονται Πίερές τε καὶ Ὀδό-
113 μαντοι καὶ μάλιστα Σάτραι. ὑπεροικέοντας δὲ τὸ Πάγγαιον πρὸς βορέω ἀνέμου Παίονας Δόβηράς τε καὶ Παιόπλας παρεξιὼν ἤιε πρὸς ἑσπέρην, ἐς ὃ ἀπίκετο ἐπὶ ποταμόν τε Στρυμόνα καὶ πόλιν Ἠιόνα, τῆς ἔτι ζωὸς ἐὼν ἦρχε Βόγης
2 τοῦ περ ὀλίγῳ πρότερον τούτων λόγον ἐποιεύμην. ἡ δὲ γῆ αὕτη ἡ περὶ τὸ Πάγγαιον ὄρος καλέεται Φυλλίς, κατατείνουσα τὰ μὲν πρὸς ἑσπέρην ἐπὶ ποταμὸν Ἀγγίτην ἐκδιδόντα ἐς τὸν Στρυμόνα, τὰ δὲ πρὸς μεσαμβρίην τείνουσα ἐς αὐτὸν τὸν Στρυμόνα· ἐς τὸν οἱ Μάγοι ἐκαλλιερέοντο σφάζοντες
113 ἵππους λευκούς. φαρμακεύσαντες δὲ ταῦτα ἐς τὸν ποταμὸν

Ἀγγίτης, ἡ: Angites river, 1
αἰεί: always, forever, in every case, 17
ἀναγκάζω: to force, compel, require, 15
ἀπ-έργω: keep away, prevent (Att. **εἴργω**) 3
ἀργύρεος, -η, -ον: silver, of silver, 4
Βησσοί, οἱ: the Bessians, 1
Βόγης, ὁ: Boges (male), 3
βορέης, -εω, ὁ: North wind, 8
Δελφοί, οἱ: Delphi (town) 12
Δερσαῖοι, οἱ: the Dersaeans, 1
δια-τελέω: continue, accomplish to the end, 2
Διόνυσος, ὁ: Dionysus, 1
Δόρβηρές, οἱ: the Dorberes, 1
Ἐδωνοί, οἱ: the Edonians, 2
ἐκ-δίδωμι: to give up, surrender, render, 7
ἐλεύθερος, -η, -ον: free, 14
ἔν-ειμι: be in, on, among, 4
ἑσπέρη, ἡ: evening, eve; west, 10
ζωός, -η, -ον: live, alive, living, 4
Ἠιών, -όνος, ἡ: Eion (town), 3
Θρῄξ, Θρηίκος, ὁ: Thracian, 5
ἴδη, ἡ: woods, forest, tree, 1
καλλιερέω: to sacrifice with good omens, 3
κατα-λέγω: pick, recount, 14
κατα-τείνω: to stretch or draw tight, 2
κατ-οικέω: to inhabit, dwell in, 5
λευκός, -ή, -όν: white, bright, brilliant, 14
μάγοι, οἱ: magi (dream-interpreters) 6
μαντήιον, τό: an oracle, 8
μεσημβρίη, ἡ: mid-day, noon; south, 6
μεσό-γαιος, -η, -ον: inland, 3
μέταλλον, τό: a mine, 2
μέχρι: up to; until, as long as (+ gen.), 16
νέμω: to distribute, assign; inhabit, 10
Ὀδόμαντοι οἱ: the Odomantians, 1
Πάγγαιον, τό: Mount Pangaean, 3
Παίονες, οἱ: the Paeonians, 2
Παιόπλαι, οἱ: the Paeoplaeans, 1
παντοῖος, -η, -ον: of all sorts, various, 9
παρ-αμείβομαι: to pass by; leave aside, 10
παρ-εξ-έρχομαι: to pass by, go out beside, 9
Πέργαμος, ὁ: Pergamus, 1
Πίερες, οἱ: the Pierians, 3
ποικίλος, -η, -ον: variegated, many colored, 6
πρό-μαντις, ὁ, ἡ: a prophet, prophetess, 2
προ-φητεύω: to be a prophet, interpreter, 1
Σάτραι, οἱ: the Satraeans, 2
Σαπαῖοι, οἱ: the Sapaeans, 1
σφάζω: to slay, slaughter, kill, 3
Στρυμών, -ονος ὁ: Strymon river, 6
συν-ηρεφής, -ές: covered over with (+ dat) 1
τείνω: to stretch out, extend, 3
ὑπερ-οικέω: to dwell beyond or above, 1
ὑπήκοος, -ον: subject to, heeding; (gen.) 4
ὑψηλός, -ή, -όν: high, lofty, high-raised, 7
Φάγρης, ὁ: Phagres, 1
φαρμακεύω: use enchantments, use drugs 1
Φυλλίς, ἡ: Phyllis (region) 1
χιών, -ονός, ἡ: snow, 1
χρύσεος, -η, -ον: golden, 15

---

1 **οἱ μὲν…οἱ δὲ**: *some…others*
2 **εἵποντο**: impf. ἕπομαι
3 **οἰκέοντες**: *inhabiting*; pple + acc. d.o.
4 **καταλεχθέντες**: aor. pass. pple καταλέγω
5 **ὑπ᾽ ἐμεῦ**: gen. of agent
πεζῇ: *on foot*; dat fem. πεζός as adverb
ὅσον: *as far as*; 'as much as'
6 **ἴδμεν**: 1st pl. οἶδα, pf. but pres. in sense
διατελεῦσι: 3rd pl. pres. (Att. διατελοῦσι)
τὸ μέχρι ἐμεῦ: *up to my (time)*
7 **μοῦνοι Θηίκων**: *they along of the Thracians*
ὄρεα: acc. neuter pl. ὄρος
8 **εἰσὶ**: 3rd pl. pres. εἰμί
τὰ πολέμια: *in matters of war*; acc. respect
9 **ἐκτημένοι**: pf. mid. pple κτάομαι
11 **χρέωσα**: nom. sg. aor. pple χράω
12 **κατά περ**: *just as*
13 **οὐδὲν**: *and nothing (is)*; add linking verb
14 **τὴν εἰρημένην**: *the (land) mentioned*; pf. pass. λέγω (stem ερ)
δεύτερα τούτων: *next*; 'second of these'
15 **τῶν**: *of which*; partitive gentive
ἑνὶ…ἑτέρῳ: dat. of possession for εἷς, note aspiration and ἕτερος
16 **ταύτῃ**: *in this way*; i.e. in this direction
παρ᾽ αὐτὰ τὰ τείχεα: *along the walls themselves*; intensive pronoun
17 **ἐποιέετο**: subject is Xerxes, impf. mid.
ἐκ: *from…*; English idiom prefers 'on'
18 **ἐὸν**: neut. pres. pple εἰμί modifies ὄρος
ἐν τῷ: *in which*
19 **ἔνι**: ἔν-εστι, poetic form of ἐν, where the preposition stands for 3rd sg. ἔνειμι
18 **ἤιε**: 3rd sg. impf ἔρχομαι
23 **τῆς**: which; gen. obj. of ἦρχε
24 **τοῦ**: whose; modifies λόγον
26 **τὰ μὲν…τὰ δὲ**: on the one hand…one the
28 **ἐς τὸν**: *into which*; relative...

καὶ ἄλλα πολλὰ πρὸς τούτοισι ἐν Ἐννέα ὁδοῖσι τῇσι Ἠδω-
νῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας, τὸν Στρυμόνα εὑρόντες
ἐζευγμένον. Ἐννέα δὲ ὁδοὺς πυνθανόμενοι τὸν χῶρον
τοῦτον καλέεσθαι, τοσούτους ἐν αὐτῷ παῖδάς τε καὶ παρθέ-
2 νους ἀνδρῶν τῶν ἐπιχωρίων ζώοντας κατώρυσσον. Περ-
σικὸν δὲ τὸ ζώοντας κατορύσσειν, ἐπεὶ καὶ Ἄμηστριν τὴν
Ξέρξεω γυναῖκα πυνθάνομαι γηράσασαν δὶς ἑπτὰ Περσέων
παῖδας ἐόντων ἐπιφανέων ἀνδρῶν ὑπὲρ ἑωυτῆς τῷ ὑπὸ γῆν
115 λεγομένῳ εἶναι θεῷ ἀντιχαρίζεσθαι κατορύσσουσαν. ὡς δὲ
ἀπὸ τοῦ Στρυμόνος ἐπορεύετο ὁ στρατός, ἐνθαῦτα πρὸς ἡλίου
δυσμέων ἐστὶ αἰγιαλὸς ἐν τῷ οἰκημένην Ἄργιλον πόλιν
Ἑλλάδα παρεξήιε· αὕτη δὲ καὶ ἡ κατύπερθε ταύτης καλέεται
2 Βισαλτίη. ἐνθεῦτεν δὲ κόλπον τὸν ἐπὶ Ποσιδηίου ἐξ ἀρι-
στερῆς χειρὸς ἔχων ἤιε διὰ Συλέος πεδίου καλεομένου,
Στάγειρον πόλιν Ἑλλάδα παραμειβόμενος, καὶ ἀπίκετο ἐς
Ἄκανθον, ἅμα ἀγόμενος τούτων ἕκαστον τῶν ἐθνέων καὶ
τῶν περὶ τὸ Πάγγαιον ὄρος οἰκεόντων, ὁμοίως καὶ τῶν πρό-
τερον κατέλεξα, τοὺς μὲν παρὰ θάλασσαν ἔχων οἰκημένους
ἐκ νηυσὶ στρατευομένους, τοὺς δ᾽ ὑπὲρ θαλάσσης πεζῇ ἑπο-
3 μένους. τὴν δὲ ὁδὸν ταύτην, τῇ βασιλεὺς Ξέρξης τὸν
στρατὸν ἤλασε, οὔτε συγχέουσι Θρήικες οὔτ᾽ ἐπισπείρουσι
116 σέβονταί τε μεγάλως τὸ μέχρι ἐμεῦ. ὡς δὲ ἄρα ἐς τὴν
Ἄκανθον ἀπίκετο, ξεινίην τε ὁ Ξέρξης τοῖσι Ἀκανθίοισι
προεῖπε καὶ ἐδωρήσατο σφέας ἐσθῆτι Μηδικῇ ἐπαίνεέ τε,
ὁρέων αὐτοὺς προθύμους ἐόντας ἐς τὸν πόλεμον καὶ τὸ ὄρυ-
117 γμα †ἀκούων†. ἐν Ἀκάνθῳ δὲ ἐόντος Ξέρξεω συνήνεικε
ὑπὸ νούσου ἀποθανεῖν τὸν ἐπεστεῶτα τῆς διώρυχος Ἀρτα-
χαίην, δόκιμον ἐόντα παρὰ Ξέρξῃ καὶ γένος Ἀχαιμενίδην,
μεγάθεί τε μέγιστον ἐόντα Περσέων (ἀπὸ γὰρ πέντε πηχέων

αἰγιαλος, ὁ: beach, shore 11
Ἀκανθίοι, οἱ: Acanthians, 4
Ἄκανθος, ὁ: Acanthus 3
Ἄμηστρις, ἡ: Amestris (female), 1
ἀντι-χαρίζομαι: to do a favor in return, 1
Ἄργιλος, ὁ: Argilus, 1
ἀριστερός, -ή, -όν: left, left side, 8
Ἀρταχαίης, ὁ: Artachaees, 5
Ἀχαιμενίδης, ὁ: Achaemenid, 2
Βισαλτίη, ἡ: Bisaltia, 1
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
γεφύρη, ἡ: bridge; dam, mound, 9
γηράσκω: to grow old, 1
δίς: twice, doubly, 2
διῶρυξ, -υχος, ἡ: a trench, canal, conduit, 17
δόκιμος, -ον: notable, famous, worthy, 9
δυσμή, ἡ: setting, 1
δωρέω: to give, present (acc) with (dat) 10
Ἐδωνοί, οἱ: the Edonians, 2
ἐννέα: nine, 1
ἐντεῦθεν: from here, from there, thence, 12
ἐπαινέω: to praise, approve, commend, 1
ἐπι-σπείρω: to sow, cast upon, 1
ἐπι-φανής, -ες: notable, illustrious, 2
ἕπομαι: follow, accompany, escort (+ dat) 12
ἐσθής, -ητος, ἡ: clothing, clothes, 6
εὑρίσκω: to find, discover, devise, invent, 19
ζεύγνυμι: to yoke, join together, 11
ζώω: to live, (Att. ζάω) 9
Θρῄξ, Θρηίκος, ὁ: Thracian, 5
κατα-λέγω: pick, recount, 14
κατ-ορύσσω: to bury, dig and bury, 3
κατ-ύπερθε: from above, above, on top, 5
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
μέγαθος, τό: size, magnitude, size, height, 8
μεγάλως: greatly, mightily, 10
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μέχρι: up to; until, as long as (+ gen.), 16
Μηδικος, -η, -ον: Median, of the Mede, 9
νοῦσος, ἡ: malady, illness, sickness 8
ξεινίη, ἡ: guest-friendship, hospitality, 4
ὄρυγμα, -ατος, τό: trench, ditch, moat, 4
Πάγγαιον, τό: Mount Pangaean, 3
παρ-αμείβομαι: to pass by; leave aside, 10
παρ-εξ-έρχομαι: to pass by, go out beside, 9
παρθένος, ἡ: maiden, virgin, unmarried girl, 1
πέντε: five, 8
Περσικός, -ή, -όν: Persian, 6
πῆχυς, ὁ: cubit, fore-arm length, 2
Ποσιδήιον, ὁ: Posideion, 1
προ-εἶπον: to proclaim, order, say before, 4
πρό-θυμος, -ον: eager, zealous; ready, 6
σέβομαι: to worship, revere, 2
Στάγειρος, ὁ: Stagirus (town) 1
Στρυμών, -ονος ὁ: Strymon river, 6
συγ-χέω: to confound, demolish, confuse, 3
Συλέος, ὁ: Syleus (plain) 1
συμ-φέρω: to gather; happens, be expedient, 6
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10

---

1 πρὸς: *in addition to…*
2 Ἐννέα ὁδοῖσι: *in the Nine Ways* (place)
κατὰ: *over…*
εὑρόντες: aor. pple εὑρίσκω
3 ἐζευγμένον: joined; 'bridged' pf. pass. pple
Ἐννέα ὁδοὺς: *the Nine Ways*; acc. predicate
4 τοσούτους: *so many;* i.e. nine
ἐν αὐτῷ: *in it*; i.e. in this place
5 Περσικὸν: *(it is) Persian (custom) to..*
6 πυνθάνομαι: I have learned; present pf.
τὴν…γυναῖκα: *the wife*; acc. subject
7 γηράσασαν: *growing old*; aor. pple
8 ἑωυτῆς: *of herself*; reflextive (Att. ἑαυτῆς)
τῷ…λεγομένῳ εἶναι: *said to be*
10 πρὸς…δυσμέων: directional not temporal
12 ἐν τῷ: *on which…*
παρεξῄιε: 3rd sg. impf. παρ-εξ-έρχομαι
αὕτη: *this (city)*
ταύτης: gen. governed by κατύπερθε
13 ἤει: 3rd sg. impf. ἔρχομαι
14 καλεομένου: called, so-called; pres. pass.
15 Ἑλλάδα: *Greek*; adj. same form as noun
16 ἅμα ἀγόμενος: *bringing along…*; mid.
ὁμοίως καὶ: *similarly as, the same way as*
17 τῶν: *(of those) which*; acc.pronoun attracted into gen. of missing antecent
18 κατέλεξα: *I mentioned*; 1st sg. aor.
19 τοὺς μὲν…τοὺς δὲ: *some…others*
ὑπὲρ θαλάσσης: *inland*; 'above the sea'
πεζῇ ἑπομένους: *following the infantry*
20 τῇ: *by which*
22 τὸ μέχρι ἐμεῦ: *up to my (time)*
ξεινίην…προεῖπε: *he declared friendship*
25 ὁρέων: *seeing*; pres. pple ὁράω (ὁρῶν)
ἐς: *for…*; expressing purpose
26 συνήνεικε: *it happened that*; aor. συμφέρω
27 ἐπεστεῶτα: *the one having overseen*; gen.
29 μεγάθεϊ: *in size*; dat. of respect

βασιληίων ἀπέλειπε τέσσερας δακτύλους) φωνέοντά τε μέγιστον ἀνθρώπων, ὥστε Ξέρξην συμφορὴν ποιησάμενον μεγάλην ἐξενεῖκαί τε αὐτὸν κάλλιστα καὶ θάψαι· ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή. τούτῳ δὲ τῷ Ἀρταχαίῃ θύουσι Ἀκάνθιοι ἐκ θεοπροπίου ὡς ἥρωι, ἐπονομάζοντες τὸ οὔνομα. βασιλεὺς μὲν δὴ Ξέρξης ἀπολομένου Ἀρταχαίεω ἐποιέετο
118 συμφορήν. οἱ δὲ ὑποδεκόμενοι Ἑλλήνων τὴν στρατιὴν καὶ δειπνίζοντες Ξέρξην ἐς πᾶν κακοῦ ἀπίκατο, οὕτω ὥστε ἀνάστατοι ἐκ τῶν οἴκων ἐγίνοντο· ὅκου Θασίοισι ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ πολίων τῶν σφετερέων δεξαμένοισι τὴν Ξέρξεω στρατιὴν καὶ δειπνίσασι Ἀντίπατρος ὁ Ὀργέος ἀραιρημένος, τῶν ἀστῶν ἀνὴρ δόκιμος ὅμοια τῷ μάλιστα, ἀπέδεξε ἐς τὸ δεῖπνον τετρακόσια τάλαντα ἀργυρίου τετελε-
119 σμένα. ὡς δὲ παραπλησίως καὶ ἐν τῇσι ἄλλῃσι πόλισι οἱ ἐπεστεῶτες ἀπεδείκνυσαν τὸν λόγον. τὸ γὰρ δεῖπνον τοιόνδε τι ἐγίνετο, οἷα ἐκ πολλοῦ χρόνου προειρημένον καὶ περὶ πολλοῦ ποιευμένων· τοῦτο μέν, ὡς ἐπύθοντο τάχιστα τῶν κηρύκων τῶν περιαγγελλόντων, δασάμενοι σῖτον ἐν τῇσι πόλισι οἱ ἀστοὶ ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν πάντες ἐπὶ μῆνας συχνούς· τοῦτο δὲ κτήνεα ἐσίτευον ἐξευρίσκοντες τιμῆς τὰ κάλλιστα, ἔτρεφόν τε ὄρνιθας χερσαίους καὶ λιμναίους ἔν τε οἰκήμασι καὶ λάκκοισι, ἐς ὑποδοχὰς τοῦ στρατοῦ· τοῦτο δὲ χρύσεά τε καὶ ἀργύρεα ποτήριά τε καὶ κρητῆρας ἐποιεῦντο καὶ τἆλλα ὅσα ἐπὶ τράπεζαν τιθέαται πάντα. ταῦτα μὲν αὐτῷ τε βασιλέϊ καὶ τοῖσι ὁμοσίτοισι μετ᾽ ἐκείνου ἐπεποίητο, τῇ δὲ ἄλλῃ στρατιῇ τὰ ἐς φορβὴν μοῦνα τασσόμενα. ὅκως δὲ ἀπίκοιτο ἡ στρατιή, σκηνὴ μὲν

αἱρέω: to seize, take; *mid*. choose, 17
Ἀκανθίοι, οἱ: Acanthians, 4
ἄλευρον, τό: wheat-meal, ground meal, 2
ἄλφιτον, τό: barley-meal, barley, 1
ἀνά-στατος, -ον: driven from home, ruined, 7
Ἀντίπατρος, ὁ: Antipater, Antipatrus, 1
ἀπο-λείπω: to leave (off); lack, fail, 5
ἀργύρεος, -η, -ον: silver, of silver, 4
ἀργύριον, τό: silver; piece of silver, 4
Ἀρταχαίης, ὁ: Artachaees, 5
ἀστός, ὁ: townsman, country-man, 5
δάκτυλος, ὁ: finger, 1
δατέομαι: to divide, distribute, assign 5
δέκομαι: to receive, accept, take, 10
δειπνίζω: to entertain with a meal, 2
δεῖπνον, τό: the principal meal, dinner, 10
δόκιμος, -ον: notable, famous, worthy, 9
ἐκ-φέρω: to carry out, bring forth, produce, 2
ἐξ-ευρίσκω: to find out, discover, 7
ἐπ-ονομάζω: to name, call (by name), 1
ἥρως, ὁ: hero, warrior, 3
θάπτω: to bury, honor with funeral rites, 2
Θάσιος, -η, -ον: Thasian, 2
θεοπρόπιον, τό: prophecy, oracle, 4
κάλλιστα: very well, 15
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
κρητήρ, -ήρος, ὁ: mixing bowl (for wine) 1
κτῆνος, εος, τό: *pl*. herds, flocks, cattle, 3
λάκκος, ὁ: a pond, 1
λιμναῖος, -η, -ον: marsh, water-dwelling, 1
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μείς, μῆνος, ὁ: a month, 4
οἴκημα, -ατος, τό: building, dwelling, 2
ὅκου: where, 3
ὁμο-σιτος, -ον: eating together, 1
Ὀργέυς, -εος, ὁ: Orgeus, 1
ὄρνις, ὄρνιθος, ὁ, ἡ: a bird, 3
παραπλήσιος, -η, -ον: resembling, like +dat 3
περι-αγγέλλω: to send a message around, 2
ποτήριον, τό: drinking-cup, wine-cup, 2
προ-λέγω: to say or order beforehand, 2
σιτεύω: to feed, 1
σῖτος, ὁ: to grain, food (pl. **σῖτα, τὰ**) 10
σκηνή, ἡ: tent, canapy, 3
συχνός, -ή, -όν: long, much, many, great, 8
σφέτερος, -η, -ον: their own, their, 9
τάλαντον, τό: talent (equal to 57.75 lbs.), 5
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τελέω: to end, complete, fulfill; pay, 13
τέσσερες, -α: four, 12
τετρακόσιοι, -αι, -α: four hundred, 10
τιμή, ἡ: honor; state offices, 16
τράπεζα, ἡ: table; dinner, meal, 1
τρέφω: to raise, grow, nuture, rear, foster, 1
τυμβο-χοέω: heap up a funeral mound 4
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
ὑπο-δέκομαι: receive, undertake, promise, 6
ὑπο-δοχή, ἡ: reception, entertainment, 1
φορβή, ἡ: food; fodder, forage, 3
φωνέω: speak, utter, 5
χερσαῖος, -η, -ον: land, land-dwelling, 1
χρύσεος, -η, -ον: golden, 15
ὥστε: so that, that, so as to, 18

---

1 **ἀπέλειπε**: *falls short 4 finger-breaths from 5 royal cubits*; i.e. close to 8 feet in height
2 **συμφορὴν ποιησάμενον μεγάλην**: *considering (it) a great misfortune*
3 **ἐξενεῖκαί**: *carried out*; inf ἐκφέρω
θάψαι: aor. inf θάπτω
κάλλιστα: superlative adverb
5 **ὡς ἥρωι**: *just as to a hero*; dat. sg.
6 **ἀπολομένου**: *having perished*; gen. abs.
ἐποιέετο: see line 2
7 **οἱ δὲ...Ἑλλήνων**: *those of the Greeks...*
8 **ἀπίκατο**: 3rd pl. plpf. ἀπικνέομαι (Att ντο)
9 **ὅκου**: *seeing that...*; adv. of place is causal
Θασίοισι...δεξαμένοισι...δειπνίσασι: dat. with dat. aor. pples; ind. object of ἀπέδεξε
10 **ἀπέδεξε**: *published (as an account)*; aor.
13 **τετελεσμένα**: *paid*; pf. pass. pple τελέω
14 **ὡς δὲ παραπλησίως**: *so, similarly...*
15 **ἐπεστεῶς**: *leaders*; 'those set over (the people)' pf. act. pple ἐπ-ίστημι
16 **τοιόνδε τι**: *something as follows*; predicate
οἷα: *inasmuch as*; οἷα + pple is causal
ἐκ πολλοῦ χρόνου: *a long time ago*
16 **προειρημένον**: pf. pass. pple προλέγω
17 **περὶ πολλοῦ ποιευμένων**: *considered of great importance*
τοῦτο μέν...τοῦτο δὲ...: *on this one hand ...on this other hand*; acc. respect
ὡς...τάχιστα: *as soon as*
δασάμενοι: *distributing*; aor. δατέομαι
ἐπὶ: *over....*; duration of time
21 **τιμῆς**: *for a (greatest) price*; gen. value
26 **τὰ ἐς**: *arrangements for food alone*
27 **ὅκως**: *whenever*; + opt., general temporal

ἔσκε πεπηγυῖα ἑτοίμη ἐς τὴν αὐτὸς σταθμὸν ποιεέσκετο
4 Ξέρξης, ἡ δὲ ἄλλη στρατιὴ ἔσκε ὑπαίθριος. ὡς δὲ δεί-
πνου ἐγίνετο ὥρη, οἱ μὲν δεκόμενοι ἔχεσκον πόνον, οἳ δὲ
ὅκως πλησθέντες νύκτα αὐτοῦ ἀγάγοιεν, τῇ ὑστεραίῃ τήν τε
σκηνὴν ἀνασπάσαντες καὶ τὰ ἔπιπλα πάντα λαβόντες οὕτω
120 ἀπελαύνεσκον, λείποντες οὐδὲν ἀλλὰ φερόμενοι. ἔνθα δὴ
Μεγακρέοντος ἀνδρὸς Ἀβδηρίτεω ἔπος εὖ εἰρημένον ἐγένετο,
ὃς συνεβούλευσε Ἀβδηρίτῃσι πανδημεί, αὐτοὺς καὶ γυναῖκας,
ἐλθόντας ἐς τὰ σφέτερα ἱρὰ ἵζεσθαι ἱκέτας τῶν θεῶν παραι-
τεομένους καὶ τὸ λοιπόν σφι ἀπαμύνειν τῶν ἐπιόντων κακῶν
τὰ ἡμίσεα, τῶν τε παροιχομένων ἔχειν σφι μεγάλην χάριν,
ὅτι βασιλεὺς Ξέρξης οὐ δὶς ἑκάστης ἡμέρης ἐνόμισε σῖτον
2 αἱρέεσθαι· παρέχειν γὰρ ἂν Ἀβδηρίτῃσι, εἰ καὶ ἄριστον
προείρητο ὅμοια τῷ δείπνῳ παρασκευάζειν, ἢ μὴ ὑπομένειν
Ξέρξην ἐπιόντα ἢ καταμείναντας κάκιστα πάντων ἀνθρώπων
διατριβῆναι.

121 οἳ μὲν δὴ πιεζόμενοι ὅμως τὸ ἐπιτασσόμενον ἐπετέλεον.
Ξέρξης δὲ ἐκ τῆς Ἀκάνθου, ἐντειλάμενος τοῖσι στρατηγοῖσι
τοῦ ναυτικοῦ στρατοῦ ὑπομένειν ἐν Θέρμῃ, ἀπῆκε ἀπ᾽ ἑωυτοῦ
πορεύεσθαι τὰς νέας, Θέρμῃ δὲ τῇ ἐν τῷ Θερμαίῳ κόλπῳ
οἰκημένῃ, ἀπ᾽ ἧς καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει·
2 ταύτῃ γὰρ ἐπυνθάνετο συντομώτατον εἶναι. μέχρι μὲν γὰρ
Ἀκάνθου ὧδε τεταγμένος ὁ στρατὸς ἐκ Δορίσκου τὴν ὁδὸν
ἐποιέετο· τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν
[στρατόν], μίαν αὐτέων ἔταξε παρὰ θάλασσαν ἰέναι ὁμοῦ
3 τῷ ναυτικῷ· ταύτης μὲν δὴ ἐστρατήγεον Μαρδόνιός τε καὶ
Μασίστης, ἑτέρη δὲ τεταγμένη ἤιε τοῦ στρατοῦ τριτημορὶς
τὴν μεσόγαιαν, τῆς ἐστρατήγεον Τριτανταίχμης τε καὶ

Ἀβδηρίτης, -εω, ὁ: Abderitans, of Abdera, 4
αἱρέω: to seize, take; *mid*. choose, 17
Ἄκανθος, ὁ: Acanthus 3
ἀνα-σπάω: to pull back, drag back, 2
ἀπ-αμύνω: to ward off, keep away, 3
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπ-ίημι: send forth, let go, release, 16
ἄριστον, τό: breakfast, morning meal, 1
δατέομαι: to divide, distribute, assign 5
δεῖπνον, τό: the principal meal, dinner, 10
δέκομαι: to receive, accept, take, 10
δια-τρίβω: to pass time, consume, spend, 2
δίς: twice, doubly, 2
Δορίσκος, ὁ: Doriscus, 6
ἔνθα: where; there, then, 9
ἐν-τέλλομαι: to command, enjoin, 10
ἔπιπλα, τά: moveables; furniture, 3
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
ἐπι-τελέω: to complete, fulfill, accomplish, 4
ἐπωνυμίη, ἡ: name, a nickname, surname, 16
ἑτοῖμος, -η, -ον: ready, prepared, at hand, 6
ἥμισυς, -υ: half, 8
Θέρμα, ἡ: Therma, 9
Θερμαίος, -η, -ον: Thermaic, 4
ἵζω: to make sit, place, 8
ἱκέτης, -ου, ὁ: a suppliant, 2
κατα-μένω: to stay behind, remain 5
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
λοιπός, -ή, -όν: remaining, the rest, 15
Μαρδόνιος, ὁ: Mardonius, 9
Μασίστης, ὁ: Masistes, 2
Μεγακρέων, -οντος, ὁ: Megacreon, 1
μεσό-γαιος, -η, -ον: inland, 3
μέχρι: up to; until, as long as (+ gen.), 16
μοῖρα, ἡ: part, share, lot; fate, destiny 8
νομίζω: believe, consider; be accustomed, 16
νύξ, νυκτός, ἡ: a night, 10
ὁμοῦ: at the same place, together, 18
παν-δημεί: in a mass, with the whole people, 3
παρ-αιτέομαι: to beg, beg from, 1
παρα-σκευάζω: to prepare, get ready, 15
παρ-οίχομαι: to pass by, 1
πήγνυμι: to stick, fix, 7
πιέζω: to press, squeeze, bother, 1
πίμπλημι: to make full, fill, fill full of, 12
πόνος, ὁ: work, toil, labor, 6
προ-λέγω: to say or order beforehand, 2
σῖτος, ὁ: to grain, food (pl. **σῖτα, τὰ**) 10
σκηνή, ἡ: tent, canapy, 3
σταθμός, ὁ: quarters, lodging, standing, 2
συμ-βουλεύω: advise, deliberate together, 16
σύν-τομος, -ον: a short, shortcut, 2
σφέτερος, -η, -ον: their own, their, 9
Τριτανταίχμης, ὁ: Tritantaechmes, 2
τριτη-μορίς, ἡ: a third part, 2
ὑπ-αίθριος, -η, -ον: in the open sky, 1
ὑπο-μένω: to await, remain; withstand, 9
ὑστεραῖος, -η, -ον: (on) the next day, 4
χάρις, χάριτος, ἡ: gratitude, thanks, favor, 4
ὧδε: in this way, so, thus, 17
ὥρη, ἡ: season, time, period of time, 19

---

1 **ἔσκε**: *was, would be*; -σκ iterative impf. εἰμί
πεπηγυῖα: *erected*; 'fixed' pf. pass.
ἐς τὴν: *into which*; relative
ποιεέσκετο: *used to; would...*; iterative impf.
2 **ἔσκε**: *was, would be*; -σκ iterative impf. εἰμί
ὥρη: *time for dinner*; nom. subj.
3 **οἱ δεκόμενοι**: *those receiving;* i.e. the host
ἔχεσκον πόνον: *would have trouble*; impf.
4 **ὅκως**: *whenever*; + opt., general temporal
οἱ πλησθέντες: aor. pass. pple πίμπλημι
ἀυτοῦ: *there*
ἀγάγοιεν: *spent*; aor. opt. ἄγω
5 **ἀπελαύνεσκον**: iterative impf.
6 **ἔνθα δὴ**: *at that very point*
7 **ἔπος**: *a speech*; nom. subj.
εὖ εἰρημένον: *well-said*; predicate, pf. pass.
8 **αὐτοὺς καὶ γυναῖκας**: *that they and their wives*; accusative subj.
9 **ἱκέτας**: *as suppliants*
τὸ λοιπόν...ἡμίσεα: obj. of παραιτέομαι
10 **τὸ λοιπόν...**: *for the future*; acc. duration
σφι ἀπαμύνειν: *fend off for them*
τῶν ἐπιόντων κακῶν: *of upcoming evils*
11 **παροιχομένων**: *for things past*; obj. gen.
ἔχειν: *that they (people) have for them (the gods)*; inf. is governed by συνβούλευσε
12 **ὅτι**: *because*
ἑκάστης ἡμέρης: *during..*; gen. within time
13 **παρέχειν ἂν**: *for it would have allowed for the Abderitans...either....or*; equivalent to past potential (impf. + ἄν)
15 **κάκιστα**: *most miserably*; superlative adv.
18 **ἐντειλάμενος**: aor. mid. ἐντέλλομαι
22 **ταυτῇ**: *by this way*
23 **τεταγμένος**: pf. pass. τάσσω
27 **ἤιε**: 3rd sg. impf. εἰμί

Γέργις· ἡ δὲ τρίτη τῶν μοιρέων, μετ᾽ ἧς ἐπορεύετο αὐτὸς Ξέρξης, ἤιε μὲν τὸ μέσον αὐτῶν, στρατηγοὺς δὲ παρείχετο Σμερδομένεά τε καὶ Μεγάβυζον.

122 ὁ μέν νυν ναυτικὸς στρατὸς ὡς ἀπείθη ὑπὸ Ξέρξεω καὶ διεξέπλωσε τὴν διώρυχα τὴν ἐν τῷ Ἄθῳ γενομένην, διέχουσαν δὲ ἐς κόλπον ἐν τῷ Ἄσσα τε πόλις καὶ Πίλωρος καὶ Σίγγος καὶ Σάρτη οἴκηνται, ἐνθεῦτεν, ὡς καὶ ἐκ τουτέων τῶν πολίων στρατιὴν παρέλαβε, ἔπλεε ἀπιέμενος ἐς τὸν Θερμαῖον κόλπον, κάμπτων δὲ Ἄμπελον τὴν Τορωναίην ἄκρην παραμείβετο Ἑλληνίδας [τε] τάσδε πόλις, ἐκ τῶν νέας τε καὶ στρατιὴν παρελάμβανε, Τορώνην, Γαληψὸν, Σερμύλην, Μηκύβερναν, Ὄλυνθον. ἡ μέν νυν χώρη αὕτη Σιθωνίη
123 καλέεται, ὁ δὲ ναυτικὸς στρατὸς ὁ Ξέρξεω συντάμνων ἀπ᾽ Ἀμπέλου ἄκρης ἐπὶ Καναστραίην ἄκρην, τὸ δὴ πάσης τῆς Παλλήνης ἀνέχει μάλιστα, ἐνθεῦτεν νέας τε καὶ στρατιὴν παρελάμβανε ἐκ Ποτειδαίης καὶ Ἀφύτιος καὶ Νέης πόλιος καὶ Αἰγῆς καὶ Θεράμβω καὶ Σκιώνης καὶ Μένδης καὶ Σάνης· αὗται γὰρ εἰσὶ αἱ τὴν νῦν Παλλήνην πρότερον δὲ Φλέγρην
2 καλεομένην νεμόμεναι. παραπλέων δὲ καὶ ταύτην τὴν χώρην ἔπλεε ἐς τὸ προειρημένον, παραλαμβάνων στρατιὴν καὶ ἐκ τῶν προσεχέων πολίων τῇ Παλλήνῃ, ὁμουρεουσέων δὲ τῷ Θερμαίῳ κόλπῳ, τῇσι οὐνόματα ἐστὶ τάδε, Λίπαξος, Κώμβρεια, Λισαί, Γίγωνος, Κάμψα, Σμίλα, Αἴνεια· ἡ δε τουτέων
3 χώρη Κροσσαίη ἔτι καὶ ἐς τόδε καλέεται. ἀπὸ δὲ Αἰνείης, ἐς τὴν ἐτελεύτων καταλέγων τὰς πόλις, ἀπὸ ταύτης ἤδη ἐς

Ἄθως, -ω ὁ: Mt. Athos, 6
Αἰγῆ, ἡ: Aege (town) 1
Αἴνεια, ἡ: Aenea, 2
Ἄμπελος, ὁ: Ampelus (town), 2
ἀν-έχω: to uphold, endure; arise, 9
ἀπ-ίημι: send forth, let go, release, 16
Ἄσσα, ὁ: Assa, 1
Ἀφύτις, -ιος, ἡ : Aphytis (town) 1
Γαληψός, ὁ: Galepsus (town) 1
Γέργις, ὁ: Gergis, 2
Γίγωνος, ὁ: Gigonus, 1
δι-εκ-πλώω: to sail out through, 3
δι-έχω: to reach through, penetrate through, 2
διῶρυξ, -υχος, ἡ: a trench, canal, conduit, 17
Ἑλληνίς, -ίδος, ἡ: Greek (fem. adj.), 5
ἐνθεῦτεν: from here, from there (**ἐντεῦθεν**) 12
Θεράμβυς ὁ: Therambus (town) 1
Θερμαίος, -η, -ον: Thermaic, 4
κάμπτω: to bend, to round (the bend), 3
Κάμψα, ἡ: Campsa, 1
Καναστραιος, -η, -ον: Canastraean, 1
κατα-λέγω: pick, recount, 14
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
Κροσσαίη, ἡ: Crossaea, 1
Κώμβρεια, ἡ: Combrea, 1
Λίπαξος, ὁ: Lipaxus, 1
Λισαί, αἱ: Lisae, 1
Μεγάβυζος, ὁ: Megabyzus, 2
Μένδης, ἡ: Mende (town) 1
Μηκύβερνα, ἡ: Mecyberna (town) 1
μοῖρα, ἡ: part, share, lot; fate, destiny 8
Νέη πόλις, ἡ : Neapolis (town) 1
νέμω: to distribute, assign; inhabit, 10
Ὄλυνθος, ὁ: Olynthus (town) 1
ὁμουρέω: to border upon, march with, 4
Παλλήνη, ἡ : Pallene (town) 3
παρα-λαμβάνω: to receive, undertake, 16
παρ-αμείβομαι: to pass by; leave aside, 10
παρα-πλέω: to sail by or past, 2
Πίλωρος, ὁ: Pilorus, 1
Ποτιδαίη, ἡ : Potidaea (town) 1
προ-λέγω: to say or order beforehand, 2
προσ-εχής, -ές: next to, adjacent to (dat) 2
Σάνη, ἡ: Sane, 4
Σάρτη, ἡ: Sarte, 1
Σεμύλη, ἡ: Sermyle (town) 1
Σίγγος, ὁ: Singus, 1
Σιθωνίη, ἡ: Sithonia (town) 2
Σκιώνη, ἡ: Scione (town) 1
Σμερδομένης, ὁ: Smerdomenes, 2
Σμίλα, ἡ: Smila, 1
συν-τάμνω: to cut across, cut short (**τέμνω**) 1
τελευτάω: to end, complete, finish; die, 18
Τορώναιος, -η, -ον: Toronian, of Torone, 1
Τορώνη, ἡ : Torone (town) 2
τρίτος, -η, -ον: the third, 18
Φλέγρη, ἡ: Phlegra, 1

---

1 **τῶν μοιρέων**: *of the parts (of the army)*
μετ᾽ ἧς: *with which…*; relative
2 **ἤιε**: impf. ἔρχομαι
τὸ μέσον αὐτῶν: *between them*; acc. respect
4 **ναυτικὸς στρατὸς**: *the fleet*; 'naval army'
ὡς ἀπείθη: *when,,,was sent away*; aor. pass. ἀπ-ίημι
5 **διέχουσαν**: *reaching;* modifies διώρυχα
6 **ἐν τῷ**: *in which*; relative
7 **ὡς**: *when..*
8 **παρέλαβε**: aor. παραλαμβάνω
ἔπλεε: impf. πλέω
ἀπιέμενος: *heading off*; pres. mid. ἀπ-ίημι
9 **κάμπτων**: nom. sg. pres. pple ἄγω
10 **πόλις**: *cities*; acc. pl. πολῖς (Att. πόλεις)
ἐκ τῶν: *from which (cities)*
14 **τὸ…μάλιστα**: *which (point) of all of Pallene extends farthest (into the sea)*
18 **εἰσὶ**: *are*
αἱ…νεμόμεναι: *those inhabiting*; mid. pple
19 **παραπλέων**: nom. sg. pres. pple
20 **προειρημένον**: *the appointed (place)*; 'forementioned,' pf. pass. pple προ-λέγω
21 **προσεχέων**: *bordering*; gen. pl. προσεχής
ὁμουρεουσέων: pple modifies fem πολίων
22 **τῇσι**: *whose*; dat. of possession
24 **ἐς τόδε**: *to this (time)*
25 **ἐς τὴν**: *to which (place)*; relative
ἐτελεύτων: *I stopped recounting…*; 1st sg. impf. α-contact verb

αὐτόν τε τὸν Θερμαῖον κόλπον ἐγίνετο τῷ ναυτικῷ στρατῷ ⟨ὁ⟩ πλόος καὶ γῆν τὴν Μυγδονίην, πλέων δὲ ἀπίκετο ἔς τε τὴν προειρημένην Θέρμην καὶ Σίνδον τε πόλιν καὶ Χαλέστρην ἐπὶ τὸν Ἄξιον ποταμόν, ὃς οὐρίζει χώρην τὴν Μυγδονίην τε καὶ Βοττιαιίδα, τῆς ἔχουσι τὸ παρὰ θάλασσαν, στεινὸν χωρίον, πόλιες Ἴχναι τε καὶ Πέλλα.

124 ὁ μὲν δὴ ναυτικὸς στρατὸς αὐτοῦ περὶ Ἄξιον ποταμὸν καὶ πόλιν Θέρμην καὶ τὰς μεταξὺ πόλιας τούτων περιμένων βασιλέα ἐστρατοπεδεύετο, Ξέρξης δὲ καὶ ὁ πεζὸς στρατὸς ἐπορεύετο ἐκ τῆς Ἀκάνθου τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ, βουλόμενος ἐς τὴν Θέρμην ἀπικέσθαι· ἐπορεύετο δὲ διὰ τῆς Παιονικῆς καὶ Κρηστωνικῆς ἐπὶ ποταμὸν Ἐχείδωρον, ὃς ἐκ Κρηστωναίων ἀρξάμενος ῥέει διὰ Μυγδονίης χώρης καὶ ἐξιεῖ
125 παρὰ τὸ ἕλος τὸ ἐπ᾽ Ἀξίῳ ποταμῷ. πορευομένῳ δὲ ταύτῃ λέοντές οἱ ἐπεθήκαντο τῇσι σιτοφόροισι καμήλοισι. καταφοιτῶντες γὰρ οἱ λέοντες τὰς νύκτας καὶ λείποντες τὰ σφέτερα ἤθεα ἄλλου μὲν οὐδενὸς ἅπτοντο οὔτε ὑποζυγίου οὔτε ἀνθρώπου, οἳ δὲ τὰς καμήλους ἐκεράϊζον μούνας. θωμάζω δὲ τὸ αἴτιον, ὅ τι κοτὲ ἦν τῶν ἄλλων τὸ ἀναγκάζον ἀπεχομένους τοὺς λέοντας τῇσι καμήλοισι ἐπιτίθεσθαι, τὸ μήτε πρότερον ὀπώπεσαν θηρίον μήτ᾽ ἐπεπειρέατο αὐτοῦ.
126 εἰσὶ δὲ κατὰ ταῦτα τὰ χωρία καὶ λέοντες πολλοὶ καὶ βόες ἄγριοι, τῶν τὰ κέρεα ὑπερμεγάθεα ἐστὶ τὰ ἐς Ἕλληνας φοιτέοντα. οὖρος δὲ τοῖσι λέουσι ἐστὶ ὅ τε δι᾽ Ἀβδήρων ῥέων ποταμὸς Νέστος καὶ ὁ δι᾽ Ἀκαρνανίης ῥέων Ἀχελῷος· οὔτε γὰρ τὸ πρὸς τὴν ἠῶ τοῦ Νέστου οὐδαμόθι πάσης τῆς ἔμπροσθε Εὐρώπης ἴδοι τις ἂν λέοντα, οὔτε πρὸς ἑσπέρης τοῦ Ἀχελῴου ἐν τῇ ἐπιλοίπῳ ἠπείρῳ, ἀλλ᾽ ἐν τῇ μεταξὺ

Ἄβδηρα, τά: Abdera, 2
ἄγριος, -α, -ον: wild, fierce, 8
Ἄκανθος, ὁ: Acanthus 3
Ἀκαρνανίη, ἡ: Acarnania river, 1
ἀναγκάζω: to force, compel, require, 15
Ἄξιος, ὁ: Axius river, 2
ἀπ-έχω: to be absent, distant, keep from, 4
ἅπτω: to kindle, set afire; fasten, grasp, 4
Ἀχελῷος, ὁ: Achelous river, 2
Βοττιαίς, βοττιαίδος: (f. adj.) of Bottiaea, 2
βοῦς, ὁ: cow, 3
ἕλος, τό: a swamp, marsh, 1
ἔμ-προσθεν: before, in front; earlier, 4
ἐπί-λοιπός, -ή, -όν: the rest of, remaining, 1
ἐπι-τίθημι: to assail, attack, set upon, put on, 5
ἐπι-χειρέω: to attempt, try; experience, 1
ἑσπέρη, ἡ: evening, eve; west, 10
Εὐρώπη, ἡ: Europe, 13
Ἐχείδωρος, ὁ: Echeidorus river, 2
ἦθος, -έος, ὁ: custom; accustomed place, 4
ἠώς, ἡ: daybreak, dawn, 17
Θέρμα, ἡ: Therma, 9
Θερμαίος, -η, -ον: Thermaic, 4
θηρίον, τό: a wild animal, beast, 2
θωμάζω: wonder, marvel, (Att. θαυμάζω) 12
Ἴχναι, αἱ: Ichnae, 1
κάμηλος, ὁ: a camel, 10
κατα-φοιτάω: to come down repeatedly, 1
κεραίζω: to ravage, despoil, plunder, 1
κέρας, τό: horn, 5
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
Κρηστώναιος, -η, -ον: Crestonaean, 2
Κρηστωνικός -ή, -όν: Crestonaean, 1
λέων, -οντος, ὁ: a lion, 12
μεσό-γαιος, -η, -ον: inland, 3
μεταξύ: between, among 12
μή-τε: and not, neither…nor, 14
Μυγδόνιος, -η, -ον: Mygdonian, 3
Νέστος, ὁ: Nestus river, 3
νύξ, νυκτός, ἡ: a night, 10
οὐδαμο-θι: in no place, nowhere, 3
οὐρίζω: to divide, define, mark out, 2
οὖρος, τό: boundary, 5
Παιονικός, -ή, -όν: Paeonian, 1
Πέλλα, ἡ: Pella, 1
περι-μένω: to wait for, await, 2
πλόος, ὁ: voyage, 1
προ-λέγω: to say or order beforehand, 2
Σίνδος, ὁ: Sindus, 1
σιτο-φόρος, -ον: carrying grain/provisions, 3
στρατοπεδεύω: to encamp, take a position, 12
σφέτερος, -η, -ον: their own, their, 9
τέμνω: to cut, 4
ὑπερ-μεγάθης, -ες: exceedingly large, 1
ὑπο-ζύγιον, τό: yoked beasts, 11
φοιτάω: to go to and fro, visit, 6
Χαλέστρη, ἡ: Chalestra, 1
χωρίον, τό: place, spot, region, 14

---

1 αὐτόν: *itself*; modifies κόλπον
τῷ ναυτικῷ στρατῷ: *the fleet's*; dative of possession
2 γῆν τὴν Μυγδονίην: supply ἐς from above
πλέων: *sailing*; pres. pple
ἀπίκετο: aor. ἀπικνέομαι
3 προειρημένην: *forementioned*; pf. pass. pple προ-λέγω
5 τῆς: *whose;* gen. modifies the subj. πόλιες
τὸ παρὰ θάλασσαν: *a place along the sea*
7 αὐτοῦ *there*
8 μεταξὺ...τούτων: *between these*
περιμένων βασιλέα: *awaiting a king*
10 μεσόγαιαν τάμνων τῆς ὁδοῦ : *cutting (through) the inland road*
13 ἐξιεῖ: *issues out*; 3rd sg. pres. ἐξ-ίημι
14 ταύτῃ: *in this way*
15 οἱ: *to him*; dat. of interest
ἐπεθήκαντο: *attacked*; aor. ἐπι-τίθημι
τῇσι…καμήλοισι: dat. of compound verb
16 τὰς νύκτας: *during the nights*; duration
17 ἤθεα: *accustomed places*; i.e. lairs
ἄλλου μὲν οὐδενὸς: *nothing else*; partitive gen. object of impf. ἅπτοντο
ὑποζυγίου, ἀνθρώπου: gen. apposition
19 τὸ αἴτιον, ὅ τι…ἦν…τὸ ἀναγκάζον: *the reason that was the thing compelling…*; neuter, pres. pple, governs acc. + inf.;
τῶν ἄλλων: from…; gen. separation
20 τῇσι καμήλοισι: dat. of compound verb
τὸ...θηρίον: *which beast…*; relative adj.
21 ὀπώπεσαν: 3rd pl. plpf ὁράω (ὀπωπ)
ἐπεπειρέατο: 3rd pl. plpf (ντο → ατο)
αὐτοῦ: *there*
21 κατὰ: *throughout*
23 τῶν: *whose*; relative
τὰ...φοιτέοντα: *those (horns) coming...*
24 πρὸς τὴν ἠῶ: *to the east*; 'to the dawn'
27 ἔμπροσθε: of the nearer part of Europe
ἴδοι ἄν: *would see*; potential opt. εἶδον

127 τούτων τῶν ποταμῶν γίνονται. ὡς δὲ ἐς τὴν Θέρμην ἀπίκετο ὁ Ξέρξης, ἵδρυσε αὐτοῦ τὴν στρατιήν. ἐπέσχε δὲ ὁ στρατὸς αὐτοῦ στρατοπεδευόμενος τὴν παρὰ θάλασσαν χώρην τοσήνδε, ἀρξάμενος ἀπὸ Θέρμης πόλιος καὶ τῆς Μυγδονίης μέχρι Λυδίεώ τε ποταμοῦ καὶ Ἁλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαιίδα τε καὶ Μακεδονίδα, ἐς τώυτὸ
2 ῥέεθρον τὸ ὕδωρ συμμίσγοντες. ἐστρατοπεδεύοντο μὲν δὴ ἐν τούτοισι τοῖσι χωρίοισι οἱ βάρβαροι, τῶν δὲ καταλεχθέντων τούτων ποταμῶν ἐκ Κρηστωναίων ῥέων Ἐχείδωρος μοῦνος οὐκ ἀντέχρησε τῇ στρατιῇ πινόμενος ἀλλ᾽ ἐπέλιπε.

128 Ξέρξης δὲ ὁρῶν ἐκ τῆς Θέρμης ὄρεα τὰ Θεσσαλικά, τόν τε Ὄλυμπον καὶ τὴν Ὄσσαν, μεγάθεϊ [τε] ὑπερμήκεα ἐόντα, διὰ μέσου τε αὐτῶν αὐλῶνα στεινὸν πυνθανόμενος εἶναι, δι᾽ οὗ ῥέει ὁ Πηνειός, ἀκούων τε ταύτῃ εἶναι ὁδὸν ἐς Θεσσαλίην φέρουσαν, ἐπεθύμησε πλώσας θεήσασθαι τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ὅτι τὴν ἄνω ὁδὸν ἔμελλε ἐλᾶν διὰ Μακεδόνων τῶν κατύπερθε οἰκημένων ἔστε Περραιβοὺς παρὰ Γόννον πόλιν·
2 ταύτῃ γὰρ ἀσφαλέστατον ἐπυνθάνετο εἶναι. ὡς δὲ ἐπεθύμησε, καὶ ἐποίεε ταῦτα· ἐσβὰς ἐς Σιδωνίην νέα, ἐς τήν περ ἐσέβαινε αἰεὶ ὅκως τι ἐθέλοι τοιοῦτο ποιῆσαι, ἀνέδεξε σημήιον καὶ τοῖσι ἄλλοισι ἀνάγεσθαι, καταλιπὼν αὐτοῦ τὸν πεζὸν στρατόν. ἐπεὶ δὲ ἀπίκετο καὶ ἐθεήσατο Ξέρξης τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ἐν θώματι μεγάλῳ ἐνέσχετο, καλέσας δὲ τοὺς κατηγεμόνας τῆς ὁδοῦ εἴρετο εἰ τὸν ποταμὸν ἐστὶ παρατρέ-
129 ψαντα ἑτέρῃ ἐς θάλασσαν ἐξαγαγεῖν. τὴν δὲ Θεσσαλίην λόγος ἐστὶ τὸ παλαιὸν εἶναι λίμνην, ὥστε γε συγκεκληιμένην

αἰεί: always, forever, in every case, 17
Ἁλιάκμων, -ονος, τό: Haliacmon river, 1
ἀν-άγω: to lead up, put to sea, 11
ἀνα-δείκνυμι: to lift up and show, 1
ἀντι-χράω: be sufficient, 2
ἀ-σφαλής, -ές: not liable to fall, safe, secure 1
αὐλών, -ονος, ὁ: hollow, gorge, defile, 5
Ἐχείδωρος, ὁ: Echeidorus river, 2
Βοττιαίς, βοττιαίδος: (f. adj.) of Bottiaea, 2
Γόννος, -οῦ, ὁ: Gonnus river, 2
ἐκ-βολή, ἡ: outlet, throwing out, 5
ἐν-έχω: to hold fast, cling fast, 1
ἐξ-άγω: to lead out, draw out, 4
ἐπι-θυμέω: to desire, long for, 4
ἐπι-λείπω: to fail, run dry; leave behind, 5
ἐπ-ίσχω: to wait; hold on, direct to (**ἐπ-έχω**) 6
ἐσ-βαίνω: to go into, enter, 3
ἔστε: until; as long as (ἔσ-οτε) 12
Θέρμα, ἡ: Therma, 9
Θεσσαλίη, ἡ: Thessaly, 19
Θεσσαλικός, -ή, -όν: Thessalian, 1
θῶμα, -ατος, τό: wonder, amazement, 11
ἱδρύω: to (make) sit, settle, establish, 4
κατα-λέγω: pick, recount, 14
κατα-λείπω: to leave behind, 9
κατ-ηγεμών, -όνος, ὁ: guide, leader, 2
κατ-ύπερθε: from above, above, on top, 5
Κρηστώναιος, -η, -ον: Crestonaean, 2
λίμνη, ἡ: pool, marshy lake, basin, 9
Λύδιας, -εως, ὁ: Lydias river, 1
Μακεδονίς, -ίδος: (fem. adj.) Macedonian, 1
Μακεδών, -όνος, ο, ἡ: a Macedonian, 6
μέγαθος, τό: size, magnitude, size, height, 8
μέχρι: up to; until, as long as (+ gen.), 16
Μυγδόνιος, -η, -ον: Mygdonian, 3
Ὀλύμπος, ὁ: Olympus, 4
Ὄσσα, ἡ: Mount Ossa, 3
οὐρίζω: to divide, define, mark out, 2
παλαιός, -ή, -όν: old in years, old, aged, 17
παρα-τρέπω: to turn aside, avert, 3
Περραιβοί, οἱ: Perraebians, 5
Πηνειός, ὁ: Peneus river, 9
πίνω: to drink, 4
ῥέεθρον, τό: river, stream, channel, 7
σημῆιον, τό: a sign, a mark (on a shield), 1
Σιδώνιος, -η, -ον: Sidonian, of Sidon, 6
στρατοπεδεύω: to encamp, take a position, 12
συγ-κλήιω: to shut up, shut off, enclose, 2
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
τοσόσδε, -ήδε, -όνδε: so great or much/many 8
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπερ-μήκης, -ες: exceedingly long or tall, 2
χωρίον, τό: place, spot, region, 14
ὥστε: so that, that, so as to, 18

---

1 **ὡς**: *when*; temporal
ἀπίκετο: aor. ἀπικνέομαι
αὐτοῦ: *there*
3 **ἐπέσχε**: aor. ἐπ-ίσχω
4 **πόλιος**: *city;* gen. πόλις
οἳ: *which*; the rivers are antecedent
5 **τὠυτὸ**: *the same*; Att. ταὐτὸ = τὸ αὐτὸ
8 **τῶν…ποταμῶν**: gen. abs., aor. pass. pple καταλέγω
10 **τῇ στρατιῇ**: *for…*; dat. of interest
ἐπέλιπε: aor. ἐπι-λείπω
11 **ὁρῶν**: pres. pple ὁράω
ὄρεα: *mountains*; neuter pl.
12 **τόν τε…Ὄσσαν**: in apposition to ὄρεα
μεγάθεϊ: *in size*; dat. of respect
13 **αὐλῶνα**: acc. subject of inf. εἶναι
δι᾽ οὗ: *through which*
14 **ταύτῃ**: *in this way, by this way*
15 **φέρουσαν**: *carrying*; i.e. leading; pres. pple
πλώσας: nom. sg. aor. pple. πλέω
θεήσασθαι: aor. inf. θηέομαι
16 **ὅτι**: *because*
τὴν ἄνω ὁδὸν: *the upper road*
ἐλᾶν: fut. inf. ἐλαύνω
17 **κατύπερθε**: *dwelling on top*
τὴν ἄνω ὁδὸν: *the upper road*
ταύτῃ: *by this way*
18 **εἶναι**: *it was*; i.e. the road, inf. εἰμί
19 **ὡς…**: *just as*
ἐσβὰς: nom. sg. aor. pple. εἰμι
νέα: *ship*; acc. sg.
ἐς τήν περ: *onto which very (one)*
20 **ὅκως**: *whenever*; + opt., general temporal
ποιῆσαι: aor. inf. ποιέω
ἀνέδεξε: aor. ἀναδείκνυμι
21 **τοῖσι ἄλλοισι**: *for the others*; dat. interest
ἀνάγεσθαι: *to put to sea*; aor. inf. purpose
αὐτοῦ: *his*; gen. of possesion
22 **ἐθεήσατο**: aor. mid. θηέομαι
23 **ἐνέσχετο**: *he was held in*; aor. mid. ἐνέχω
24 **εἴρετο**: *he asked*; impf. εἴρομαι
ἐστί: *it is possible*
25 **ἑτέρῃ**: *by a different (way)*; add fem. ὁδῷ
26 **λόγος ἐστὶ**: *the story is that long ago…*

πάντοθεν ὑπερμήκεσι ὄρεσι. τὰ μὲν γὰρ αὐτῆς πρὸς τὴν ἠῶ ἔχοντα τό τε Πήλιον ὄρος καὶ ἡ Ὄσσα ἀποκληίει συμμίσγοντα τὰς ὑπωρείας ἀλλήλοισι, τὰ δὲ πρὸς βορέω ἀνέμου Ὄλυμπος, τὰ δὲ πρὸς ἑσπέρην Πίνδος, τὰ δὲ πρὸς μεσαμβρίην τε καὶ ἄνεμον νότον ἡ Ὄθρυς· τὸ μέσον δὲ τούτων τῶν λεχθέντων ὀρέων ἡ Θεσσαλίη ἐστὶ ἐοῦσα κοίλη.
2 ὥστε ὦν ποταμῶν ἐς αὐτὴν καὶ ἄλλων συχνῶν ἐσβαλλόντων, πέντε δὲ τῶν δοκίμων μάλιστα τῶνδε, Πηνειοῦ καὶ Ἀπιδανοῦ καὶ Ὀνοχώνου καὶ Ἐνιπέος καὶ Παμίσου, οἳ μέν νυν ἐς τὸ πεδίον τοῦτο συλλεγόμενοι ἐκ τῶν ὀρέων τῶν περικληιόντων τὴν Θεσσαλίην ὀνομαζόμενοι δι᾽ ἑνὸς αὐλῶνος καὶ τούτου στεινοῦ ἔκροον ἔχουσι ἐς θάλασσαν, προσυμμίσγοντες τὸ
3 ὕδωρ πάντες ἐς τὠυτό· ἐπεὰν δὲ συμμιχθέωσι τάχιστα, ἐνθεῦτεν ἤδη ὁ Πηνειὸς τῷ οὐνόματι κατακρατέων ἀνωνύμους τοὺς ἄλλους εἶναι ποιέει. τὸ δὲ παλαιὸν λέγεται, οὐκ ἐόντος κω τοῦ αὐλῶνος καὶ διεκρόου τούτου, τοὺς ποταμοὺς τούτους, καὶ πρὸς τοῖσι ποταμοῖσι τούτοισι τὴν Βοιβηίδα λίμνην, οὔτε ὀνομάζεσθαι κατά περ νῦν ῥέειν τε οὐδὲν ἧσσον ἢ νῦν,
4 ῥέοντας δὲ ποιέειν τὴν Θεσσαλίην πᾶσαν πέλαγος. αὐτοὶ μέν νυν Θεσσαλοί φασι Ποσειδέωνα ποιῆσαι τὸν αὐλῶνα δι᾽ οὗ ῥέει ὁ Πηνειός, οἰκότα λέγοντες· ὅστις γὰρ νομίζει Ποσειδέωνα τὴν γῆν σείειν καὶ τὰ διεστεῶτα ὑπὸ σεισμοῦ τοῦ θεοῦ τούτου ἔργα εἶναι, καὶ ἂν ἐκεῖνο ἰδὼν φαίη Ποσειδέωνα ποιῆσαι· ἔστι γὰρ σεισμοῦ ἔργον, ὡς ἐμοὶ φαίνεται εἶναι, ἡ διάστασις τῶν ὀρέων.

130 οἱ δὲ κατηγεόμενοι, εἰρομένου Ξέρξεω εἰ ἔστι ἄλλη ἔξοδος ἐς θάλασσαν τῷ Πηνειῷ, ἐξεπιστάμενοι ἀτρεκέως εἶπον· ‘Βασιλεῦ, ποταμῷ τούτῳ οὐκ ἔστι ἄλλη ἐξήλυσις ἐς θάλασσαν

ἀλλήλος, -η, -ον: one another, 8
ἀν-ώνυμος, -ον: nameless, without a name, 1
ἀπο-κλήίω: to shut off or away from, 1
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
αὐλών, -ονος, ὁ: hollow, gorge, defile, 5
βοιβηίς, -ίδος: (fem. adj.) Boebaen, 1
βορέης, -εω, ὁ: North wind, 8
διά-στασις, -εως, ἡ: separation, 1
δι-έκ-ροος, ὁ: discharge channel, 1
δι-ίστημι: to stand apart, separate, divide, 1
δόκιμος, -ον: notable, famous, worthy, 9
ἔκ-ροος, ὁ: discharge, outflow, flowing out, 1
ἐνθεῦτεν: from here, from there (ἐντεῦθεν) 12
Ἐνιπέυς, -έος, ὁ: Enipeus river, 1
ἐξ-επίσταμαι: to know thoroughly, 5
ἐξ-ήλυσις, ὁ: outlet, a way out, 1
ἔξ-οδος, ἡ: exit, way out, outlet, 4
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἔργον, τό: work, task, deed, act, 12
ἐσ-βάλλω: throw or put into; put on board 11
ἑσπέρη, ἡ: evening, eve; west, 10
Ἠπιδανός, ὁ: Apidanus river, 2
ἥσσων, -ον: less, weaker, inferior, 5
ἠώς, ἡ: daybreak, dawn, 17
Θεσσαλίη, ἡ: Thessaly, 19
Θεσσαλοί, οἱ: the Thessalians, 12
κατα-κρατέω: to prevail over overpower, 2
κατ-ηγέομαι: to lead the way, guide; explain 4
κοίλη, ἡ: vale, valley, hollow, 2
λίμνη, ἡ: pool, marshy lake, basin, 9
μεσημβρίη, ἡ: mid-day, noon; south, 6
νομίζω: believe, consider; be accustomed, 16
νότος, ὁ: south wind, south, 7
Ὄθρυς, ἡ: Mount Othrys, 1
Ὀλύμπος, ὁ: Olympus, 4
Ὀνόχωνος, ὁ: Onochonus river, 2
Ὄσσα, ἡ: Mount Ossa, 3
παλαιός, -ή, -όν: old in years, old, aged, 17
Παμίσος, ὁ: Pamisus river, 1
πάντ-οθεν: from every side, from all sides, 2
πέλαγος, -εος, τό: the sea, 5
πέντε: five, 8
περι-κλήίω: to shut in around, 3
Πήλιον, τό: Mount Pelion, 2
Πηνειός, ὁ: Peneus river, 9
Πίνδος, ὁ: Mount Pindus, 1
Ποσειδέων, -έωνος ὁ: Poseidon, (Att. -δῶν) 4
προ-συμ-μίγνυμι: to mix together first, 1
σεισμός, ὁ: a shaking; shock, 2
σείω: to shake, agitate, make quake, 1
συλ-λέγω: to collect, gather, 10
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
συχνός, -ή, -όν: long, much, many, great, 8
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπερ-μήκης, -ες: exceedingly long or tall, 2
ὑπ-ώρειη, ἡ: base or foot (of a mountain), 2
ὥστε: so that, that, so as to, 18

---

1 ὑπερμήκεσι ὄρεσι: dat. of means
τὰ μὲν…τὰ δὲ: *those (mountains) extending to the east…those to the north…*; add ὄρεα
2 τό τε Πήλιον…Ὄσσα: nom. apposition
3 συμμίγοντα…ἀλλήλοισι: *joining with one another…*; modifies Πήλιον and Ὄσσα
πρὸς Βορέω ἀνέμου: gen. see note l. 1
4 Ὄλυμπος: supply from above ἀποκληίει
τὰ δὲ πρὸς ἑσπέρην: *those (mountains)*; l. 1
Πίνδος: supply from above ἀποκληίει
5 μεσαμβρίην: directional, not temporal
ἡ Ὄθρυς: supply from above ἀποκληίει
τὸ μέσον: *in the middle*
6 λεχθέντων: *mentioned*; aor. pass. λέγω
7 ἐς αὐτὴν: *to the same (place);* χώρην
8 πέντε…τῶνδε: *five of the most notable (are) the following*; gen. abs.
9 οἳ μέν: *who…*
10 συλλεγόμενοι: *gathering*; i.e. flowing
11 δι᾽ ἑνὸς αὐλῶνος…στεινοῦ: *through this one narrow gorge*
13 τὠυτὸ: *the same (place)*; Att. τὸ αὐτὸ
συμμιχθέωσι: 3rd pl. aor. pass.
14 τῷ οὐνόματι κατακρατέων: *prevailing in name*; dat. of respect, pres. pple
ἀνωνύμους: acc. predicate of inf. εἰμί
15 τὸ δὲ παλαιὸν: adverbial acc.
λέγεται: *it is said*; pres. pass.
ἐόντος: gen. abs., pple εἰμί
16 τοὺς ποταμοὺς…λίμνην: acc. subject
πρὸς: *in addition*; + dat.
18 κατά περ: *just as*
οὐδὲν ἧσσον: *no less*; acc. extent of degree
οἰκότα: *reasonable (things)*; neut. acc. pl.
20 ποιῆσαι: aor. inf. ποιέω
22 διεστεῶτα: *rifts*; 'standing apart,' pf. pple
23 ἂν φαίη: *one…would say* potent. opt. φημί
ἰδὼν: nom. sg. aor. pple εἶδον15
26 εἰρομένου Ξέρξεω: gen. abs., pple εἴρομαι
28 ποταμῷ τούτῳ: dat. of possession

κατήκουσα, ἀλλ᾽ ἥδε αὐτή· ὄρεσι γὰρ περιεστεφάνωται πᾶσα Θεσσαλίη.᾽ Ξέρξην δὲ λέγεται εἰπεῖν πρὸς ταῦτα· ‘Σοφοὶ ἄνδρες εἰσὶ Θεσσαλοί. ταῦτ᾽ ἄρα πρὸ πολλοῦ ἐφυλάξαντο γνωσιμαχέοντες καὶ τἆλλα καὶ ὅτι χώρην ἄρα εἶχον εὐαίρετόν τε καὶ ταχυάλωτον. τὸν γὰρ ποταμὸν πρῆγμα ἂν ἦν μοῦνον ἐπεῖναι σφέων ἐπὶ τὴν χώρην, χώματι ἐκ τοῦ αὐλῶνος ἐκβιβάσαντα καὶ παρατρέψαντα δι᾽ ὧν νῦν ῥέει ῥεέθρων, ὥστε Θεσσαλίην πᾶσαν ἔξω τῶν ὀρέων ὑπόβρυχα γενέσθαι.᾽ ταῦτα δὲ ἔχοντα ἔλεγε ἐς τοὺς Ἀλεύεω παῖδας, ὅτι πρῶτοι Ἑλλήνων ἐόντες Θεσσαλοὶ ἔδοσαν ἑωυτοὺς βασιλέϊ, δοκέων ὁ Ξέρξης ἀπὸ παντός σφεας τοῦ ἔθνεος ἐπαγγέλλεσθαι φιλίην. εἴπας δὲ ταῦτα καὶ θεησάμενος ἀπέπλεε ἐς τὴν Θέρμην.

131 Ὁ μὲν δὴ περὶ Πιερίην διέτριβε ἡμέρας συχνάς· τὸ γὰρ δὴ ὄρος τὸ Μακεδονικὸν ἔκειρε τῆς στρατιῆς τριτημορίς, ἵνα ταύτῃ διεξίῃ ἅπασα ἡ στρατιὴ ἐς Περραιβούς. οἱ δὲ δὴ κήρυκες οἱ ἀποπεμφθέντες ἐς τὴν Ἑλλάδα ἐπὶ γῆς αἴτησιν
132 ἀπίκατο οἳ μὲν κεινοί, οἳ δὲ φέροντες γῆν τε καὶ ὕδωρ. τῶν δὲ δόντων ταῦτα ἐγένοντο οἵδε, Θεσσαλοὶ, Δόλοπες, Ἐνιῆνες, Περραιβοὶ, Λοκροὶ, Μάγνητες, Μηλιέες, Ἀχαιοὶ οἱ Φθιῶται καὶ Θηβαῖοι καὶ οἱ ἄλλοι Βοιωτοὶ πλὴν Θεσπιέων τε καὶ Πλαταιέων. ἐπὶ τούτοισι οἱ Ἕλληνες ἔταμον ὅρκιον οἱ τῷ βαρβάρῳ πόλεμον ἀειράμενοι. τὸ δὲ ὅρκιον ὧδε εἶχε, ὅσοι τῷ Πέρσῃ ἔδοσαν σφέας αὐτοὺς Ἕλληνες ἐόντες μὴ ἀναγκασθέντες, καταστάντων σφι εὖ τῶν πρηγμάτων, τούτους δεκατεῦσαι τῷ ἐν Δελφοῖσι θεῷ. τὸ μὲν δὴ ὅρκιον ὧδε
133 εἶχε τοῖσι Ἕλλησι. ἐς δὲ Ἀθήνας καὶ Σπάρτην οὐκ ἀπέπεμψε Ξέρξης ἐπὶ γῆς αἴτησιν κήρυκας τῶνδε εἵνεκα· πρό-

ἀείρω: lift, raise up; set in motion, (αἴρω) 2
Ἀθῆναι, αἱ: Athens, 13
αἴτησις, -εως, ἡ: a request, demand, 3
Ἀλευής, -έω: Aleues (male) 1
ἀναγκάζω: to force, compel, require, 15
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀπο-πλώω: to sail away, sail off, 4
Ἀχαίοι, οἱ: the Achaeans, 6
αὐλών, -ονος, ὁ: hollow, gorge, defile, 5
Βοιωτοί οἱ: the Boeotians, 2
γνωσι-μαχέω: to change one's opinion 1
δεκατεύω: to make pay a tenth, tithe, 1
Δελφοί, οἱ: Delphi (town) 12
δια-τρίβω: to pass time, consume, spend, 2
δι-εξ-έρχομαι: to go through; recount, 10
Δόλοπες, οἱ: the Dolopes, 2
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-βιβάζω: to make go out; make step out, 1
Ἐνιῆνες, οἱ: the Enienes, 3
ἐπ-αγγέλλω : to tell, proclaim, announce, 8
ἐπ-ίημι: to send to, let upon, permit, allow, 3
εὐ-αίρετος,'-ον: easy to be taken, 1
Θέρμα, ἡ: Therma, 9
Θεσπιέες, οἱ: the Thespians, 6
Θεσσαλίη, ἡ: Thessaly, 19
Θεσσαλοί, οἱ: the Thessalians, 12
Θηβαῖοι, οἱ: the Theban, 6
κατ-ήκω: to have come down; be fitting, 6
κατ-ίστημι: set down; appoint, establish, 18
κείρω: to shear (off), cut down, 4
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
Λοκροί, οἱ: the Locrians, 3
Μάγνης, -νητος, ὁ: a Magnesian, 3
Μακεδονικός, -ή, -όν: Macedonian, 1
Μηλιέες, οἱ: the Malians, 7
ὅρκιον, το: oath, 6
παρα-τρέπω: to turn aside, avert, 3
περι-στέφανόω: to be put round as a crown, 2
Περραιβοί, οἱ: Perraebians, 5
Πιερίη, ἡ: Pieria (town), 2
Πλαταιέες, οἱ: the Plataeans, 3
ῥέεθρον, τό: river, stream, channel, 7
σοφός, -ή, -όν: wise, skilled, 4
Σπάρτη, ἡ: Sparta, 16
συχνός, -ή, -όν: long, much, many, great, 8
ταχυ-άλωτος, -ον: quickly conquered, 1
τέμνω: to cut; cut (in a sacrifice) 4
τριτη-μορίς, ἡ: a third part, 2
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπό-βρυχα: under water, 2
Φθιῶται, οἱ: the Phthiotains, of Phthia, 1
φιλίη, ἡ: friendship, affection, love, 7
χῶμα, τό: dam, mound, earth thrown up, 1
ὧδε: in this way, so, thus, 17
ὥστε: so that, that, so as to, 18

---

1 κατήκουσα: *by high mountains*; dat. of means
ἥδε αὐτή: *but this itself*; i.e. this alone
ὄρεσι: dat. of means, ὄρος
περιεστεφάνωται: 3rd sg. pf. pass.
2 λέγεται*: it is said that…;*
3 εἰσὶ: 3rd pl. pres. εἰμί
πρὸ πολλοῦ (χρόνου): *a long time before*
ταῦτ'…ἐφυλάξαντο: *they were guarding (against) these things*
4 καὶ τἆλλα καὶ: *especially*; 'both the rest and,' crasis τὰ ἄλλα
ὅτι: *because*
εἶχον: 3rd pl. impf. ἔχω
5 πρῆγμα ἂν ἦν μοῦνον: *it would only be necessary*; an + impf. εἰμί expresses past potential; πρῆγμα εἰμί is idiomatic; adverbial acc.
6 ἐπεῖναι: *to send…over*; ἐπίημι
σφέων: *their*; modifies χώρην
7 δι' ὧν…ῥεέθρων: *through which channels*
ὀρέων: gen. pl. ὄρος
9 ἔχοντα…ἐς: *with regard to…;* 'pointing to,' modifies ταῦτα, acc. object of ἔλεγε
10 ἔδοσαν ἑωυτοὺς: *handed themselves over*; i.e. surrendered, 3rd pl. aor. δίδωμι
δοκέων: *thinking that*; pres. pple δοκέω
11 απὸ παντός ἔθνεος: *from the entire nation*
12 εἴπας: nom. sg. 1st aor. pple εἶπον
ἀπέπλεε: impf. ἀπο-πλέω
14 Ὁ μὲν: *and he*; i.e. Xerxes
15 ἔκειρε: *cut a path over*; 'cut short'
16 ταύτῃ: *this way*; by this way'
διεξίῃ: 3rd sg. pres. subj. δι-εξ-έρχομαι
17 ἀποπεμφθέντες: aor. pass .pple
ἐπὶ γῆς: *for land*
οἳ μὲν…οἳ δὲ: *some…others…*
19 δόντων: *of those giving…*; pple δίδωμι
22 ἐπὶ τούτοισι: *on these (conditions)*
23 ὧδε εἶχε: *was the following*; ἔχω + adv.
24 ἔδοσαν: 3rd pl. aor. δίδωμι
25 πρηγμάτων: *matters turning out*; gen abs.

τερον Δαρείου πέμψαντος ἐπ᾽ αὐτὸ τοῦτο, οἳ μὲν αὐτῶν τοὺς αἰτέοντας ἐς τὸ βάραθρον οἳ δ᾽ ἐς φρέαρ ἐμβαλόντες ἐκέλευον γῆν τε καὶ ὕδωρ ἐκ τούτων φέρειν παρὰ βασιλέα.
2 τούτων μὲν εἵνεκα οὐκ ἔπεμψε Ξέρξης τοὺς αἰτήσοντας· ὅ τι δὲ τοῖσι Ἀθηναίοισι ταῦτα ποιήσασι τοὺς κήρυκας συνήνεικε ἀνεθέλητον γενέσθαι, οὐκ ἔχω εἰπαί, πλὴν ὅτι σφέων ἡ χώρη καὶ ἡ πόλις ἐδηιώθη. ἀλλὰ τοῦτο οὐ διὰ
134 ταύτην τὴν αἰτίην δοκέω γενέσθαι. τοῖσι δὲ ὦν Λακεδαιμονίοισι μῆνις κατέσκηψε Ταλθυβίου τοῦ Ἀγαμέμνονος κήρυκος. ἐν γὰρ Σπάρτῃ ἐστὶ Ταλθυβίου ἱρόν, εἰσὶ δὲ καὶ ἀπόγονοι [Ταλθυβίου] Ταλθυβιάδαι καλεόμενοι, τοῖσι
2 αἱ κηρυκηίαι αἱ ἐκ Σπάρτης πᾶσαι γέρας δέδονται. μετὰ δὲ ταῦτα τοῖσι Σπαρτιήτῃσι καλλιερῆσαι θυομένοισι οὐκ ἐδύνατο· τοῦτο δ᾽ ἐπὶ χρόνον συχνὸν ἦν σφι. ἀχθομένων δὲ καὶ συμφορῇ χρεωμένων Λακεδαιμονίων, ἁλίης τε πολλάκις συλλεγομένης καὶ κήρυγμα τοιόνδε ποιευμένων, εἴ τις βούλοιτο Λακεδαιμονίων πρὸ τῆς Σπάρτης ἀποθνήσκειν, Σπερθίης τε ὁ Ἀνηρίστου καὶ Βοῦλις ὁ Νικόλεω, ἄνδρες Σπαρτιῆται φύσι τε γεγονότες εὖ καὶ χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα, ἐθελονταὶ ὑπέδυσαν ποινὴν τείσειν Ξέρξῃ τῶν
3 Δαρείου κηρύκων τῶν ἐν Σπάρτῃ ἀπολομένων. οὕτω Σπαρτιῆται τούτους ὡς ἀποθανευμένους ἐς Μήδους ἀπέπεμψαν.
135 αὕτη τε ἡ τόλμα τούτων τῶν ἀνδρῶν θώματος ἀξίη καὶ τάδε πρὸς τούτοισι τὰ ἔπεα. πορευόμενοι γὰρ ἐς Σοῦσα ἀπικνέονται παρὰ Ὑδάρνεα· ὁ δὲ Ὑδάρνης ἦν μὲν γένος Πέρσης, στρατηγὸς δὲ τῶν παραθαλασσίων ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ· ὅς σφεας ξείνια προθέμενος ἱστία, ξεινίζων δὲ

Ἀγαμέμνων, -ονος ὁ: Agamemnon, 2
αἰτέω: to ask, ask for, beg, 16
αἰτίη, ἡ: cause, responsibility, blame, 13
ἁλίη, ἡ: assembly of the people, 7
ἀν-εθέλητος, -ον: unwished for, unwelcome, 2
ἀν-ήκω: to have come up, have reached, 7
Ἀνηρίστος, ὁ: Aneristus, 2
ἀπό-γονος, -ον: descendents, born from, 9
Ἀσίη, ἡ: Asia, 17
ἄχθομαι: to be annoyed, vexed, 1
βάρατρον, τό: the Pit, 1
Βοῦλις, ὁ: Bulis, 1
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
γέρας, ὁ: a gift of honor, 5
δηιόω: to waste, ravage; cut down, 1
δύναμαι: to be able, can, be capable, 13
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐθελοντής, ὁ: volunteer, 6
ἐμ-βάλλω: to throw in, put in, 4
εὖ: well, 20
θῶμα, -ατος, τό: wonder, amazement, 11
ἱστιάω: to entertain, serve a feast (ἑστιάω) 1
καλλιερέω: to sacrifice with good omens, 3
κατα-σκήπτω: to rush down, fall upon, 2
κήρυγμα, -ματος, τό: proclamation, 2
κηρυκήη, ἡ: embassy, office of the herald, 1
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
Μῆδος, ὁ: Mede, Median, 13
μῆνις, ἡ: wrath (often of the gods), 8
Νικόλας, -εω, ὁ: Nicolas, 2
ξείνια, τά: gifts of hospitality, hospitality, 3
ξεινίζω: to entertain (as a guest-friend) 3
παρα-θαλάσσιος, -η, -ον: by the sea, 2
ποινή, ἡ: expiation, penalty, price, 2
πολλάκις: many times, often, frequently, 2
προ-τίθημι: to set out, appoint, propose, 4
Σοῦσα, τά: Susa, 8
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 19
Σπερθίης, ὁ: Sperthias, 3
συλ-λέγω: to collect, gather, 10
συμ-φέρω: to gather; happens, be expedient, 6
συχνός, -ή, -όν: long, much, many, great, 8
Ταλθυβιάδαι, οἱ: the Talthybiadae, 1
Ταλθύβιος, -ου, ὁ: Talthybius, 3
τίνω: to pay; *mid*. make pay, punish, 22
τόλμα, -ατος, τό: daring, boldness, courage 1
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπό-δύω: to undergo; go under, plunge 1
φρέαρ, τό: a well, 1
φύσις, -εως ὁ: nature, property, quality 3

---

1 **ἐπ᾽ αὐτὸ τοῦτο**: *by high mountains*
οἳ μὲν…οἳ δ᾽: *some…others*
αὐτῶν: *of them*; of the Greeks
τοὺς αἰτέοντας: *those requesting*; i.e. emissaries asking for earth and water
3 **παρὰ βασιλέα**: *to the king*
4 **αἰτήσοντας**: fut. pple αἰτέω
ὅ τι… συνήνεικε ἀνεθέλητον: *what unpleasantness happened..*; aor. συμφέρω
5 **ποιήσασι**: dat. pl. aor. pple ποιέω modifies Ἀθηναίοισι , dat. pl. of interest
6 **ἔχω**: *I am able*; as often with an inf..
εἶπαι: 1st aor. inf. εἶπον
7 **ἐδηιώθη**: 3rd sg. aor. pass. δηιόω
τοῦτο: *that this…*; acc. subject
8 **τόῖσι…Λακεδαιμονίοισι**: upon…; dat. of compound verb; aor. κατέσκηψε
9 **Ταλθυβίου**: subjective gen. of μῆνις
τοῦ..κήρυκος: gen. apposition
10 **ἱρόν**: *temple*
εἰσὶ: *there are*
11 **τοῖσι**: *to whom*; relative, dat. i.o.
γέρας: *as a privilege*
12 **δέδονται**: 3rd pl. pf. pass. δίδωμι
καλλιερῆσαι: aor. inf. καλλιερέω
θυομένοισι: (*while) sacrificing*
14 **ἐδύνατο**: *it was not possible*; impers. impf.
ἐπὶ χρόνον συχνὸν: *over a long time*
ἦν: *was (the case);* 3rd sg. impf. εἰμί
15 **χρεωμένων**: experiencing; + dat., gen. pl. pple, χράομαι in a gen. absolute
16 **κήρυγμα…ποιευμένων**: gen. abs., supply the noun λακεδαιμονίων from above
εἴ τις βούλοιτο…: *if one should wish…;* i.e. in the hopes that…; opt. of wish
πρὸ: *on behalf of*
18 **ἄνδρες**: appositive to Σπερθίης βοῦλις
19 **φύσι**: *in birth*; dat. of respect
γεγονότες: pf. act. pple γίνομαι 'be born'
χρήμασι: *in wealth*; dat. pl. of respect
ἐς τὰ πρῶτα: *to the highest (degree)*
τείσειν: fut. inf. τίνω
22 **ὡς**: ὡς + fut. pple expresses purpose
25 **γένος**: *by race*; acc. of respect
27 **προθέμενος**: aor. προτίθημι + double acc.
ἱστία: ἱστίαε, 3rd sg. impf. ἱστιάω

2 εἴρετο [λέγων] τάδε. Ἄνδρες Λακεδαιμόνιοι, τί δὴ φεύγετε 1
βασιλέϊ φίλοι γενέσθαι; ὁρᾶτε γὰρ ὡς ἐπίσταται βασιλεὺς
ἄνδρας ἀγαθοὺς τιμᾶν, ἐς ἐμέ τε καὶ τὰ ἐμὰ πρήγματα ἀπο-
βλέποντες. οὕτω δὲ καὶ ὑμεῖς εἰ δοίητε ὑμέας αὐτοὺς βασιλέϊ,
(δεδόξωσθε γὰρ πρὸς αὐτοῦ ἄνδρες εἶναι ἀγαθοί), ἕκαστος ἂν 5
3 ὑμέων ἄρχοι γῆς Ἑλλάδος δόντος βασιλέος.' πρὸς ταῦτα
ὑπεκρίναντο τάδε. Ὕδαρνες, οὐκ ἐξ ἴσου γίνεται ἡ συμβουλίη
ἡ ἐς ἡμέας τείνουσα. τοῦ μὲν γὰρ πεπειρημένος συμβου-
λεύεις, τοῦ δὲ ἄπειρος ἐών· τὸ μὲν γὰρ δοῦλος εἶναι ἐξε-
πίστεαι, ἐλευθερίης δὲ οὔκω ἐπειρήθης, οὔτ' εἰ ἔστι γλυκὺ 10
οὔτ' εἰ μή. εἰ γὰρ αὐτῆς πειρήσαιο, οὐκ ἂν δόρασι συμ-
βουλεύοις ἡμῖν περὶ αὐτῆς μάχεσθαι, ἀλλὰ καὶ πελέκεσι.'
136 ταῦτα μὲν Ὑδάρνεα ἀμείψαντο. ἐνθεῦτεν δὲ ὡς ἀνέβησαν ἐς
Σοῦσα καὶ βασιλέϊ ἐς ὄψιν ἦλθον, πρῶτα μὲν τῶν δορυφόρων
κελευόντων καὶ ἀνάγκην σφι προσφερόντων προσκυνέειν 15
βασιλέα προσπίπτοντας οὐκ ἔφασαν ὠθεόμενοι ὑπ' αὐτῶν
ἐπὶ κεφαλὴν ποιήσειν ταῦτα οὐδαμά· οὔτε γὰρ σφίσι ἐν
νόμῳ εἶναι ἄνθρωπον προσκυνέειν οὔτε κατὰ ταῦτα ἥκειν.
ὡς δὲ ἀπεμαχέσαντο τοῦτο, δεύτερά σφι λέγουσι τάδε καὶ
2 λόγου τοιοῦδε ἐχόμενα Ὦ βασιλεῦ Μήδων, ἔπεμψαν ἡμέας 20
Λακεδαιμόνιοι ἀντὶ τῶν ἐν Σπάρτῃ ἀπολομένων κηρύκων
ποινὴν ἐκείνων τείσοντας,' λέγουσι δὲ αὐτοῖσι ταῦτα Ξέρξης
ὑπὸ μεγαλοφροσύνης οὐκ ἔφη ὅμοιος ἔσεσθαι Λακεδαι-
μονίοισι· κείνους μὲν γὰρ συγχέαι τὰ πάντων ἀνθρώπων
νόμιμα ἀποκτείναντας κήρυκας, αὐτὸς δὲ τὰ ἐκείνοισι ἐπι- 25
πλήσσει ταῦτα οὐ ποιήσειν, οὐδὲ ἀνταποκτείνας ἐκείνους
136 ἀπολύσειν Λακεδαιμονίους τῆς αἰτίης. οὕτω ἡ Ταλθυβίου

αἰτίη, ἡ: cause, responsibility, blame, 13
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀνα-βαίνω: to go up, climb, mount, 12
ἀντ-απο-κτείνω: to kill in return, 1
ἄ-πειρος, -ον: ignorant, inexperienced, 2
ἀπο-βλέπω: to look away to, look, gaze, 1
ἀπο-κτείνω: to kill, slay, 3
ἀπο-λύω: to loosen from, release, 1
ἀπο-μάχομαι: to fight off, decline, 1
γλυκύς, ύ: sweet, pleasant, 2
δοκόω: to have the character of being, 1
δόρυ, δόρατος, τό: shaft of a spear, spear, 5
δορυ-φόρος, ὁ: bodyguard, spear-bearer, 10
ἐλευθερίη, ἡ: freedom, liberty, 4
ἐνθεῦτεν: from here, from there (**ἐντεῦθεν**) 12
ἐξ-επίσταμαι: to know thoroughly, 5
ἐπι-πλήσσω: to chastise, censure; strike at, 1
ἥκω: to have come, be present, 10
ἴσος, -η, -ον: equal, like; balanced, 15
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
μεγαλο-φροσύνη, ἡ: magnanimity, 2
Μήδος, ὁ: Mede, Median, 13
νόμιμος, -η, -ον: customary, established ,1
οὔ-κω: not yet, 2
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
πέλεκυς, -εος, ὁ: axe, 1
ποινή, ἡ: expiation, penalty, price, 2
προσ-κυνέω: to fall and show obeisance, 3
προσ-πίπτω: to fall upon, befall, 2
προσ-φέρω: to bring to, apply to, 4
Σοῦσα, τά: Susa, 8
Σπάρτη, ἡ: Sparta, 16
συγ-χέω: to confound, demolish, confuse, 3
συμ-βουλεύω: advise, deliberate together, 16
συμ-βουλίη, ἡ: counsel, advise given, 3
Ταλθύβιος, -ου, ὁ: Talthybius, 3
τείνω: to stretch out, extend, 3
τιμάω: to honour, value, esteem, 19
τίνω: to pay; *mid*. make pay, punish, 22
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
ὑπο-κρίνομαι: to answer, reply, respond, 8
φεύγω: to flee, escape; avoid, 18
φίλος, -η, -ον: dear, beloved; *subst*. friend, 15
ὠθέω: to push, thrust, 2

---

1 **εἴρετο**: *asked*; impf. εἴρομαι
τί δὴ: *why exactly…*
ὁρᾶτε: 2nd pl. pres., not an imperative
emissaries asking for earth and water
2 **ἐπίσταται**: *knows how*; + inf. τιμάω
3 **ἀποβλέπτονες**: *looking upon…*
4 **εἰ δοίητε…ἂν ἄρχοι**: *if you should give, you would rule*; future less vivid (εἰ aor. opt., ἄν + opt.), δίδωμι
ὑμέας αὐτοὺς: *yourselves*; reflexive
5 **δεδόξωσθε**: 2nd pl. pf. mid. δοκόω
δόντος βασιλέος: aor. pple. δίδωμι
7 **ἐξ ἴσου**: *out of fair(ness);* i.e. fairly
8 **τοῦ μὲν**: *part (of the advice)*; obj. of pple
πεπειρημένος: *having experienced* + gen. in constrast with ἄπειρος below
9 **τοῦ δὲ**: *the other part (of the advice)*
ἐών: nom. sg. pres. pple εἰμί
τὸ…εἶναι: *to be*; an articular inf.; acc. d.o.
ἐξεπίστε(σ)αι: 2nd sg. pres. mid.
10 **ἐπειρήθης**: 2nd sg. aor. pass. dep. πειράω
11 **εἰ…πειρήσαι(σ)ο…ἂν συμβουλεύοις**: *if you should experience, you would advise*; future less vivid (εἰ aor. opt., ἄν + opt.)
δόρασι: dat. means; contrast with πελέκεσι
12 **ἡμῖν**: *against us*; dat. of association
αὐτῆς: *it*; i.e. fem. sg. ἐλευθερίης
13 **ἀμείψαντο**: *answered (acc) to (acc)*
ὡς: *when*
ἀνέβησαν: 3rd pl. aor. ἀναβαίνω
14 **Βασιλέϊ**: dat. of possession
ἦλθον: 3rd pl. 2nd aor. ἔρχομαι
15 **σφι**: *upon them*; i.e. upon the Spartans
16 **ἔφασαν**: 3rd pl. aor. φημί
ὑπ᾽: *by…*; gen. of agent
17 **ἐπὶ κεφαλὴν**: *headlong, headfirst*; 'onto…'
οὐδαμά: *in no way*; adv. (Att. οὐδαμῇ)
σφίσι: dat. of possession
18 **εἶναι**: *that it was…;* ind. disc. with ἔφασαν
προσκυνέειν: subject, ἄνθρωπον is object
κατὰ ταῦτα: *on account of…;*
19 **δεύτερα**: *next*; adverbial acc.
καὶ λόγου τοιοῦδε ἐχόμενα: *or things pertaining to this speech*; i.e. they spoke something like the following; partitive gen
21 **ἀντὶ**: *in return for*; + gen.
22 **τείσοντας**: *to pay*; fut. pple τίνω expressing purpose
λέγουσι…αὐτοῖσι: *to them speaking*; pple
23 **ἔφη**: 3rd pl. impf. φημί
ἔσεσθαι: *that (he) will be*; fut. εἰμί
24 **συγχέσαι**: *that those demolish*; aor. inf.
25 **αὐτὸς**: *that he himself*; subj. of fut. inf.
27 **τῆς αἰτίης**: *from…*; gen. of separation

μῆνις καὶ ταῦτα ποιησάντων Σπαρτιητέων ἐπαύσατο τὸ παραυτίκα, καίπερ ἀπονοστησάντων ἐς Σπάρτην Σπερθίεώ τε καὶ Βούλιος. χρόνῳ δὲ μετέπειτα πολλῷ ἐπηγέρθη κατὰ τὸν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον, ὡς λέγουσι Λακεδαιμόνιοι. τοῦτο μοι ἐν τοῖσι θειότατον φαίνεται
2 γενέσθαι. ὅτι μὲν γὰρ κατέσκηψε ἐς ἀγγέλους ἡ Ταλθυβίου μῆνις οὐδὲ ἐπαύσατο πρὶν ἢ ἐξῆλθε, τὸ δίκαιον οὕτω ἔφερε· τὸ δὲ συμπεσεῖν ἐς τοὺς παῖδας τῶν ἀνδρῶν τούτων τῶν ἀναβάντων πρὸς βασιλέα διὰ τὴν μῆνιν, ἐς Νικόλαν τε τὸν Βούλιος καὶ ἐς Ἀνήριστον τὸν Σπερθίεω, ὃς εἷλε Ἁλιέας τοὺς ἐκ Τίρυνθος ὁλκάδι καταπλώσας πλήρεϊ ἀνδρῶν, δῆλον ὦν μοι ὅτι θεῖον ἐγένετο τὸ πρῆγμα [ἐκ τῆς μήνιος]·
3 οἳ [γὰρ] πεμφθέντες ὑπὸ Λακεδαιμονίων ἄγγελοι ἐς τὴν Ἀσίην, προδοθέντες δὲ ὑπὸ Σιτάλκεω τοῦ Τήρεω Θρηίκων βασιλέος καὶ Νυμφοδώρου τοῦ Πυθέω ἀνδρὸς Ἀβδηρίτεω, ἥλωσαν κατὰ Βισάνθην τὴν ἐν Ἑλλησπόντῳ, καὶ ἀπαχθέντες ἐς τὴν Ἀττικὴν ἀπέθανον ὑπὸ Ἀθηναίων, μετὰ δὲ αὐτῶν καὶ Ἀριστέας ὁ Ἀδειμάντου Κορίνθιος ἀνήρ.

ταῦτα μέν νυν πολλοῖσι ἔτεσι ὕστερον ἐγένετο τοῦ
138 βασιλέος στόλου, ἐπάνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον. ἡ δὲ στρατηλασίη ἡ βασιλέος οὔνομα μὲν εἶχε ὡς ἐπ' Ἀθήνας ἐλαύνει, κατίετο δὲ ἐς πᾶσαν τὴν Ἑλλάδα. πυνθανόμενοι δὲ ταῦτα πρὸ πολλοῦ οἱ Ἕλληνες οὐκ ἐν ὁμοίῳ πάντες
2 ἐποιεῦντο. οἱ μὲν γὰρ αὐτῶν δόντες γῆν καὶ ὕδωρ τῷ Πέρσῃ εἶχον θάρσος ὡς οὐδὲν πεισόμενοι ἄχαρι πρὸς τοῦ βαρβάρου· οἱ δὲ οὐ δόντες ἐν δείματι μεγάλῳ κατέστασαν, ἅτε οὔτε νεῶν ἐουσέων ἐν τῇ Ἑλλάδι ἀριθμὸν ἀξιομάχων δέκεσθαι τὸν ἐπιόντα, οὔτε βουλομένων τῶν πολλῶν ἀντ-

Ἀβδηρίτης, -εω, ὁ: Abderitans, of Abdera, 4
Ἀδειμάντος, ὁ: Ademantus, 1
Ἀθῆναι, αἱ: Athens, 13
αἱρέω: to seize, take; *mid*. choose, 17
Ἁλιες, εων, αἱ: the Halies, 1
ἀνα-βαίνω: to go up, climb, mount, 12
Ἀνηρίστος, ὁ: Aneristus, 2
ἀντι-άπτομαι: lay hold of, engage in (gen) 1
ἀξιό-μαχος, -η, -ον: worthy in war; match, 5
ἀπ-άγω: to lead away, carry off, 5
ἀπο-νοστέω: to return, come home, 5
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἀριστέας, ὁ: Aristeas, 1
Ἀσίη, ἡ: Asia, 17
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
Ἀττικός, -ή, -όν: Attic, 5
ἄ-χαρις, -χαρι: unpleasant, disagreeable, 5
Βισάνθη, ἡ: Bisanthe, 1
Βοῦλις, ὁ: Bulis, 2
δεῖμα, -ατος, τό: fear, dread, 5
δέκομαι: to receive, accept, take, 10
δῆλος, -η, -ον: clear, evident, conspicuous, 6
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐξ-έρχομαι: to go out, come out, 3
ἐπαν-έρχομαι: to return, come back, 1
ἐπ-εγείρω: to awaken, rouse up, stir up, 2
θάρσος, -εος, ὁ: courage, boldness, 1
Θρῄξ, Θρῃκός, ὁ: Thracian, 5
καίπερ: although, albeit, 5
κατα-πλέω: to sail (down), sail to shore, 4
κατα-σκήπτω: to rush down, fall upon, 2
κατ-ίστημι: set down; appoint, establish, 18
Κορίνθιος, -α, -ον: Corinthian, 1
μετ-έπειτα: thereafter, 5
μῆνις, ἡ: wrath (often of the gods), 8
Νικόλας, -εω, ὁ: Nicolas, 2
Νυμφοδώρος, ὁ: Nymphodorous, 1
ὁλκάς, -αδος, ἡ: freight ship, cargo ship, 4
παρ-αυτίκα: immediately, straightaway, 7
Πελοποννήσιος, -η, -ον: Peloponnesian, 4
πλήρης, -ες: full, filled, 3
πρίν: until, before, 10
προ-δίδωμι: to betray; give up, 4
Πυθέας, -εω, ὁ: Pytheas, 2
Σιτάλκης, -εω, ὁ: Sitalces, 1
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 19
Σπερθίης, ὁ: Sperthias, 3
στόλος, ὁ: expedition, armed voyage, 10
στρατ-ηλασίη, ἡ: expedition, march, 6
συμ-πίπτω: to come to blows, happen, 3
Ταλθύβιος, -ου, ὁ: Talthybius, 3
Τήρευς, -εω, ὁ: Tereus, 1
Τίρυνς, -υνθος, ὁ: Tirynthus (Tiryns), 1
ὕδωρ, ὕδατος, τό: water, 15

---

1 **ταῦτα…Σπαρτιητέων**: *since*; gen. abs.
τὸ παραυτίκα: adverbial acc.
2 **καίπερ**: *although..*; gen. abs. is concessive
3 **χρόνῳ…πολλῷ**: *a long time after*; dat. degree of difference; i.e. ca. 430 BC
3 **ἐπηγέρθη**: 3rd sg. aor. pass. ἐπ-εγείρω, the missing subject is μῆνις above
5 **ἐν τοῖσι**: *among those*
θειότατον: *something most divine*; comp.
6 **ὅτι**: *that…*; object of ἔφερε
7 **πρὶν ἢ**: *before*; 'sooner than'
ἐξῆλθε: *yourselves*; mid. ἐξ-έρχομαι
τὸ δίκαιον…ἔφερε: *justice thus brought about that*; 'carried out that,' impf. φέρω
8 **τὸ συμπεσεῖν**: articular aor. inf. συμπίπτω
ἀναβάντων: aor. pple. ἀναβαίνω
10 **τὸν Βούλιος…**: *(son) of Bulis*; patronymics
ὃς: *who…*; Aneristus is antecedent
εἷλε: 3rd sg. aor. αἱρέω (aor. stem ἑλ)
11 **ὁλκάδι**: dat. means
12 **δῆλον…ὅτι**: *(it is) clear....that*; add verb
οἳ…πεμφθέντες: *those sent*; aor. pass. pple
προδοθέντες: aor. pass. pple προδίδωμι
14 **τοῦ Τήρεω**: *son of Tereus*
15 **Νυμφοδώρου**: agent, parallel to Σιτάκεω
16 **ἥλωσαν**: *they were caught;* aor ἁλίσκομαι
κατὰ: *in*
17 **ἀπαχθέντες**: aor. pass. pple ἀπο-άγω
ἀπέθανον: 3rd pl. aor. ἀποθνήσκω
ὑπὸ: *at the hands of*; gen. of agent (cause)
18 **Ἀριστέας**: add ἀπέθανε ὑπὸ Ἀθηναίων
19 **πολλοῖσι ἔτεσι**: degree of difference, ἔτος
τοῦ..στόλου: *than…*; gen. of comparison
21 **οὔνομα..ὡς**: *had the pretense that it is..*
22 **κατίετο**: *but swooped down*; impf κατίημι
23 **πρὸ πολλοῦ (χρόνου)**: *a long time before*
24 **ἐποιεῦντο**: *considered in a similar way*
25 **ὡς πεισόμενοι**: *to suffer*; fut. pple πάσχω
26 **κατέστασαν**: *came (to be), became*; aor.
27 **ἅτε**: *since…*; + two gen. abs., pple εἰμί
ἀριθμὸν: *in number*; acc. of respect
28 **δέκεσθαι**: *to receive the (number) coming*

139 ἅπτεσθαι τοῦ πολέμου, μηδιζόντων δὲ προθύμως. ἐνθαῦτα ἀναγκαίῃ ἐξέργομαι γνώμην ἀποδέξασθαι ἐπίφθονον μὲν πρὸς τῶν πλεόνων ἀνθρώπων, ὅμως δὲ, τῇ γέ μοι φαίνεται εἶναι
2 ἀληθὲς οὐκ ἐπισχήσω. εἰ Ἀθηναῖοι καταρρωδήσαντες τὸν ἐπιόντα κίνδυνον ἐξέλιπον τὴν σφετέρην, ἢ καὶ μὴ ἐκλιπόντες ἀλλὰ μείναντες ἔδοσαν σφέας αὐτοὺς Ξέρξῃ, κατὰ τὴν θάλασσαν οὐδαμοὶ ἂν ἐπειρῶντο ἀντιεύμενοι βασιλέϊ. εἰ τοίνυν κατὰ τὴν θάλασσαν μηδεὶς ἠντιοῦτο Ξέρξῃ, κατά
3 γε ἂν τὴν ἤπειρον τοιάδε ἐγίνετο· εἰ καὶ πολλοὶ τειχέων κιθῶνες ἦσαν ἐληλαμένοι διὰ τοῦ Ἰσθμοῦ Πελοποννησίοισι, προδοθέντες ἂν Λακεδαιμόνιοι ὑπὸ τῶν συμμάχων οὐκ ἑκόντων ἀλλ᾽ ὑπ᾽ ἀναγκαίης, κατὰ πόλις ἁλισκομένων ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ τοῦ βαρβάρου, ἐμουνώθησαν, μουνωθέντες δὲ ἂν καὶ
4 ἀποδεξάμενοι ἔργα μεγάλα ἀπέθανον γενναίως. ἢ ταῦτα ἂν ἔπαθον, ἢ πρὸ τοῦ ὁρῶντες ἂν καὶ τοὺς ἄλλους Ἕλληνας μηδίζοντας ὁμολογίῃ ἂν ἐχρήσαντο πρὸς Ξέρξην. καὶ οὕτω ἂν ἐπ᾽ ἀμφότερα ἡ Ἑλλὰς ἐγίνετο ὑπὸ Πέρσῃσι. τὴν γὰρ ὠφελίην τὴν τῶν τειχέων τῶν διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένων οὐ δύναμαι πυθέσθαι ἥτις ἂν ἦν βασιλέος ἐπικρατέοντος
5 τῆς θαλάσσης. νῦν δὲ Ἀθηναίους ἄν τις λέγων σωτῆρας γενέσθαι τῆς Ἑλλάδος οὐκ ἂν ἁμαρτάνοι τἀληθές. οὗτοι γὰρ ἐπὶ ὁκότερα τῶν πρηγμάτων ἐτράποντο, ταῦτα ῥέψειν ἔμελλε· ἑλόμενοι δὲ τὴν Ἑλλάδα περιεῖναι ἐλευθέρην, [τοῦτο] τὸ Ἑλληνικὸν πᾶν τὸ λοιπόν, ὅσον μὴ ἐμήδισε, αὐτοὶ οὗτοι ἦσαν οἱ ἐπεγείραντες καὶ βασιλέα μετά γε
6 θεοὺς ἀνωσάμενοι. οὐδὲ σφέας χρηστήρια φοβερὰ ἐλθόντα ἐκ Δελφῶν καὶ ἐς δεῖμα βαλόντα ἔπεισε ἐκλιπεῖν τὴν Ἑλλάδα, ἀλλὰ καταμείναντες ἀνέσχοντο τὸν ἐπιόντα ἐπὶ τὴν χώρην δέξασθαι.

αἱρέω: to seize, take; *mid*. choose, 17
ἀληθής, -ές: true, 7
ἁμαρτάνω: to miss the mark, make mistake, 1
ἀν-έχω: to uphold, endure; arise, 9
ἀντιόομαι: to resist, oppose (dat.) 6
ἀν-ωθέω: to push back, push off, 1
βάλλω: to throw, pelt, hit, strike, 5
γενναῖος, -η, -ον: noble, well-bred, 2
δεῖμα, -ατος, τό: fear, dread, 5
δέκομαι: to receive, accept, take, 10
Δελφοί, οἱ: Delphi (town) 12
δύναμαι: to be able, can, be capable, 13
ἐκ-λείπω: to leave out, omit, pass over, 10
ἑκών, ἑκοῦσα, ἑκόν: willing, intentionally, 4
ἐλεύθερος, -η, -ον: free, 14
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἐξ-έργομαι: to shut out, debar, 1
ἐξ-έρχομαι: to go out, come out, 3
ἐπ-εγείρω: to awaken, rouse up, stir up, 2
ἐπι-κρατέω: to rule over, overpower, 7
ἐπ-ίσχω: to wait; hold on, direct to (**ἐπ-έχω**) 6
ἐπι-φθονος, ον: hated, odious; liable to envy 1
ἔργον, τό: work, task, deed, act, 12
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
κατα-μένω: to stay behind, remain 5
κατα-ρρωδέω: to fear, dread, 14
κιθών, -ῶνος, ἡ: tunic, (Att. **χιτών**) 5
κίνδυνος, ὁ: risk, danger, venture, 4
λοιπός, -ή, -όν: remaining, the rest, 15
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
μηδίζω: to side with Medes; make a Mede, 8
μουνόω: to forsaken, leave alone, 2
ὁκότερος, -η, -ον: which (of two), 1
ὁμο-λογίη, ἡ: an agreement, 2
πάσχω: to suffer, experience, 19
Πελοποννήσιος, -η, -ον: Peloponnesian, 4
περί-ειμι: to survive; surpass, be superior, 11
προ-δίδωμι: to betray; give up, 4
πρό-θυμος, -ον: eager, zealous; ready, 6
ῥέπω: to incline (one way), turn the scale, 1
σφέτερος, -η, -ον: their own, their, 9
σωτήρ, ὁ: deliverer, preserver, 3
τοί-νυν: well then; therefore, accordingly, 8
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
φοβερός, -ή, -όν: fearful, terrifying, dreadful 1
ὠφέλιη, ἡ: help, assistance, benefit, 2

---

1 **μηδιζόντων**: gen. abs., add τῶν πολλῶν
2 **ἀναγκαίῃ ἐξέργομαι**: *I am by necessity compelled*; pres. pass., dat. of cause
ἀποδέξασθαι: *to reveal*; aor. ἀποδείκνυμι
πρὸς: *before (the eyes of)…*; point of view
πλεόνων: *rather many, a majority*; 'more'
3 **τῇ**: *in what way*; relative
4 **ἐπισχήσω**: *I will not hold back*; fut.
εἰ…ἐξέλιπον…ἔδοσαν, ἂν ἐπειρῶντο: *if they had left…and had given, they would attempt*; contrafactual (εἰ + aor., ἄν + impf.)
5 **ἐπιόντα**: *coming…*; pple ἐπέρχομαι
μὴ ἐκλιπόντες: (*if) not…;* pple conditional,
6 **μείναντες**: aor. pple μένω also conditional
σφέας αὐτοὺς: *themselves*; reflexive
κατὰ τὴν θάλασσαν: *on the sea*; 'by sea'
7 **ἀντιεύμενοι**: Att. ἀντιούμενοι, mid. pple
8 **εἰ…ἠντιοῦντο, ἂν…ἐγίνετο**: *if…resisted,… would occur*; contrafactual εἰ impf, ἄν impf
κατά…ἤπειρον: *by land*; 'by mainland'
9 **εἰ…ἦσαν ἐληλαμένοι, ἂν…ἐμουνώθησαν**: *if…had…would have…*; past contrafactual (εἰ + plpf pass. ind., ἄν + aor. pass. ind.)
τειχέων κιθῶνες: *many coverings of walls*
10 **ἦσαν ἐληλαμένοι**: *had been built*; 'had been driven/dug,' plpf. pass. periphrastic (pf. pass. ἐλαύνω + impf. εἰμί)
Πελοποννησίοισι: dat. of agent
11 **προδοθέντες**: aor. pass. pple προδίδωμι
12 **κατὰ πόλις**: *city by city*; (Att. πόλεις)
ναυτικοῦ στρατοῦ: *fleet*; 'naval army'
13 **ἐμουνώθησαν**: aor. pass.+ ἄν; see line 9
μουνωθέντες: aor. pass. pple μουνόω
14 **ἂν…ἀπέθανον**: *would have died*; second apodosis from l. 9; aor. ἀποθνήσκω
ἀποδεξάμενοι: aor. pple. ἀποδείκνυμι
ἢ…ἢ: *either…or*
ἂν ἔπαθον: *they would…*; ἄν + aor.
πάσχω is past potential or an apodosis
15 **πρὸ τοῦ**: *before this (time)*
ἂν…ἂν ἐχρήσαντο: *would have employed*
ἐπ᾽ ἀμφότερα: *in both (cases)*
17 **ὑπὸ Πέρσῃσι**: *under the power of Persians*
18 **ἐληλαμένων**: *built*; pf. pass. ἐλαύνω
ἥτις…ἦν: *the advantage, what it would be*
20 **ἂν…ἂν ἁμαρτάνοι**: *would not fail to hit*
22 **ἐπὶ ὁκότερα..ἐτράπετο**: *to which of the two sides they turned…*; aor. τρέπω
23 **ἑλόμενοι**: *choosing*; aor mid. pple. αἱρέω
24 **τὸ Ἑλληνικὸν**: *Greece*; obj. of pple
25 **αὐτοὶ οὗτοι**: *these very ones*; Athenians
27 **ἔπεισε**: *did not persuade (them)*; neut. subj.

140 Πέμψαντες γὰρ οἱ Ἀθηναῖοι ἐς Δελφοὺς θεοπρόπους χρηστηριάζεσθαι ἦσαν ἕτοιμοι· καί σφι ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα, ὡς ἐς τὸ μέγαρον ἐσελθόντες ἵζοντο, χρᾷ ἡ Πυθίη, τῇ οὔνομα ἦν Ἀριστονίκη, τάδε.

2 ὦ μέλεοι, τί κάθησθε; λιπὼν φεῦγ᾽ ἔσχατα γαίης
δώματα καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.
οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδον οὔτε τὸ σῶμα,
οὔτε πόδες νέατοι οὔτ᾽ ὦν χέρες, οὔτε τι μέσσης
λείπεται, ἀλλ᾽ ἄζηλα πέλει· κατὰ γάρ μιν ἐρείπει
πῦρ τε καὶ ὀξὺς Ἄρης, Συριηγενὲς ἅρμα διώκων.

3 πολλὰ δὲ κἄλλ᾽ ἀπολεῖ πυργώματα κοὐ τὸ σὸν οἶον,
πολλοὺς δ᾽ ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,
δείματι παλλόμενοι, κατὰ δ᾽ ἀκροτάτοις ὀρόφοισι
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκας.
ἀλλ᾽ ἴτον ἐξ ἀδύτοιο, κακοῖς δ᾽ ἐπικίδνατε θυμόν.

141 ταῦτα ἀκούσαντες οἱ τῶν Ἀθηναίων θεοπρόποι συμφορῇ τῇ μεγίστῃ ἐχρέωντο. προβάλλουσι δὲ σφέας αὐτοὺς ὑπὸ τοῦ κακοῦ τοῦ κεχρησμένου Τίμων ὁ Ἀνδροβούλου, τῶν Δελφῶν ἀνὴρ δόκιμος ὅμοια τῷ μάλιστα, συνεβούλευέ σφι ἱκετηρίας λαβοῦσι δεύτερα αὖτις ἐλθόντας χρᾶσθαι τῷ χρηστηρίῳ ὡς

2 ἱκέτας. πειθομένοισι δὲ ταῦτα τοῖσι Ἀθηναίοισι καὶ λέγουσι "Ὦναξ, χρῆσον ἡμῖν ἄμεινόν τι περὶ τῆς πατρίδος, αἰδεσθεὶς τὰς ἱκετηρίας τάσδε τάς τοι ἥκομεν φέροντες, ἢ οὔ τοι ἄπιμεν ἐκ τοῦ ἀδύτου, ἀλλ᾽ αὐτοῦ τῇδε μενέομεν ἔστ᾽ ἂν καὶ τελευτήσωμεν," ταῦτα δὲ λέγουσι ἡ πρόμαντις χρᾷ δεύτερα τάδε.

ἄ-δυτον, τό: shrine, sanctuary of a temple, 4
ἄ-ζηλος, -ον: unenvied, unenviable, dreary 1
ἀ-θάνατος, -ον: immortal, undying, 10
αἰδέομαι: respect, be or feel ashamed of, 1
αἷμα, -ατος τό: blood; carnage, 5
ἀμείνων, -ον: better, nobler, braver, 12
Ἀνδρόβουλος, -ου, ὁ: Androbulus, 1
ἀπ-έρχομαι: to go away, depart, 4
Ἀρίστονίκη, ἡ: Aristonice (female) 1
Ἄρης, Ἄρεος, ὁ: Ares (god of war), 2
αὖτις: back again, later, 8
γαῖα, ἡ: earth, 1
δεῖμα, -ατος, τό: fear, dread, 5
Δελφοί, οἱ: Delphi (town) 12
διώκω: to pursue, follow; prosecute, 3
δόκιμος, -ον: notable, famous, worthy, 9
δῶμα, -ατος, τό: house, 1
ἔμ-πεδος, -ον: steadfast; *adv*. continuously, 2
ἐπι-κίδνημι: to spread over, 1
ἐσ-έρχομαι: to go in, enter, 3
ἔστε: until; as long as (ἔσ-οτε) 12
ἔσχατος, -η, -ον: extreme, last, furthest, 14
ἑτοῖμος, -η, -ον: ready, prepared, at hand, 6
ἥκω: to have come, be present, 10
θεοπρόπος, ὁ: seer, prophet; messenger, 5
ἱδρώς, -ῶτος, ὁ: sweat, 1
ἵζω: to make sit, place, 8
ἱκετηρίη, ἡ: olive branch of supplication, 2
ἱκέτης, -ου, ὁ: a suppliant, 2
ἵστημι: to make stand; set up, stop, 18
κακότης, -ητος, ἡ: evil, trouble, suffering, 2
κάρηνον, τό: peak, top, head, 1
κατα-ερείπω: to tear down, throw down, 1
κάτ-ημαι: to sit, sit down, settle, 2
μαλερός, -ή, -όν: fierce, violent, raging, 1
μέγαρον, τό: megaron, hall, a large room, 1
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μέλας, μέλαινα, μέλαν: black, 1
μέλεος, -ον: wretched, unhappy; idle, useless 1
νέατος, η, ον: uttermost, lowest; furthest, 1
νηός, ὁ: temple, 1
νομίζω: believe, consider; be accustomed, 16
οἶος, -α, -ον: alone, 3
ὀξύς, -έα, -ύ: sharp, 4
ὄροφος, ὁ: reed, thatch (for houses), 1
πατρίς, -ίδος: fatherland, native land, 3
πέλω: to be; come to be, 1
πούς, ποδός, ὁ: a foot, 10
προ-βάλλω: to throw before, put forward, 1
προ-εἶδον: to foresee, catch sight of before, 3
πρό-μαντις, ὁ, ἡ: a prophet, prophetess, 2
Πυθίη, ἡ: the Pythia (priestess of Apollo), 6
πῦρ, -ος, τό: fire, 6
πύργωμα, -ατος, τό: fortress; towered city, 1
συμ-βουλεύω: advise, deliberate together, 16
Συριη-γενής, -ές: Syrian-born, 1
σῶμα, -ατος, τό: the body, 7
τελευτάω: to end, complete, finish; die, 18
Τίμων, -ωνος, ὁ: Timon, 1
τροχο-ειδής, -ές: wheel-like, circular, 1
φεύγω: to flee, escape; 18
χέω: to pour, 2
χρηστηριάζω: give (*mid* consult) an oracle 11

---

2 χρηστηριάζεσθαι:explanatory inf + ἕτοιμοι
ποιήσασι: dat. pl. aor. pple ποιέω
3 τὰ νομιζόμενα: *the customary rites*; pple
ἐσελθόντες: aor. pple ἐσέρχομαι
4 χρᾷ: *deliver*s (an oracle); 3rd sg. pres. χράω
τῇ: *to whom*; relative, dat. of possession
τί: *why*
5 κάθησθε: 2nd pl. pres. κάτ-ημαι
λιπὼν: nom. sg. aor. pple λείπω
φεῦγε: *avoid*; imperative + ἔσχατα
ἔσχατα γαίης: *the ends of the earth*
6 δώματα…κάρηνα: obj. of λιπὼν
8 τι μέσσης: *any of the parts between*; μέσης
9 κατὰ…ἐρείπει: tmesis: pres. κατ-ερείπει
μιν: *it*; i.e. Athens, 3rd person pronoun,
11 κἄλλ᾽: *(and) other…*; crasis καὶ ἄλλα
ἀπολεῖ: 3rd sg. fut. ἀπόλλυμι, i.e. Ares
κού: *and not…*; crasis καί οὐ
οἶον: *alone*; note that οι is not aspirated
12 μαλωρῷ πυρὶ: *to…*;dat. of ind. object
δώσει: fut. δίδωμι, Ares is still subject
οἵ: *which…*; antecedent masc. νηοὺς
13 ῥεούμενοι: pple ῥέω
ἑστήκασι: *stand*; pf. ἵστημι
14 κατὰ…κέχυται: *pours down*; tmesis, pf.
15 προϊδὸν: neut. sg. aor pple προ-εἶδον
16 ἴτον dual imperative ἔρχομαι (stem ι)
ἐπικίδνατε: *spread courage over your ills*
18 ὑπὸ…: *because of the evil prophesied*
20 ὅμοια τῷ μάλιστα *similar to the best*
23 Ὦναξ: *Lord*; crasis for vocative ὦ ἄναξ
χρῆσον: *proclaim*; aor. imper. χράω
24 ἄπιμεν: inf. as imperative ἀπ-έρχομαι
25 ἔστε ἂν: *until*; general temporal + aor subj.

3 οὐ δύναται Παλλὰς Δῖ' Ὀλύμπιον ἐξιλάσασθαι 1
λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω ἀδάμαντι πελάσσας·
τῶν ἄλλων γὰρ ἁλισκομένων ὅσα Κέκροπος οὖρος
ἐντὸς ἔχει κευθμών τε Κιθαιρῶνος ζαθέοιο, 5
τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ' ὀνήσει.
4 μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν
νῶτον ἐπιστρέψας· ἔτι τοι ποτε κἀντίος ἔσσῃ. 10
ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν
ἤ που σκιδναμένης Δημήτερος ἢ συνιούσης.

142 Ταῦτα σφι ἠπιώτερα γὰρ τῶν προτέρων καὶ ἦν καὶ ἐδόκεε εἶναι, συγγραψάμενοι ἀπαλλάσσοντο ἐς τὰς Ἀθήνας. ὡς δὲ ἀπελθόντες οἱ θεοπρόποι ἀπήγγελλον ἐς τὸν δῆμον, γνῶμαι 15 καὶ ἄλλαι πολλαὶ ἐγίνοντο διζημένων τὸ μαντήιον καὶ αἵδε συνεστηκυῖαι μάλιστα. τῶν πρεσβυτέρων ἔλεγον μετεξέτεροι δοκέειν σφίσι τὸν θεὸν τὴν ἀκρόπολιν χρῆσαι περιέσεσθαι. ἡ γὰρ ἀκρόπολις τὸ πάλαι τῶν Ἀθηναίων ῥηχῷ ἐπέφρακτο.
2 οἱ μὲν δὴ [κατὰ τὸν φραγμὸν] συνεβάλλοντο τοῦτο τὸ ξύλινον 20 τεῖχος εἶναι, οἱ δ' αὖ ἔλεγον τὰς νέας σημαίνειν τὸν θεόν, καὶ ταύτας παραρτέεσθαι ἐκέλευον τἆλλα ἀπέντας. τοὺς ὦν δὴ τὰς νέας λέγοντας εἶναι τὸ ξύλινον τεῖχος ἔσφαλλε τὰ δύο τὰ τελευταῖα ῥηθέντα ὑπὸ τῆς Πυθίης,

ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν 25
ἤ που σκιδναμένης Δημήτερος ἢ συνιούσης.

3 κατὰ ταῦτα τὰ ἔπεα συνεχέοντο αἱ γνῶμαι τῶν φαμένων

ἀδάμας, -αντος ὁ: adamantine steel, 1
Ἀθῆναι, αἱ: Athens, 13
ἀκρό-πολις, ἡ: acropolis, citadel, 2
ἀπ-αγγέλλω : to report (from), announce, 1
ἀπ-έρχομαι: to go away, depart, 4
ἀπ-ίημι: send forth, let go, release, 16
ἀ-πόρθητος, -ον: unsacked, unsackable, 1
αὖ: again; on the contrary, on the other hand, 6
αὖτις: back again, later, 8
δῆμος, ὁ: people; district, country, land, 11
Δημήτηρ, -τρος, ἡ: Demeter; grain, 2
δίζημαι: to look for, search, 4
δύναμαι: to be able, can, be capable, 13
ἐντός: within, inside, 12
ἐξ-ιλάσκομαι: to propitiate, 1
ἐπι-στρέφω: to turn about, turn around, 1
εὐρύ-οπα, ὁ: far-seeing; wide-sounding, 1
ζάθεος, -η, -ον: very divine, sacred, 1
ἥπιος, -η, -ον: mild, kind, gentle, 3
ἥσυχος, -ον: silent, at rest, idle, 4
θεοπρόπος, ὁ: seer, prophet; messenger, 5
ἱππσύνη, ἡ: horse, cavalry; horsemanship, 1
Κέρκωψ, -ωπος, ὁ: Cecrops (male) 2
κευθμός, ὁ: lair, hiding place; hollow, dale, 2
Κιθαιρών, -ῶνος, ὁ: Mount Cithaeron, 1
λίσσομαι: to beg, pray, entreat, beseech, 2
μαντήιον, τό: an oracle, 8
μετ-εξ-έτεροι, -αι, -α: some among many, 2
μη-δέ: and not, but not, nor, 18
μῆτις, ἡ: counsel; cunning, craft, 1
νῶτον, τό: the back, 2
ξύλινος, -η, -ον: wooden, 8
Ὀλύμπιος, -η, -ον: Olympian, 1
ὀνίνημι: to benefit, help, 1
οὖρος, τό: boundary, 5
Παλλάς, -αδος, ἡ: Pallas (Athena), 1
παρ-αρτέομαι: to equip, fit out, 2
πελάζω: to approach, bring, carry, 9
περί-ειμι: to survive; surpass, be superior, 11
πρέσβυς, -εως, ὁ: old, old (man), 10
Πυθίη, ἡ: the Pythia (priestess of Apollo), 6
πυκνός, -η, -ον: close-packed, wise, shrewd, 2
ῥηχός, ἡ: thorn bush, briar, 1
Σαλαμίς, -ῖνος, ὁ: Salamis, 6
σημαίνω: to show, indicate, declare, 9
σκίδνημι: to disperse, scatter, 2
συγ-γράφω: to compose, write in prose, 1
συγ-χέω: to confound, demolish, confuse, 3
συμ-βάλλω: contribute; guess, join battle, 11
συν-έρχομαι: to go together, gather, 5
συν-ίστημι: join battle; set together, arrange 8
σφάλλω: to fall; make fall, overthrow; 5
τέκνον, τό: a child, 9
τελέθω: to be counted as, be, 1
τελευταῖος, -η, -ον: last, final, 3
Τριτο-γένεια, ἡ: Triton-born, 1
ὑπο-χωρέω: to go back, retire, recoil, 1
φραγμός, ὁ: fence, wall, block, 2
φράσσω: to fence, fence in, 2

---

2 **Διΐ**: *Zeus*; acc.
πολλοῖσι…πυκνῇ: *with..*; dat. pl. of means
3 **ἐρέω**: *I will say*
ἀδάμαντι πελασσας: *approaching steel*
4 **Κέκροπος οὖρος**: i.e. boundary of Athens
6 **Τριτογενεῖ**: *to the Triton-born*; i.e. Athene
διδοῖ: *grants that*; 3rd sg. pres. δίδωμι
7 **τελέθειν**: τεῖχος is acc. subject
τὸ: *which….*; relative
ὀνήσει: fut. ὀνίνημι
σύ γ'…μένειν: inf. as imperative
ἰόντα: acc. sg. pple ἔρχομαι
ἀπ' ἠπείρου: *from the mainland*; i.e. Asia
ὑποχωρεῖν: inf. as imperative
10 **ἔτι…ἔσσῃ**: *to be sure you still at some time in fact will be face to face*; καὶ ἀντίος
ἔσσῃ: ἔσσε(σ)αι, 2nd sg. fut. dep. εἰμί
11 **ἀπολεῖς**: 2nd sg. fut. ἀπόλλυμι
12 **ἤ…ἤ**: *either…or*; gen. abs.
Δημήτερος: *grain*; in a gen. abs.
συνιούσης: gen. abs. pple συνέρχομαι
13 **τῶν προτέρων**: *than the previous*; gen. of comparison with comparative of ἥπιος
ἦν καὶ ἐδόκεε: *both seemed to be and was*; neuter pl. ταῦτα is subj. of 3rd sg. verbs
15 **ἀπελθόντες**: aor. pple ἀπέρχομαι
16 **διζημένων**: *of those trying to interpret…*
αἵδε συνεστηκυῖαι: *these (were) especially standing in conflict*; pf. pple συνίστημι
18 **χρῆσαι**: *to proclaim*; aor. inf. χράω
περιέσεσθαι: fut. inf. περί-ειμί
19 **τὸ πάλαι**: *long ago*; adverbial acc.
ἐπέφρακτο: plpf. pass. φράσσω
20 **συνεβάλλοντο**: *understood*; 'put together'
22 **ἀπέντας**: *abandoning the rest*; ἀπ-ίημι
24 **ῥηθέντα**: *(lines) said*; aor. pass. λέγω
27 **κατὰ…ἔπεα**: *in respect to these words*
φαμένων: aor. mid. pple φημί

τὰς νέας τὸ ξύλινον τεῖχος εἶναι· οἱ γὰρ χρησμολόγοι 1
ταύτῃ ταῦτα ἐλάμβανον, ὡς ἀμφὶ Σαλαμῖνα δεῖ σφεας
143 ἐσσωθῆναι ναυμαχίην παρασκευασαμένους. ἦν δὲ τῶν τις
Ἀθηναίων ἀνὴρ ἐς πρώτους νεωστὶ παριών, τῷ οὔνομα μὲν
ἦν Θεμιστοκλέης, παῖς δὲ Νεοκλέος ἐκαλέετο. οὗτος ὠνὴρ 5
οὐκ ἔφη πᾶν ὀρθῶς τοὺς χρησμολόγους συμβάλλεσθαι,
λέγων τοιάδε· εἰ ἐς Ἀθηναίους εἶχε τὸ ἔπος εἰρημένον
ἐόντως, οὐκ ἂν οὕτω μιν δοκέειν ἠπίως χρησθῆναι, ἀλλὰ
ὧδε ‘Ὦ σχετλίη Σαλαμίς’ ἀντὶ τοῦ ‘Ὦ θείη Σαλαμίς,’ εἴ πέρ
2 γε ἔμελλον οἱ οἰκήτορες ἀμφ᾽ αὐτῇ τελευτήσειν· ἀλλὰ γὰρ 10
ἐς τοὺς πολεμίους τῷ θεῷ εἰρῆσθαι τὸ χρηστήριον συλλαμ-
βάνοντι κατὰ τὸ ὀρθόν, ἀλλ᾽ οὐκ ἐς Ἀθηναίους· παρα-
σκευάζεσθαι ὧν αὐτοὺς ὡς ναυμαχήσοντας συνεβούλευε, ὡς
3 τούτου ἐόντος τοῦ ξυλίνου τείχεος. ταύτῃ Θεμιστοκλέος
ἀποφαινομένου Ἀθηναῖοι ταῦτα σφίσι ἔγνωσαν αἱρετώτερα 15
εἶναι μᾶλλον ἢ τὰ τῶν χρησμολόγων, οἳ οὐκ ἔων ναυμαχίην
ἀρτέεσθαι, τὸ δὲ σύμπαν εἰπεῖν οὐδὲ χεῖρας ἀνταείρεσθαι,
ἀλλὰ ἐκλιπόντας χώρην τὴν Ἀττικὴν ἄλλην τινὰ οἰκίζειν.
144 ἑτέρη τε Θεμιστοκλέϊ γνώμη ἔμπροσθε ταύτης ἐς καιρὸν
ἠρίστευσε, ὅτε Ἀθηναίοισι γενομένων χρημάτων μεγάλων 20
ἐν τῷ κοινῷ, τὰ ἐκ τῶν μετάλλων σφι προσῆλθε τῶν ἀπὸ
Λαυρείου, ἔμελλον λάξεσθαι ὀρχηδὸν ἕκαστος δέκα δραχμάς·
τότε Θεμιστοκλέης ἀνέγνωσε Ἀθηναίους τῆς διαιρέσιος ταύ-
της παυσαμένους νέας τούτων τῶν χρημάτων ποιήσασθαι
διηκοσίας ἐς τὸν πόλεμον, τὸν πρὸς Αἰγινήτας λέγων. 25
2 οὗτος γὰρ ὁ πόλεμος συστὰς ἔσωσε ἐς τὸ τότε τὴν Ἑλλάδα,
ἀναγκάσας θαλασσίους γενέσθαι Ἀθηναίους. αἳ δὲ ἐς τὸ

Αἰγινήτης, ὁ: an Aeginetan, from Aegina, 3
αἱρετός, -ή, -όν: selected, choiceworthy, 2
ἀμφί: on both sides, 6
ἀνα-γιγνώσκω: persuade, recognize; read 3
ἀναγκάζω: to force, compel, require, 15
ἀντ-αείρω: to raise/rise against (Att. **-αίρω**) 4
ἀπο-φαίνω: to show, make clear; perform, 5
ἀριστεύω: to be the best, noble, 3
ἀρτέομαι: to be prepared; depend on, 2
Ἀττικός, -ή, -όν: Attic, 5
γιγνώσκω: come to know, to learn, realize, 5
δι-αίρεσις, -ιος, ἡ: dividing, division, 1
διηκόσιοι, -αι, -α: two hundred, 10
δραχμή, ἡ: drachma (coin), 1
ἐκ-λείπω: to leave out, omit, pass over, 10
ἔμ-προσθεν: before, in front; earlier, 4
ἐόντως: really, actually, truly, 1
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
ἤπιος, -η, -ον: mild, kind, gentle, 3
θαλάσσιος, -η, -ον: of the sea; *subst*. seamen 1
Θεμιστοκλέης,, -έος, ὁ: Themistocles (male) 4
καιρός, ὁ: time, (proper) time, 3
κοινός, -ή, -όν: common, ordinary; public, 7
λάζομαι: to take, seize (Att. **λαμβάνω**) 1
Λαύρειον, τό: Mount Laurium, 1
μέταλλον, τό: a mine, 2
ναυ-μαχέω: to fight by sea, 1
ναυ-μαχίη, ἡ: sea-battle, 5
Νεοκλής, -έος, ὁ: Neocles (male) 2
νεωστί: lately, just now, 2
ξύλινος, -η, -ον: wooden, 8
οἰκήτωρ, -τορος ὁ: an inhabitant, 4
οἰκίζω: to settle, colonize, people, 4
ὀρθός, -ή, -όν: straight, upright, right, 6
ὀρχηδόν: man by man; row by row, 1
παρα-σκευάζω: to prepare, get ready, 15
προσ-έρχομαι: to come or go to, approach, 1
Σαλαμίς, -ῖνος, ὁ: Salamis, 6
συλ-λαμβάνω: to collect, gather together, 4
συμ-βάλλω: contribute; guess, join battle, 11
συμ-βουλεύω: advise, deliberate together, 16
σύμ-πας, -πασα, -παν: every, all, whole, 7
συν-ίστημι: join battle; set together, arrange 8
σχέτλιος, η, ον: cruel, merciless; miserable 1
σῴζω: to save, keep, preserve, 9
τελευτάω: to end, complete, finish; die, 18
χρησμο-λόγος, ὁ: reader of oracles, 10
ὧδε: in this way, so, thus, 17

---

2 **ταύτῃ…ὡς**: *in this way…(namely) that*
ἐλάμβανον: *were taking*; i.e. interpreting
3 **ἐσσωθῆναι**: *be defeated*; inf. ἐσσάομαι
ἦν: *there was*; impf. εἰμί
ἐς πρώτους: *among the leaders*
4 **παριών**: nom. sg. pres. pple πάρ-ειμι
τῷ: *to whom*; relative, dat. of posssession
5 **ὠνὴρ**: crasis, ὁ ἀνὴρ
6 **ἔφη**: 3rd sg. impf. φημί
συμβάλλεσθαι: *conjecture, understand*
7 **εἰ…εἶχε…ἂν…δοκέειν**: *if…pertained…it would seem*; pres. contrafactual (εἰ impf. ind. , ἄν + impf. ind. – here an inf. δοκέειν)
ἐς Ἀθηναίους: *with regard to the Athenians*
7 **εἰρημένον**: pf. pass. λέγω (stem ἐρ)
8 **χρησθῆναι**: *to be proclaimed*; pf pass χράω
9 **ἀντὶ τοῦ**: *instead of this 'Divine Salamis'*
ὧδε: supply ἂν μιν δοκέειν χρησθῆναι
10 **εἰ…ἔμελλον**: *if…they intended…*; protasis of a pres. contrafactual; apodosis in l. 9
ἀμφ' αὐτῇ: *around it*; i.e. fem. Σαλαμίς
11 **ἐς τοὺς πολεμίους**: *regarding the enemy*
τῷ θεῷ: dat. of agent with pf. pass. inf.
εἰρῆσθαι: *that…is said*; pf. pass. inf. λέγω (ἐρ); χρηστήριον is acc. subj.
συλλαμβάνοντι…ὀρθόν: *for one gathering according to what is correct*
13 **ὡς ναυμαχήσοντας**: *to fight at sea*; fut.
ὡς τούτου ἐόντος…: *since this is…*; ὡς + pple (here gen. abs.) is causal in force
14 **ταύτῃ**: *in this way*
Θεμιστοκλέος…: gen. absolute
15 **ἔγνωσαν**: *acknoweldged*; aor. γιγνώσκω
16 **αἱρετώτερα…μᾶλλον ἢ**: *far better choice than*; μᾶλλον is adverbial
τὰ: *those (words)…*
οἷ: *who…*; relative
ἔων: ἔα-ον, 3rd pl. impf. ἐάω
17 **τὸ…εἰπεῖν**: *to speak in sum;* abs. inf.; τὸ σύμπαν is an adverbial acc.
ἀνταείρεσθαι…οἰκίζειν: apposition ταῦτα
18 **ἐκλιπόντας**: aor. pple ἐκλείπω
19 **ἐς καιρὸν**: *at the right moment*
20 **Ἀθηναίοισι**: *great wealth having come to the Athenians in (their) treasury*
21 **τὰ…προσῆλθε**: *which came to them*
23 **διαιρέσιος**: *(from) this division*; separation
24 **τῶν χρημάτων**: *for this money*; gen. price
25 **τὸν…Αἰγινήτας**: *the (war) against Aegina*
26 **ἔσωσε ἐς Ἑλλάδα** : *came to rescue Greece*

μὲν ἐποιήθησαν οὐκ ἐχρήσθησαν, ἐς δέον δὲ οὕτω τῇ Ἑλλάδι ἐγένοντο. αὗταί τε δὴ αἱ νέες τοῖσι Ἀθηναίοισι προποιηθεῖσαι ὑπῆρχον, ἑτέρας τε ἔδεε προσναυπηγέεσθαι.
3 ἔδοξέ τέ σφι μετὰ τὸ χρηστήριον βουλευομένοισι ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα τὸν βάρβαρον δέκεσθαι τῇσι νηυσὶ πανδημεί, τῷ θεῷ πειθομένους, ἅμα Ἑλλήνων τοῖσι βουλομένοισι.

145 Τὰ μὲν δὴ χρηστήρια ταῦτα τοῖσι Ἀθηναίοισι ἐγεγόνεε. συλλεγομένων δὲ ἐς τὠυτὸ τῶν Ἑλλήνων τῶν περὶ τὴν Ἑλλάδα τὰ ἀμείνω φρονεόντων καὶ διδόντων σφίσι λόγον καὶ πίστιν, ἐνθαῦτα ἐδόκεε βουλευομένοισι αὐτοῖσι πρῶτον μὲν χρημάτων πάντων καταλλάσσεσθαι τάς τε ἔχθρας καὶ τοὺς κατ᾽ ἀλλήλους ἐόντας πολέμους· ἦσαν δὲ πρὸς τινὰς καὶ ἄλλους ἐγκεκρημένοι, ὁ δὲ ὢν μέγιστος Ἀθηναίοισί τε
2 καὶ Αἰγινήτῃσι. μετὰ δὲ πυνθανόμενοι Ξέρξην σὺν τῷ στρατῷ εἶναι ἐν Σάρδισι ἐβουλεύσαντο κατασκόπους πέμπειν ἐς τὴν Ἀσίην τῶν βασιλέος πρηγμάτων, ἐς Ἄργος τε ἀγγέλους ὁμαιχμίην συνθησομένους πρὸς τὸν Πέρσην, καὶ ἐς Σικελίην ἄλλους πέμπειν παρὰ Γέλωνα τὸν Δεινομένεος ἔς τε Κέρκυραν κελεύσοντας βοηθέειν τῇ Ἑλλάδι καὶ ἐς Κρήτην ἄλλους, φρονήσαντες εἴ κως ἔν τε γένοιτο τὸ Ἑλληνικὸν καὶ εἰ συγκύψαντες τὠυτὸ πρήσσοιεν πάντες, ὡς δεινῶν ἐπιόντων ὁμοίως πᾶσι Ἕλλησι. τὰ δὲ Γέλωνος πρήγματα μεγάλα ἐλέγετο εἶναι, οὐδαμῶν Ἑλληνικῶν τῶν
146 οὐ πολλὸν μέζω. ὡς δὲ ταῦτα σφι ἔδοξε, καταλυσάμενοι τὰς ἔχθρας πρῶτα μὲν κατασκόπους πέμπουσι ἐς τὴν Ἀσίην ἄνδρας τρεῖς. οἳ δὲ ἀπικόμενοί τε ἐς Ξάρδις καὶ καταμαθόντες τὴν βασιλέος στρατιήν, ὡς ἐπάϊστοι ἐγένοντο, βασα-

Αἰγινήτης, ὁ: an Aeginetan, from Aegina, 3
ἀλλήλος, -η, -ον: one another, 8
ἀμείνων, -ον: better, nobler, braver, 12
Ἄργος, -εος, τό: Argos (a Greek city), 4
Ἀσίη, ἡ: Asia, 17
βασανίζω: to put to the test; examine, 1
βοηθέω: to come to aid, help, assist, (dat) 19
βουλεύω: to deliberate, plan, take counsel, 19
Γέλων, -ωνος, ὁ: Gelon, 14
δέκομαι: to receive, accept, take, 10
δέω: to lack, need; *mid*. want, ask, beg (gen) 7
ἐγ-χράω: dash against; *pass*. be undertaken, 1
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἐπάϊστος, -ον: detected, heard of, 1
ἔχθρη, ἡ: hatred, enmity, 15
κατ-αλλάσσω: to reconcile, change, 2
κατα-λύω: to break down, destroy, 2
κατα-μανθάνω: to learn well, discover, find, 1
κατά-σκοπος, ὁ: spy; scout, look-out, 7
Κέρκυρα, ἡ: Corcyra, 1
Κρήτη, ἡ: Crete, 4
κως: somehow, in any way (Att. **πως**) 3
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μέζων, -ον: better, greater, longer (**μείζων**) 4
ὁμ-αιχμίη, ἡ: league, alliance; co-spearsmen 1
παν-δημεί: in a mass, with the whole people, 3
πίστις, -ιος ὁ: trust, pledge, 1
πρήσσω: to do, accomplish, make, act, 10
πρό-ναυπηγέω: to build (ships) in addition, 1
προ-ποιέω: to make beforehand, 2
Σάρδεις, ίων, αἱ: Sardis, capital of Lydia, 14
Σικελίη, ἡ: Sicily, 14
συγ-κύπτω: to work jointly, bend together, 1
συλ-λέγω: to collect, gather, 10
συν-τίθημι: to put together; agree, 5
ὑπ-άρχω: begin (gen); be at hand; belong, 14
φρονέω: to think, to be wise, prudent, 7

---

1 **αἳ δὲ**: *and these (ships)*
ἐς τὸ: *for which (purpose);* relative
ἐποιήθησαν: 3rd pl. aor. pass. with ἐς τὸ
ἐχρήσθησαν: aor. pass. χράομαι
ἐς δέον δὲ: *but for their (need)*; from neut. sg. pple δέω
2 **Ἑλλάδι**: *for Greece*; dat. interest
3 **προποιηθεῖσαι**: aor. pass. pple προ-ποιέω
ὑπῆρχον: *were at hand, belonged*; impf.
ἔδεε: *it was necessary*; impf. δεῖ
4 **σφι**: *to them*; i.e. to the Athenians
βουλευομένοισι: dat. pl. pple modifies σφι
ἐπιόντα: *approaching*; acc pple ἐπέρχομαι
ἐπὶ: *against…*
5 **τῇσι νηυσὶ**: *with their ships*; dat. of means
6 **ἅμα…**: *with those willing among the Greeks*
8 **ἐγεγόνεε**: plpf. act. γίνομαι
9 **συλλεγομένων…**: long gen. abs.
τὠυτὸ: *the same place*; (ταὐτὸ = τὸ αὐτὸ)
10 **τὰ ἀμείνω**: ἀμεινο(ν)α; neuter pl. acc.
σφίσι: *to one another*; 'to themselves'
λόγον: *an account*; i.e. they conversed
12 **χρημάτων πάντων**: *for all* matters; perhaps objective gen. with ἔχθρας
καταλλάσσεσθαι: *to reconcile*
13 **κατ᾽ ἀλλήλους**: *against one another*
ἐόντας: pple εἰμί
ἦσαν: *(the wars) were*; impf. εἰμί, which with pf. pple may form a periphrastic plpf.
πρὸς…ἄλλους *also against some others*
14 **ἐγκεκρημένοι**: *being undertaken*; difficult to parse; perhaps pf. pass pple ἐγχράω
ὁ μέγιστος (πόλεμος): *the greatest (war)*
14 **Ἀθηναίοισί…Αἰγινήτῃσι**: *by…*; dat. of agent, add ἦν ἐκεκρήμενος just as above
15 **μετὰ δὲ**: *then*
Ξέρξην: acc. subject of inf. εἰμί
16 **ἐν Σάρδισι**: *in Sardis*; the city is plural
18 **συνθησομένους**: *to make*; 'going to make,' fut. pple συντίθημι expresses purpose
πρὸς: *against*
19 **παρὰ**: *to…*; acc. place to which
τὸν Δεινομένεος: *son of Dinomenes*
20 **κελεύσοντας**: *to bid*; fut. pple, purpose
21 **εἴ…γένοιτο…**: *in the hope that there might arise*; opt. of hope, aor. opt. γίνομαι
ἕν…τὸ Ἑλληνικὸν: *one Greece*; subject
22 **εἰ…πρήσσοιεν**: *in the hope that…might do*
τὠυτὸ: *the same*; Att. ταὐτὸ = τὸ αὐτὸ
ὡς…Ἕλλησι: *since the terrors approach in a similar way for all Greeks*;. ὡς + pple (here, gen. abs.) is causal; pple ἐπέρχομαι
24 **πρήγματα**: *the power*; 'the affairs'
οὐδαμῶν Ἑλληνικῶν…μέζω: a difficult construction, some argue that οὐδαμα Ἑλληνικὰ is attracted into the genitive, or
οὐδαμῶν Ἑλληνικῶν τῶν οὐ: *than any other Greeks*; οὐδαμῶν…οὐ = πάντων
πολλον μέζω: *much greater*; μέζο(ν)α
26 **πρῶτα μὲν**: *first*; adverbial acc.

νισθέντες ὑπὸ τῶν στρατηγῶν τοῦ πεζοῦ στρατοῦ ἀπήγοντο
2 ὡς ἀπολεόμενοι. καὶ τοῖσι μὲν κατεκέκριτο θάνατος, Ξέρξης
δὲ ὡς ἐπύθετο ταῦτα, μεμφθεὶς τῶν στρατηγῶν τὴν γνώμην
πέμπει τῶν τινας δορυφόρων, ἐντειλάμενος, ἢν καταλάβωσι
3 τοὺς κατασκόπους ζῶντας, ἄγειν παρ᾽ ἑωυτόν. ὡς δὲ ἔτι περι-
εόντας αὐτοὺς κατέλαβον καὶ ἦγον ἐς ὄψιν τὴν βασιλέος,
τὸ ἐνθεῦτεν πυθόμενος ἐπ᾽ οἷσι ἦλθον, ἐκέλευε σφέας τοὺς
δορυφόρους περιάγοντας ἐπιδείκνυσθαι πάντα τε τὸν πεζὸν
στρατὸν καὶ τὴν ἵππον, ἐπεὰν δὲ ταῦτα θηεύμενοι ἔωσι
πλήρεες, ἀποπέμπειν ἐς τὴν ἂν αὐτοὶ ἐθέλωσι χώρην
147 ἀσινέας. ἐπιλέγων δὲ τὸν λόγον τόνδε ταῦτα ἐνετέλλετο,
ὡς εἰ μὲν ἀπώλοντο οἱ κατάσκοποι, οὔτ᾽ ἂν τὰ ἑωυτοῦ πρή-
γματα προεπύθοντο οἱ Ἕλληνες ἐόντα λόγου μέζω, οὔτ᾽ ἄν
τι τοὺς πολεμίους μέγα ἐσίναντο, ἄνδρας τρεῖς ἀπολέσαντες·
νοστησάντων δὲ τούτων ἐς τὴν Ἑλλάδα δοκέειν ἔφη ἀκού-
σαντας τοὺς Ἕλληνας τὰ ἑωυτοῦ πρήγματα πρὸ τοῦ στόλου
τοῦ γινομένου παραδώσειν σφέας τὴν ἰδίην ἐλευθερίην, καὶ
οὕτω οὐδὲ δεήσειν ἐπ᾽ αὐτοὺς στρατηλατέοντας πρήγματα
2 ἔχειν. οἶκε δὲ αὐτοῦ αὕτη ἡ γνώμη τῇ γε ἄλλῃ. ἐὼν γὰρ
ἐν Ἀβύδῳ ὁ Ξέρξης εἶδε πλοῖα ἐκ τοῦ Πόντου σιταγωγὰ
διεκπλώοντα τὸν Ἑλλήσποντον, ἔς τε Αἴγιναν καὶ Πελοπόν-
νησον κομιζόμενα. οἱ μὲν δὴ πάρεδροι αὐτοῦ ὡς ἐπύθοντο
πολέμια εἶναι τὰ πλοῖα, ἕτοιμοι ἦσαν αἱρέειν αὐτά, ἐσβλέ-
3 ποντες ἐς τὸν βασιλέα ὁκότε παραγγελέει. ὁ δὲ Ξέρξης
εἴρετο αὐτοὺς ὅκῃ πλέοιεν· οἱ δὲ εἶπαν ‘Ἐς τοὺς σοὺς
πολεμίους, ὦ δέσποτα, σῖτον ἄγοντες.’ ὁ δὲ ὑπολαβὼν
ἔφη ‘Οὐκ ὦν καὶ ἡμεῖς ἐκεῖ πλέομεν ἔνθα περ οὗτοι, τοῖσί

Ἄβυδος, -ου, ὁ: Abydus, 7
Αἴγινα, ἡ, ὁ: Aegina, 1
αἱρέω: to seize, take; *mid*. choose, 17
ἀπ-άγω: to lead away, carry off, 5
ἀ-σινής, -ές: unharmed, unhurt, 1
δεσπότης, ὁ: master, lord, 11
δι-εκ-πλώω: to sail out through, 3
δορυ-φόρος, ὁ: bodyguard, spear-bearer, 10
ἐκεῖ: there, in that place, 2
ἐλευθερίη, ἡ: freedom, liberty, 4
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἔνθα: where; there, then, 9
ἐνθεῦτεν: from here, from there (ἐντεῦθεν) 12
ἐν-τέλλομαι: to command, enjoin, 10
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπι-δείκνυμι: to display, point out, prove, 2
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐσ-βλέπτω: to look at, look upon, 1
ἑτοῖμος, -η, -ον: ready, prepared, at hand, 6
ζώω: to live, (Att. ζάω) 9
θάνατος, ὁ: death, 12
ἴδιος, -η, -ον: one's own; private, lone, 5
κατα-κρίνω: to judge, condemn, sentence, 1
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κατά-σκοπος, ὁ: spy; scout, look-out, 7
κομίζω: to carry, convey; travel, journey, 6
μέζων, -ον: better, greater, longer (μείζων) 4
μέμφομαι: to blame, censure, find fault with, 2
νοστέω: return, come back, 7
ὅκη: where? by which way? (Att. ὅπη) 1
ὁκότε: when, at what time (Att. ὁπότε) 1
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
παρ-αγγέλλω: to pass word, give orders, 2
παρα-δίδωμι: give or hand over, transmit, 6
πάρ-εδρος, ὁ: counseller, one sitting nearby, 1
Πελοποννήσος, ὁ: Peloponnesus, 9
περι-άγω: to lead around, 1
περί-ειμι: to survive; surpass, be superior, 11
πλήρης, -ες: full, filled, 3
πλοῖον τό: ship, vessel, 11
πόντος, ὁ: sea, 5
προ-πυνθάνομαι: to learn beforehand 1
σίνομαι: to plunder, do harm, destroy, 1
σιτο-αγωγός, -ον: grain-carrying, 4
σῖτος, ὁ: to grain, food (pl. σῖτα, τὰ) 10
στόλος, ὁ: expedition, armed voyage, 10
στρατ-ηλατέω: to lead an army, command, 8
ὑπο-λαμβάνω: to take up, reply; suppose, 3

---

1 βασανισθέντες: *examined*; aor. pass. pple
ὑπὸ: *by…*; gen. of agent
ἀπήγοντο: impf. passive ἀπ-άγω
2 ὡς ἀπολεόμενοι: *to die*; ὡς + fut. pple expresses purpose
τοῖσι μὲν: *upon them*; dat. of compound
κατεκέκριτο: plpf. passive κατα-κρίνω
3 ἐπύθετο: aor. mid. πυνθάνομαι
μεμφθεὶς: nom. aor. pass/dep pple μέμφομαι
4 ἐντειλάμενος: aor. mid. pple ἐντέλλομαι
ἢν καταλάβωσι: *if ever…*; ἐὰν + aor. subj., protasis in a future-more-vivid
5 ζῶντας: acc. pl. pres. pple ζάω
ἄγειν: *to bring (them);* supply object
παρ' ἑωυτόν: *to himself*
ὡς: *when*
περιεόντας: acc. pl. pple περί-ειμι
6 ἦγον: 3rd pl. impf. ἄγω
τὸ ἐνθεῦτεν: adverbial acc.
7 ἐπ' οἷσι: *on what conditions, on what terms*
ἦλθον: 3rd pl. aor. ἔρχομαι
9 θηεύμενοι: *by viewing*; causal in force
ἔωσι: 3rd pl. subj. εἰμί; general temporal
10 ἀποπέμπειν: inf. governed by ἐκέλευε
ἐς τὴν…χώρην: *to whichever land…*
ἂν ἐθέλωσι: ἄν + subj., general relative
11 ἐπιλέγων δὲ τὸν λόγον: *thinking over the following reason…*
ὡς: *(namely) that*
12 εἰ μὲν ἀπώλοντο…ἂν…προεπύθοντο: *if…had died…would have learned before*; past contrafactual (εἰ aor. ind., ἄν + aor)
τὰ…πρήγματα: *his power*; 'his affairs'
13 ἐόντα: neuter pl. pple modifies πρήγματα
μέζω: μέζο(ν)α, neuter pl. pred. of ἐόντα
14 ἂν…ἐσίναντο: *would harm*; aor. ind. in the apodosis of the same contrafactual
μέγα: inner acc. + τι: 'some great harm'
ἀπολέσαντες: aor. pple ἀπόλλυμι
15 νοστησάντων δὲ τούτων: *but if these men return…*; gen. abs. is conditional in force
ἔφη: *Xerxes said*; impf. φημί
16 πρὸ: *before*; temporal in sense
17 παραδώσειν: i.e. surrender, fut. inf.
18 δεήσειν: *it will be necessary*; fut. inf. δεῖ
19 οἷκε: *is like another decision*; ἐοίκε
20 εἶδε: *he saw*; aor. ὁράω
25 εἴρετο: *asked*; impf. εἴρομαι
πλέοιεν: *they sailed*; opt. in place of impf.
27 Οὐκ ὦν: *are we not then…?*; a question

τε ἄλλοισι ἐξηρτυμένοι καὶ σίτῳ; τί δῆτα ἀδικέουσι οὗτοι ἡμῖν σιτία παρακομίζοντες;'

148 Οἱ μέν νυν κατάσκοποι οὕτω θεησάμενοί τε καὶ ἀποπεμφθέντες ἐνόστησαν ἐς τὴν Εὐρώπην, οἱ δὲ συνωμόται Ἑλλήνων ἐπὶ τῷ Πέρσῃ μετὰ τὴν ἀπόπεμψιν τῶν κατασκόπων
2 δεύτερα ἔπεμπον ἐς Ἄργος ἀγγέλους. Ἀργεῖοι δὲ λέγουσι τὰ κατ' ἑωυτοὺς γενέσθαι ὧδε. πυθέσθαι γὰρ αὐτίκα κατ' ἀρχὰς τὰ ἐκ τοῦ βαρβάρου ἐγειρόμενα ἐπὶ τὴν Ἑλλάδα, πυθόμενοι δέ, καὶ μαθόντες ὡς σφέας οἱ Ἕλληνες πειρήσονται παραλαμβάνοντες ἐπὶ τὸν Πέρσην, πέμψαι θεοπρόπους ἐς Δελφοὺς τὸν θεὸν ἐπειρησομένους ὥς σφι μέλλει ἄριστα ποιέουσι γενέσθαι· νεωστὶ γὰρ σφέων τεθνάναι ἑξακισχιλίους ὑπὸ Λακεδαιμονίων καὶ Κλεομένεος τοῦ Ἀναξανδρίδεω·
3 τῶν δὴ εἵνεκα πέμπειν. τὴν δὲ Πυθίην ἐπειρωτῶσι αὐτοῖσι ἀνελεῖν τάδε.

ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσιν,
εἴσω τὸν προβόλαιον ἔχων πεφυλαγμένος ἧσο
καὶ κεφαλὴν πεφύλαξο· κάρη δὲ τὸ σῶμα σαώσει.

ταῦτα μὲν τὴν Πυθίην χρῆσαι πρότερον· μετὰ δὲ ὡς ἐλθεῖν τοὺς ἀγγέλους ἐς δὴ τὸ Ἄργος, ἐπελθεῖν ἐπὶ τὸ βουλευτή-
4 ριον καὶ λέγειν τὰ ἐντεταλμένα. τοὺς δὲ πρὸς τὰ λεγόμενα ὑποκρίνασθαι ὡς ἕτοιμοι εἰσὶ Ἀργεῖοι ποιέειν ταῦτα, τριήκοντα ἔτεα εἰρήνην σπεισάμενοι Λακεδαιμονίοισι καὶ ἡγεόμενοι κατὰ τὸ ἥμισυ πάσης τῆς συμμαχίης. καίτοι κατά γε τὸ δίκαιον γίνεσθαι τὴν ἡγεμονίην ἑωυτῶν· ἀλλ' ὅμως σφι
149 ἀποχρᾶν κατὰ τὸ ἥμισυ ἡγεομένοισι. ταῦτα μὲν λέγουσι τὴν βουλὴν ὑποκρίνασθαι, καίπερ ἀπαγορεύοντός σφι τοῦ χρηστηρίου μὴ ποιέεσθαι τὴν πρὸς τοὺς Ἕλληνας συμμαχίην.

ἀ-δικέω: to be unjust, do wrong, injure, 8
ἀ-θάνατος, -ον: immortal, undying, 10
ἀν-αιρέω: take up, pick up; *mid*. choose, 5
Ἀναξανδρίδης -εος, ἡ: Anaxandrides, 3
ἀπ-αγορεύω: to forbid, 1
ἀπό-πεμψις, ἡ: the sending off, dispatching 2
ἀπο-χράω: to suffice, use to full, 2
Ἀργεῖος, ὁ: an Argive, 11
Ἄργος, -εος, τό: Argos (a Greek city), 4
αὐτίκα: straightway, at once; presently, 11
βουλευτήριον, τό: council-chamber, 2
βουλή, ἡ: plan, deliberation, advice, opinion, 7
Δελφοί, οἱ: Delphi (town) 12
δῆτα: certainly, to be sure, of course, 1
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
ἐγείρω: to raise, awaken, wake up, rouse, 3
εἵνεκα: for the sake or because of, (gen.), 18
εἰρήνη, ἡ: peace, treaty of peace, 2
εἴσω: into, inwards, to within, into, in, 3
ἐν-τέλλομαι: to command, enjoin, 10
ἑξα-κισ-χίλιοι, -αι, -α: six thousand, 2
ἐξ-αρτύω: to fit out, furnish, prepare, 1
ἐπ-ειρωτάω: inquire of, question, consult, 4
ἐπ-είρομαι: to ask in addition, ask about, 1
ἑτοῖμος, -η, -ον: ready, prepared, at hand, 6
Εὐρώπη, ἡ: Europe, 13
ἐχθρός, -ή, -όν: hated, hostile; *subs*. enemy 16
ἧμαι: to sit, sit down, settle, 1
ἥμισυς, -υ: half, 8
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
ἡγέομαι: to lead; consider, think, believe, 11
θεοπρόπος, ὁ: seer, prophet; messenger, 5
θνήσκω: to die, 2
καίπερ: although, albeit, 5
καί-τοι: and yet, and indeed, and further 6
κάρη, τό: head, 3
κατά-σκοπος, ὁ: spy; scout, look-out, 7
Κλεομένης, -εος, ὁ: Cleomenes, 4
μανθάνω: to learn, understand, 18
νεωστί: lately, just now, 2
νοστέω: return, come back, 7
παρα-κομίζω: to carry along, convoy, 1
παρα-λαμβάνω: to receive, undertake, 16
πέμπω: to send; dismiss, 44
περι-κτίονες, οἱ: those dwelling around, 1
προ-βόλαιος, ὁ: (spear) at rest, in front, 1
Πυθίη, ἡ: the Pythia (priestess of Apollo), 6
σιτίον, τό: grain; made of grain, food, bread, 3
σῖτος, ὁ: to grain, food (pl. σῖτα, τὰ) 10
σπένδω: to pour a libation; make a treaty 2
συμ-μαχίη, ἡ: an alliance, 4
συν-ωμότης, ὁ: those sworn together, 1
σῴζω: to save, keep, preserve, 9
σῶμα, -ατος, τό: the body, 7
τριήκοντα: thirty, 9
ὑπο-κρίνομαι: to answer, reply, respond, 8
φίλος, -η, -ον: dear, beloved; *subst*. friend, 15
ὧδε: in this way, so, thus, 17

---

1 ἄλλοισι: *by other things and…*; means
ἐξηρτυμένοι: *fitted out*; pf. pass. pple
τί: *what (wrong)*; inner accusative
2 ἡμῖν: *to us*; dat. of interest
ἀποπεμπφθέντες: aor. pass. pple
6 δεύτερα: *next*; adverbial acc.
ἐπὶ τῷ Πέρσῃ: *against the Persian*
7 τὰ κατ᾽ ἑωυτοὺς: *matters on themselves*
γενέσθαι: *occurred*; aor. inf.
πυθέσθαι: *(namely that) they heard*; aor. inf.
8 τὰ ἐγειρόμενα: *affairs arising…*; mid. pple
ἐπὶ: *against*
μαθόντες: aor. pple μανθάνω
10 παραλαμβάνοντες: *taking to them as ally*
πέμψαι: *that they sent*; aor. inf., ind. disc.
11 ἐπειρησομένους: fut. pple ἐπ-είρομαι
ὥς…μέλλει…γενέσθαι: *how it is likely to turn out*; μέλλω expresses likelihood
ἄριστα: superlative adverb
12 ποιέουσι: dat. pl. pple modifies σφι
τεθνάναι: pf. inf. θνήσκω
ἑξακισχιλίους: acc. subject of τεθνάναι
13 ὑπὸ: *because of…;* gen.of cause (agent)
14 τῶν δὴ εἵνεκα: *for exactly these (reasons)*
πέμπειν: *they were sending (messengers)*
ἐπειρωτῶσι: dat. pres. pple ἐπ-ειρωτάω
15 ἀνελεῖν: *replied*; 'took up,' aor. ἀν-αιρέω
16 ἐχθρὲ..φίλ᾽: *hated…beloved*; dir. address
περικτιόνεσσι: 3rd decl. dat. plural
17 ἧσο: *sit*; 'crouch,' pf. imperative ἧμαι
18 πεφύλαξο: *guard!*; pf. imperative
σαώσει: *will save*; Doric fut. σώζω
19 χρῆσαι: *proclaimed*; aor. inf. χράω
μετὰ δὲ ὡς ἐλθεῖν: *then, when…came*
21 ἐντεταλμένα: *the things commanded*; pf
23 σπεισάμενοι: *(if) making peace*; σπένδω
24 κατὰ τὸ ἥμισυ: *over half*
κατά γε τὸ δίκαιον; *rightly*; 'in the right'
26 ἀποχρᾶν; *it is enough*; inf. απο-χράω
27 ἀπαγορεύοντός…χρηστηρίου: gen. abs.

σπουδὴν δὲ ἔχειν σπονδὰς γενέσθαι τριηκοντοέτιδας καίπερ τὸ χρηστήριον φοβεομένοισι, ἵνα δή σφι οἱ παῖδες ἀνδρωθέωσι ἐν τούτοισι τοῖσι ἔτεσι· μὴ δὲ σπονδέων ἐουσέων ἐπιλέγεσθαι, ἢν ἄρα σφέας καταλάβῃ πρὸς τῷ γεγονότι κακῷ ἄλλο πταῖσμα πρὸς τὸν Πέρσην, μὴ τὸ λοιπὸν ἔωσι
2 Λακεδαιμονίων ὑπήκοοι. τῶν δὲ ἀγγέλων τοὺς ἀπὸ τῆς Σπάρτης πρὸς τὰ ῥηθέντα ἐκ τῆς βουλῆς ἀμείψασθαι τοῖσιδε· περὶ μὲν σπονδέων ἀνοίσειν ἐς τοὺς πλεῦνας, περὶ δὲ ἡγεμονίης αὐτοῖσι ἐντετάλθαι ὑποκρίνασθαι, καὶ δὴ λέγειν, σφίσι μὲν εἶναι δύο βασιλέας, Ἀργείοισι δὲ ἕνα· οὐκ ὦν δυνατὸν εἶναι τῶν ἐκ Σπάρτης οὐδέτερον παῦσαι τῆς ἡγεμονίης, μετὰ δὲ δύο τῶν σφετέρων ὁμόψηφον τὸν Ἀργεῖον εἶναι κωλύειν
3 οὐδέν. οὕτω δὴ οἱ Ἀργεῖοι φασὶ οὐκ ἀνασχέσθαι τῶν Σπαρτιητέων τὴν πλεονεξίην, ἀλλ᾽ ἑλέσθαι μᾶλλον ὑπὸ τῶν βαρβάρων ἄρχεσθαι ἤ τι ὑπεῖξαι Λακεδαιμονίοισι, προειπεῖν τε τοῖσι ἀγγέλοισι πρὸ δύντος ἡλίου ἀπαλλάσσεσθαι ἐκ τῆς Ἀργείων χώρης, εἰ δὲ μή, περιέψεσθαι ὡς πολεμίους.
150 αὐτοὶ μὲν Ἀργεῖοι τοσαῦτα τούτων πέρι λέγουσι· ἔστι δὲ ἄλλος λόγος λεγόμενος ἀνὰ τὴν Ἑλλάδα, ὡς Ξέρξης ἔπεμψε κήρυκα ἐς Ἄργος πρότερον ἤ περ ὁρμῆσαι στρατεύεσθαι
2 ἐπὶ τὴν Ἑλλάδα· ἐλθόντα δὲ τοῦτον λέγεται εἰπεῖν Ἄνδρες Ἀργεῖοι, βασιλεὺς Ξέρξης τάδε ὑμῖν λέγει. Ἡμεῖς νομίζομεν Πέρσην εἶναι ἀπ᾽ οὗ ἡμεῖς γεγόναμεν παῖδα Περσέος τοῦ Δανάης, γεγονότα ἐκ τῆς Κηφέος θυγατρὸς Ἀνδρομέδης. οὕτω ἂν ὦν εἴημεν ὑμέτεροι ἀπόγονοι. οὔτε ὦν ἡμέας οἰκὸς ἐπὶ τοὺς ἡμετέρους προγόνους στρατεύεσθαι, οὔτε ὑμέας ἄλλοισι τιμωρέοντας ἡμῖν ἀντιξόους γίνε-

αἱρέω: to seize, take; *mid*. choose, 17
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀνα-φέρω: to report, bring up, recover, 1
Ἀνδρομέδη, ἡ: Andromeda, 2
ἀνδρόομαι: to rear to manhood, 1
ἀν-έχω: to uphold, endure; arise, 9
ἀντί-ξοος, -ον: opposing, adverse, 4
ἀπό-γονος, -ον: descendents, born from, 9
Ἀργεῖος, ὁ: an Argive, 11
Ἄργος, -εος, τό: Argos (a Greek city), 4
βουλή, ἡ: plan, deliberation, advice, opinion, 7
Δανάη, ἡ: Danaë, 2
δυνατός, -ή, -όν: capable, strong, possible, 8
δύω: to set, go (down), sink, 1
ἐν-τέλλομαι: to command, enjoin, 10
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
ἡμέτερος, -α, -ον: our, 12
θυγάτηρ, ἡ: a daughter, 14
καίπερ: although, albeit, 5
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
Κηφεύς, ὁ: Cepheus, 3
κωλύω: to hinder or prevent, 1
λοιπός, -ή, -όν: remaining, the rest, 15
νομίζω: believe, consider; be accustomed, 16
ὁμό-ψηφος, -ον: having an equal vote, 1
οὐδ-έτερος, -η, -ον: neither of the two, 3
περι-έπομαι: to treat (with care), handle 3
Περσεύς, ὁ: Perseus (the hero), 2
Πέρσης, ὁ: Perses, 2
πλεον-εξία, ἡ: greed, grasping, arrogance 1
πρό-γονος, ὁ: a ancestor, forefather, 4
προ-εἶδον: to look forward, catch sight of, 3
πταῖσμα, ατος τό: misstep, stumble; failure 1
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 5
σπουδή, ἡ: earnestness, effort, enthusiasm, 2
σφέτερος, -η, -ον: their own, their, 9
τιμωρέω: to help; avenge, seek vengeance, 17
τριηκοντ-αετής, -τιδος: of 30 years, 1
ὑμέτερος, -α, -ον: your, yours, 2
ὑπ-είκω: to concede, yield; withdraw from, 2
ὑπήκοος, -ον: subject to, heeding; (gen.) 4
ὑπο-κρίνομαι: to answer, reply, respond, 8
φοβέω: to put to flight, terrify, frighten, 9

---

1 σπουδὴν δὲ ἔχειν: *that (they) had eagerness*
σπονδὰς…; *that there be a 30-year treaty*
2 φοβεομένοισι: *for (them), although fearing*
σφι: *to us*; dat. of interest
ἀνδρωθέωσι: aor. pass. ἀνδρόομαι
3 ἔτεσι: dat. pl. ἔτος
μὴ…ἐουσέων: *if there was…*; gen. abs. is conditional
4 ἐπιλέγεσθαι: *(they) thought*; ind. discourse
ἢν…καταλάβῃ: *if…overtakes*; aor. subj.
πρὸς…κακῷ: *in addition to the evil having occurred*; pl. pple γίνομαι
5 ἄλλο πταῖσμα: nom. subject
μὴ…ἔωσι: *(they feared) that they would be*; μὴ + 3rd pl. subj. εἰμί in a fearing clause, verb amiss or implicit in ἐπιλέγεσθαι
6 τὸ λοιπὸν: *in the future*; adverbial acc.
7 πρὸς τὰ ῥηθέντα: *things said*; aor. pass. pple λέγω (-ἐρ)
ἐκ τῆς βουλῆς: *from the Council*
8 ἀνοίσειν: *they would refer*; fut. ἀναφέρω
8 ἐς τοὺς πλεῦνας: *to the people*; 'masses'
9 αὐτοῖσι: *by them*; dat. of agent with pf.
ἐντετάλθαι ὑποκρίνασθαι: *that (they) were commanded to answer*; pf. pass. inf.
καὶ δὴ λέγειν: *and in fact they said*
σφίσι…εἶναι: *that they had*; dat. possession
10 Ἀργείοισι: dat. of possession
δυνατὸν εἶναι: *that it is possible*; impers.
11 παῦσαι: aor. inf. παύω
τῆς ἡγεμονίης: *from…*; gen. separation
μετὰ δε…σφετέρων: *but with two of their (kings)*
12 τὸν Ἀργεῖον: acc. subj. of εἶναι
κωλύειν οὐδὲν: *nothing prevents that…*
φασὶ: *say*; 3rd pl. pres. φημί
ἀνασχέσθαι: aor. mid. inf. ἀν-έχω
14 ἑλέσθαι: *that they chose*; aor. mid. αἱρέω
ὑπὸ: *by…*; gen. of agent
μᾶλλον…ἤ: *rather…than*
ἄρχεσθαι: *to be ruled*; pass. inf.
15 ὑπεῖξαι: aor. inf. ὑπ-είκω + dat.
προειπεῖν: *that they order* + dat.
16 πρὸ: *before*
δύντος: *setting*; gen. pple
17 περιέψεσθαι: fut. mid. inf. περι-έπομαι
ὡς πολεμίους: *as enemies*
18 τούτων πέρι: *concerning these matters*
20 ὁρμῆσαι: *set forth*; aor. inf. ὁρμάω
23 ἀπ' οὗ: *the (one) from whom we are born*
25 ἂν…εἴημεν: *we would be*; potential opt.
26 οἰκὸς: *it is reasonable*; Att. ἐοικός

σθαι, ἀλλὰ παρ᾽ ὑμῖν αὐτοῖσι ἡσυχίην ἔχοντας κατῆσθαι. ἢν γὰρ ἐμοὶ γένηται κατὰ νόον, οὐδαμοὺς μέζονας ὑμέων ἄξω.᾽ ταῦτα ἀκούσαντας Ἀργείους λέγεται πρῆγμα ποιήσασθαι, καὶ παραχρῆμα μὲν οὐδὲν ἐπαγγελλομένους μεταιτέειν, ἐπεὶ δὲ σφέας παραλαμβάνειν τοὺς Ἕλληνας, οὕτω δὴ ἐπισταμένους ὅτι οὐ μεταδώσουσι τῆς ἀρχῆς Λακεδαιμόνιοι
150 μεταιτέειν, ἵνα ἐπὶ προφάσιος ἡσυχίην ἄγωσι. συμπεσεῖν δὲ τούτοισι καὶ τόνδε τὸν λόγον λέγουσι τινὲς Ἑλλήνων πολλοῖσι [τε] ἔτεσι ὕστερον γενόμενον τούτων. τυχεῖν ἐν Σούσοισι τοῖσι Μεμνονίοισι ἐόντας ἑτέρου πρήγματος εἵνεκα ἀγγέλους Ἀθηναίων Καλλίην τε τὸν Ἱππονίκου καὶ τοὺς μετὰ τούτου ἀναβάντας, Ἀργείους δὲ τὸν αὐτὸν τοῦτον χρόνον πέμψαντας καὶ τούτους ἐς Σοῦσα ἀγγέλους εἰρωτᾶν Ἀρτοξέρξην τὸν Ξέρξεω εἴ σφι ἔτι ἐμμένει τὴν πρὸς Ξέρξην φιλίην συνεκεράσαντο, ἢ νομιζοίατο πρὸς αὐτοῦ εἶναι πολέμιοι· βασιλέα δὲ Ἀρτοξέρξην μάλιστα ἐμμένειν φάναι, καὶ
152 οὐδεμίαν νομίζειν πόλιν Ἄργεος φιλιωτέρην. εἰ μέν νυν Ξέρξης τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα ἐς Ἄργος καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα ἐπειρώτων Ἀρτοξέρξην περὶ φιλίης, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν, οὐδέ τινα γνώμην περὶ αὐτῶν ἀποφαίνομαι ἄλλην γε ἢ τήν περ αὐτοὶ Ἀργεῖοι λέγουσι. ἐπίσταμαι δὲ τοσοῦτον ὅτι εἰ πάντες ἄνθρωποι τὰ οἰκήια κακὰ ἐς μέσον συνενείκαιεν ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισι, ἐγκύψαντες ἂν ἐς τὰ τῶν πέλας κακὰ ἀσπασίως ἕκαστοι αὐτῶν ἀποφεροίατο ὀπίσω τὰ ἐσηνεικαίατο. οὕτω [δὴ] οὐδ᾽ Ἀργείοισι αἴσχιστα πεποίηται. ἐγὼ δὲ ὀφείλω λέγειν τὰ λεγόμενα, πείθεσθαί γε μὲν οὐ

αἰσχρός, -ή -όν: shameful, disgraceful;ugly 2
ἀλλάσσω: to exchange, barter, change 1
ἀπο-βαίνω: to turn out, result; disembark, 4
ἀπο-φαίνω: to show, make clear; perform, 5
ἀπο-φέρω: to carry off or away, 2
Ἀργεῖος, ὁ: an Argive, 11
Ἄργος, -εος, τό: Argos (a Greek city), 4
Ἀρτοξέρξης, ὁ: Artaxerxes (male), 2
ἀσπασιός, -ή, -όν: desirable; welcome, 1
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
ἐγ-κύπτω τό: stoop down, look closely at, 1
εἵνεκα: for the sake or because of, (gen.), 18
εἰρωτάω: ask, inquire, question (**ἐρωτάω**) 4
ἐμ-μένω: to abide in, remain (in), 3
ἐπ-αγγέλλω: to tell, proclaim, announce, 8
ἐπ-ειρωτάω: inquire of, question, consult, 4
ἐσ-φέρω: to bring in, introduce; contribute, 1
ἡσυχίη, ἡ: idle, silence, quiet, stillness, rest, 5
Ἱππονίκος -ου, ὁ: Hipponicus, 1
Καλλίας, ὁ: Callias (male), 1
κάτ-ημαι: to sit, sit down, settle, 2
κῆρυξ, κήρυκος ὁ: messenger, herald, 13
μέζων, -ον: better, greater, longer (**μείζων**) 4
Μεμνονίος, η, ον: Memnonian, of Memnon, 1
μετα-αιτέω: to ask one's share of (gen), 3
μετα-δίδωμι: to give or grant a share of, 1
νομίζω: believe, consider; be accustomed, 16
νόος, ὁ: mind, perception, heart, 5
οἰκήιος, -η, -ον: one's own; *subst*. kin, 6
παρα-λαμβάνω: to receive, undertake, 16
παραχρῆμα: on the spot, straightaway, 1
πέλας: near, close to (gen); neighbor, other, 2
πλήσιος, -η, -ον: near, close; neighbors, 1
πρό-φασις, ἡ : excuse, pretext, 4
Σοῦσα, τά: Susa, 8
συγ-κεράννυμι: be involved with or mingle, 1
συμ-πίπτω: to come to blows, happen, 3
συμ-φέρω: to gather; happens, be expedient, 6
φίλος, -η, -ον: dear, beloved; *subst*. friend, 15
φιλίη, ἡ: friendship, affection, love, 7

---

1 **παρ᾽ ὑμῖν αὐτοῖσι**: *by yourselves*;
κατῆσθαι: inf. κάτημαι with οἰκὸς above
2 **ἡσυχίην ἔχοντας**: *keeping idle*
ἢ…γένηται: *if it turns out*; aor. subj. in a future more vivid (ἐάν subj., fut. ind.)
ἐμοὶ: fo*r me*; dat. interest
κατὰ νόον: *according to my plan*
ὑμέων: *than you*; gen. of comparison
4 **ἄξω**: *I will consider*; fut. ἄγω
λέγεται: *it is said*; impersonal
ποιήσασθαι: *to consider the matter highly*
5 **παραλαμβάνειν**: *take to themselves as ally*
6 **μεταδώσουσι**: *will allow*; fut. μεταδίδωμι
7 **ἐπὶ προφάσιος**: *for pretence*
ἵνα…ἄγωσι: purpose governs pres. subj.
7 **συμπεσεῖν**: *it happened*; aor. in. συμπίπτω
τούτοισι: *to these*; dat. interest
8 **πολλοῖσι ἔτεσι ὕστερον…τούτων**: *many years later than these*; adverbial acc., dat. degree of difference and gen. of comparison
9 **τυχεῖν…ἐόντας**: *happened to be*; aor. inf. of τυγχάνω + pple εἰμί
12 **ἀναβάντας**: *those coming*; aor ἀναβαίνω
τὸν αὐτὸν…χρόνον: *during this same time*
εἰρωτᾶν: inf. εἰρωτάω
14 **εἴ**: *whether*; indirect question
τὴν…συνεκεράσαντο: *the (friendship) which…*; relative clause, supply as subject of ἐμμένειν with οἰκὸς above
κατῆσθαι: inf. κάτημαι with οἰκὸς above
15 **συνεκεράσαντο**: aor. mid.
ἤ: *or*
νομιζοίατο: *they were considered*; pres. opt. replacing an impf. in secondary seq.
15 **πρὸς αὐτοῦ**: *by him*
16 **φάναι**: inf. φημί, βασιλέα is acc. subject
νομίζειν: governs a double accusative
17 **Ἄργεος**: *than Argos*; gen. of comparison
19 **ἐπειρώτων**: 3rd pl. impf. ἐπειρωτάω
20 **ἔχω**: *I am able*; as often with an inf.
ἄλλην γε ἤ: *other, at least, than…*
21 **τήν**: *that (opinion)*; supply γνώμην
τοσοῦτον ὅτι: *this much…(namely) that…*
23 **ἐς μέσον**: *in the midst*; i.e. in public
συνενείκαιεν: *should carry*; aor. opt. συνφέρω; future less vivid (opt., opt.)
24 **πλησίοισι**: *with neighbors*; dat. association
ἐγκύψαντες…κακὰ: *stooping at the troubles of one's neighbors*
25 **ἂν…ἀποφεροίατο**: *would carry away*; pres., apodosis, future less vivid (opt., opt)
τὰ: *(the things) which*; relative pronoun
ἐσενείκαιτο: aor. opt. ἐσφέρω;
26 **Ἀργείοισι**: *to the Argives*
αἴσχιστα πεποίηται: *thus not the most disgraceful things were done*; superlative
27 **ὀφείλω**: *I ought*

παντάπασι ὀφείλω, καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα λόγον· ἐπεὶ καὶ ταῦτα λέγεται, ὡς ἄρα Ἀργεῖοι ἦσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, ἐπειδή σφι πρὸς τοὺς Λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἑστήκεε, πᾶν δὴ βουλόμενοι σφίσι εἶναι πρὸ τῆς παρεούσης λύπης.

153 Τὰ μὲν περὶ Ἀργείων εἴρηται· ἐς δὲ τὴν Σικελίην ἄλλοι τε ἀπίκατο ἄγγελοι ἀπὸ τῶν συμμάχων συμμείξοντες Γέλωνι καὶ δὴ καὶ ἀπὸ Λακεδαιμονίων Σύαγρος. τοῦ δὲ Γέλωνος τούτου πρόγονος, οἰκήτωρ ὁ ἐν Γέλῃ, ἦν ἐκ νήσου Τήλου τῆς ἐπὶ Τριοπίῳ κειμένης· ὃς κτιζομένης Γέλης ὑπὸ Λινδίων
2 τε τῶν ἐκ Ῥόδου καὶ Ἀντιφήμου οὐκ ἐλείφθη. ἀνὰ χρόνον δὲ αὐτοῦ οἱ ἀπόγονοι γενόμενοι ἱροφάνται τῶν χθονίων θεῶν διετέλεον ἐόντες, Τηλίνεω ἑνός τευ τῶν προγόνων κτησαμένου τρόπῳ τοιῷδε. ἐς Μακτώριον πόλιν τὴν ὑπὲρ Γέλης οἰκη-
3 μένην ἔφυγον ἄνδρες Γελῴων στάσι ἐσσωθέντες· τούτους ὦν ὁ Τηλίνης κατήγαγε ἐς Γέλην, ἔχων οὐδεμίαν ἀνδρῶν δύναμιν ἀλλὰ ἱρὰ τούτων τῶν θεῶν· ὅθεν δὲ αὐτὰ ἔλαβε ἢ αὐτὸς ἐκτήσατο, τοῦτο δὲ οὐκ ἔχω εἰπεῖν· τούτοισι δ' ὦν πίσυνος ἐὼν κατήγαγε, ἐπ' ᾧ τε οἱ ἀπόγονοι αὐτοῦ ἱρο-
4 φάνται τῶν θεῶν ἔσονται. θῶμά μοι ὦν καὶ τοῦτο γέγονε πρὸς τὰ πυνθάνομαι, κατεργάσασθαι Τηλίνην ἔργον τοσοῦτον· τὰ τοιαῦτα γὰρ ἔργα οὐ πρὸς [τοῦ] ἅπαντος ἀνδρὸς νενόμικα γίνεσθαι, ἀλλὰ πρὸς ψυχῆς τε ἀγαθῆς καὶ ῥώμης ἀνδρηίης· ὁ δὲ λέγεται πρὸς τῆς Σικελίης τῶν οἰκητόρων τὰ ὑπεναντία τούτων πεφυκέναι θηλυδρίης τε καὶ μαλακώτερος ἀνὴρ.
154 οὗτος μέν νυν ἐκτήσατο τοῦτο τὸ γέρας· Κλεάνδρου δὲ τοῦ

ἀνδρηίη, ἡ: manliness, bravery, courage, 4
Ἀντιφήμος, ὁ: Antiphemus (male) 1
ἀπό-γονος, -ον: descendents, born from, 9
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
Ἀργεῖος, ὁ: an Argive, 11
Γέλη, ἡ : Gela (place) 5
Γέλων, -ωνος, ὁ: Gelon, 14
Γέλῳοι, οἱ: the Geloans, from Gela, 4
γέρας, ὁ: a gift of honor, 5
δια-τελέω: continue, accomplish to the end, 2
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
ἐπειδή: when, after, since, because, 10
ἐπι-καλέω: to call upon, summon, 5
ἔργον, τό: work, task, deed, act, 12
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
θηλυ-δρίης –εω, ὁ: effeminate man, 1
θῶμα, -ατος, τό: wonder, amazement, 11
ἱρο-φάντης, -εω ὁ: priest, teacher of rites, 2
ἵστημι: to make stand; set up, stop, 18
κατ-άγω: to bring back or down, 3
κατ-εργάζομαι: to make, achieve; overcome 7
κεῖμαι: to lie down, 15
Κλέανδρος ὁ: Cleandrus, 3
κτίζω: to found, establish, colonize, 2
Λινδίοι, οἱ: the Lindians, 1
λύπη, ἡ: pain (of body), distress, grief, 4
μαλακός, -ή, -όν: soft, feeble, 1
Μακτώριον, τό: Mactorium, 1
νομίζω: believe, consider; be accustomed, 16
ὅ-θεν: from where, from which, 1
οἰκήτωρ, -τορος ὁ: an inhabitant, 4
παντά-πασι: all in all, altogether, 1
πίσυνος, -όν: trusting in, relying upon, 3
πρό-γονος, ὁ: a ancestor, forefather, 4
Ῥόδος, ὁ: Rhodes, 1
ῥώμη, ἡ: bodily strength, might, 4
Σικελίη, ἡ: Sicily, 14
στάσις, ἡ: party, faction; quarrel, 4
Σύαγρος, ὁ: Syagrus, 3
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
Τηλίνης, -εω, ὁ: Telines, 4
Τήλος, ὁ: Telos, 1
Τριοπίον, τό: Triopium, 1
ὑπ-εναντιος, -ον: opposing, contrary, 3
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
φεύγω: to flee, escape; 18
φύω: to be by nature, bring forth, grow, 14
χθόνιος, -η, -ον: of (beneath) the earth, 1
ψυχή, ἡ: breath, life, spirit, soul, 12

---

1 **τὸ ἔπος ἐχέτω…**: *let this word hold regarding all my narrative*; i.e. pertain to, 3rd sg. imperative
2 **ταῦτα..ὡς**: *this…namely that*; neut. subject
ἦσαν: 3rd pl. impf. εἰμί
3 **ἐπικαλεσάμενοι**: *the ones having invited…* future more vivid (ἐάν subj., fut. ind.)
4 **κακῶς…ἑστήκεε**: *stood badly*; i.e. was in a bad state, plpf. ἵστημι
5 **σφίσι**: *theirs*; dat. of possession
πρὸ: *instead of*
παρεούσης: *present*; pple. πάρ-ειμι
6 **τὰ**: *the matters*; subject of 3rd sg. verb
εἴρηται: *have been said*; pf. pass.
7 **ἀπίκατο**: plpf. mid. ἀπικνέομαι
συμμείξοντες: fut. pple συμμίσχω + dat.
8 **καὶ δὴ καὶ**: *in particular*; 'and indeed also'
9 **ὁ ἐν Γέλῃ**: in Gela; attributive position
ἦν: *was*; impf. εἰμί
10 **ἐπὶ Τροιοπίῳ**: *near Triopium*
ὅς: *he*; demonstrative pronoun
κτιζομένης Γέλης: gen. absolute
11 **οὐκ ἐλείφθη**: *was not left behind;* aor. pass.
ἀνὰ χρόνον: *over time*
12 **τῶν…θεῶν**: *of the gods below*
13 **Τηλίνεω…κτησαμένου**: *Telines, a certain one of the ancestors attaining (the position)*; gen. abs. τευ = τινός
14 **τρόπῳ τοιῷδε**: *in…*; dat. manner
ὑπὲρ: *inland to…;* 'above' + gen.
15 **ἔφυγον**: 3rd pl. aor. φεύγω
στάσι: *by political strife*; dat. means
15 **ἐσσωθέντες**: *being defeated;* aor. pass.
16 **κατήγαγε**: aor. κατάγω
ἱρὰ: *holy (objects)*; neuter acc. pl.
ἔλαβε: aor. λαμβάνω
18 **ἢ**: *or*
τοῦτο δὲ: *in respect to this*; acc. respect
ἔχω: *I am able*; as often with an infinitive
τούτοισι πίσυνος: *relying on this (objects)*
19 **ἐὼν**: nom. sg. pple εἰμί
ἐπ' ᾧ: *upon which (condition)*
20 **ἔσονται**: fut. deponent εἰμί
21 **πρὸς τὰ**: *regarding which things…*
κατεργάσασθαι: *that Telines completed*
22 **νενόμικα**: 1st pf. νομίζω
24 **ὁ δὲ** : *but he is said…*; demonstrative
25 **πεφυκέναι**: *to be by nature*; pf. inf. φύω

Παντάρεος τελευτήσαντος τὸν βίον, ὃς ἐτυράννευσε μὲν Γέλης ἑπτὰ ἔτεα, ἀπέθανε δὲ ὑπὸ Σαβύλλου ἀνδρὸς Γελῴου, ἐνθαῦτα ἀναλαμβάνει τὴν μουναρχίην Ἱπποκράτης Κλεάνδρου ἐὼν ἀδελφεός. ἔχοντος δὲ Ἱπποκράτεος τὴν τυραννίδα, ὁ Γέλων ἐὼν Τηλίνεω τοῦ ἱροφάντεω ἀπόγονος, πολλῶν μετ᾽ ἄλλων καὶ Αἰνησιδήμου τοῦ Παταίκου †ὃς† ἦν δορυφόρος
2 Ἱπποκράτεος. μετὰ δὲ οὐ πολλὸν χρόνον δι᾽ ἀρετὴν ἀπεδέχθη πάσης τῆς ἵππου εἶναι ἵππαρχος· πολιορκέοντος γὰρ Ἱπποκράτεος Καλλιπολίτας τε καὶ Ναξίους καὶ Ζαγκλαίους τε καὶ Λεοντίνους καὶ πρὸς Συρηκοσίους τε καὶ τῶν βαρβάρων συχνούς ἀνὴρ ἐφαίνετο ἐν τούτοισι τοῖσι πολέμοισι ἐὼν ὁ Γέλων λαμπρότατος. τῶν δὲ εἶπον πολίων πασέων πλὴν Συρηκουσέων οὐδεμία ἀπέφυγε δουλοσύνην
3 πρὸς Ἱπποκράτεος· Συρηκοσίους δὲ Κορίνθιοί τε καὶ Κερκυραῖοι ἐρρύσαντο μάχῃ ἐσσωθέντας ἐπὶ ποταμῷ Ἑλώρῳ, ἐρρύσαντο δὲ οὗτοι ἐπὶ τοῖσιδε καταλλάξαντες, ἐπ᾽ ᾧ τε Ἱπποκράτεϊ Καμάριναν Συρηκοσίους παραδοῦναι· Συρηκοσίων
155 δὲ ἦν Καμάρινα τὸ ἀρχαῖον. ὡς δὲ καὶ Ἱπποκράτεα τυραννεύσαντα ἴσα ἔτεα τῷ ἀδελφεῷ Κλεάνδρῳ κατέλαβε ἀποθανεῖν πρὸς πόλι Ὕβλῃ στρατευσάμενον ἐπὶ τοὺς Σικελούς, οὕτω δὴ ὁ Γέλων τῷ λόγῳ τιμωρέων τοῖσι Ἱπποκράτεος παισὶ Εὐκλείδῃ τε καὶ Κλεάνδρῳ, οὐ βουλομένων τῶν πολιητέων κατηκόων ἔτι εἶναι, τῷ ἔργῳ, ὡς ἐπεκράτησε μάχῃ τῶν Γελῴων, ἦρχε αὐτὸς ἀποστερήσας τοὺς Ἱπποκράτεος παῖδας. μετὰ δὲ τοῦτο τὸ εὕρημα τοὺς γαμόρους καλεομένους τῶν Συρηκοσίων ἐκπεσόντας ὑπό τε τοῦ δήμου καὶ τῶν σφετέρων δούλων, καλεομένων δὲ Κυλλυρίων, ὁ Γέλων

ἀδελφεός, ὁ: a brother, 17
ἀνα-λαμβάνω: to take up, find, resume, 2
ἀπό-γονος, -ον: descendents, born from, 9
ἀπο-στερέω: to deprive from, rob, defraud, 1
ἀπο-φεύγω: to flee, get away from, escape, 1
ἀρετή, ἡ: excellence, goodness, virtue, 15
ἀρχαῖος, -η, -ον: ancient, old, 7
Αἰνησιδήμος, ὁ: Aenesidemus, 2
γα-μόρος, ὁ: landowner, 1
Γέλη, ἡ : Gela (place) 5
Γέλῳοι, οἱ: the Geloans, from Gela, 4
Γέλων, -ωνος, ὁ: Gelon, 14
δῆμος, ὁ: people; district, country, land, 11
δορυ-φόρος, ὁ: bodyguard, spear-bearer, 10
δουλοσύνη, ἡ: slavery, captivity, subjection, 4
ἐκ-πίπτω: to be driven out, be banished, 2
Ἕλωρος, ὁ: Elorus, 1
ἐπι-κρατέω: to rule over, overpower, 7
ἔργον, τό: work, task, deed, act, 12
ἐσσόομαι: be weaker/inferior (ἡσσάομαι) 11
Εὐκλείδης, ὁ: Euclides, 1
εὕρημα -ατος, τό: discovery, piece of luck, 3
Ζάγκλαιοι, οἱ: the Zanclaeans, 1
Ἵππ-άρχος, -ου, ὁ: master of the cavalry, 1
Ἱπποκράτης, -εος, ὁ: Hippocrates (male), 4
ἱερο-φάντης, -εω ὁ: priest, teacher of rites, 2
ἴσος, -η, -ον: equal, like; balanced, 15
Καλλιπολίτες, οἱ: the citizens of Callipolis, 1
Καμάρινα, ἡ: Camarina (town), 3
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κατ-αλλάσσω: to reconcile, change, 2
κατ-ήκοος, -ον: subject to, heeding; listener, 2
Κερκυραῖοι, οἱ: the Corcyreans, 2
Κλέανδρος ὁ: Cleandrus, 3
Κορίνθιοι, οἱ: the Corinthians, 2
Κυλλυρίοι, οἱ: the Cyllyrians, 1
λαμπρός, -ά, -όν: bright, brilliant, radiant, 1
Λεοντίνοι, οἱ: the Leontinians, 1
μουν-αρχίη, ἡ: monarchy, sovereignty, 1
Νάξιοι, οἱ: the Naxians, 1
Παντάρης, -εος, ὁ: Pantares (male), 1
παρα-δίδωμι: give or hand over, transmit, 6
Πάταικος, ὁ: Pataecus (male) 1
πολίητης, ὁ: citizen, fellow-countryman, 6
πολιορκέω: to besiege, hem in a city, 4
ῥύομαι: to draw to oneself, rescue, 9
Σάβυλλος, -ου, ὁ: Sabyllus (male), 1
Σικελιοί, οἱ: Sicels, Sicilians, 1
Συρηκόσιος, ὁ: a Syracusan, from Syracuse 8
συχνός, -ή, -όν: long, much, many, great, 8
σφέτερος, -η, -ον: their own, their, 9
τελευτάω: to end, complete, finish; die, 18
Τηλίνης, -εω, ὁ: Telines, 4
τιμωρέω: to help; avenge, seek vengeance, 17
τυραννεύω: to be a sovereign of (gen) 2
τυραννίς, -ίδος, ἡ: sovereignty, 4
Ὕβλη, ἡ: Hybla (town), 1

---

1 Κλεάνρου...τελευτήσαντος gen. absolute
2 ἑπτὰ ἔτεα: *for...*; acc. duration of time
ἀπέθανε: 3rd sg. aor. ἀποθνήσκω
ὑπὸ: *at the hands of...*;
Ἱπποκράτης: nom. subject
4 ἀδελφεός: nom. pred. of pple εἰμί
ἔχοντος...: gen. abs.
5 πολλῶν μετ᾽ ἄλλων: *with many others*
6 ἦν: *was*
7 οὐ πολλὸν χρόνον: object of μετὰ
8 ἀπεδέχθη: 3rd sg. aor. pass. ἀποδείκνυμι
τῆς ἵππου: *of all the cavalry*; note gender
πολιορκέοντος γὰρ Ἱπποκράτεος: gen abs
10 πρὸς: *and against...*
11 συχνούς: *and many (towns)*
ἀνὴρ...λαμπρότατος: nom. predicate
ἐφαίνετο...ἐὼν: *appeared to be*; pple
12 τῶν...πασέων: *of all the cities*; partitive
13 ἀπέφυγε: aor. ἀπο-φεύγω
14 πρὸς Ἱπποκράτεος: *by Hippocrates*
15 ἐρρύσαντο: aor. mid. ῥύομαι
μάχῃ: dat. of means
ἐσσωθέντας: aor. pass. pple. ἔσσομαι
ἐπὶ: *near*
16 ἐπὶ τοῖσιδε...ἐπ᾽ ᾧ: *on the following (conditions)...on which (condition)*
17 παραδοῦναι: *the Syrcusans hand over Camarina to Hippicrates*; aor. inf.
18 τὸ ἀρχαῖον: *formerly, anciently*; adv. acc.
ὡς: *when*
Ἱπποκράτεα: acc. subj. of ἀποθανεῖν
19 ἴσα ἔτεα: *for years equal to*; + dat.
κατέλαβε: *it happened that*
ἀποθανεῖν: aor. ἀποθνήσκω
20 πρὸς: *near*
ἐπὶ: *against*
21 τῷ λόγῳ: *in pretence*; dat. of respect
τῷ ἔργῳ: *in deed*; in contrast with λόγῳ
25 μετὰ...εὕρημα: *after this stroke of luck*
26 ἐκπεσόντας: acc. pl. aor. pple ἀποπίπτω

καταγαγὼν τούτους ἐκ Κασμένης πόλιος ἐς τὰς Συρηκούσας ἔσχε καὶ ταύτας· ὁ γὰρ δῆμος ὁ τῶν Συρηκοσίων ἐπιόντι
156 Γέλωνι παραδιδοῖ τὴν πόλιν καὶ ἑωυτόν. ὁ δὲ ἐπείτε παρέλαβε τὰς Συρηκούσας, Γέλης μὲν ἐπικρατέων λόγον ἐλάσσω ἐποιέετο, ἐπιτρέψας αὐτὴν Ἱέρωνι ἀδελφεῷ ἑωυτοῦ, ὁ δὲ τὰς Συρηκούσας ἐκράτυνε, καὶ ἦσάν οἱ
2 πάντα αἱ Συρήκουσαι. αἳ δὲ παραυτίκα ἀνά τ᾽ ἔδραμον καὶ ἔβλαστον. τοῦτο μὲν γὰρ Καμαριναίους ἅπαντας ἐς τὰς Συρηκούσας ἀγαγὼν πολιήτας ἐποίησε, Καμαρίνης δὲ τὸ ἄστυ κατέσκαψε, τοῦτο δὲ Γελῴων ὑπερημίσεας τῶν ἀστῶν τὠυτὸ τοῖσι Καμαριναίοισι ἐποίησε· Μεγαρέας τε τοὺς ἐν Σικελίῃ, ὡς πολιορκεόμενοι ἐς ὁμολογίην προσεχώρησαν, τοὺς μὲν αὐτῶν παχέας, ἀειραμένους τε πόλεμον αὐτῷ καὶ προσδοκῶντας ἀπολέεσθαι διὰ τοῦτο, ἀγαγὼν ἐς τὰς Συρηκούσας πολιήτας ἐποίησε· τὸν δὲ δῆμον τῶν Μεγαρέων οὐκ ἐόντα μεταίτιον τοῦ πολέμου τούτου οὐδὲ προσδεκόμενον κακὸν οὐδὲν πείσεσθαι, ἀγαγὼν καὶ τούτους ἐς τὰς Συρη-
3 κούσας ἀπέδοτο ἐπ᾽ ἐξαγωγῇ ἐκ Σικελίης. τὠυτὸ δὲ τοῦτο καὶ Εὐβοέας τοὺς ἐν Σικελίῃ ἐποίησε διακρίνας. ἐποίεε δὲ ταῦτα τούτους ἀμφοτέρους νομίσας δῆμον εἶναι συνοίκημα ἀχαριτώτατον. τοιούτῳ μὲν τρόπῳ τύραννος ἐγεγόνεε μέγας
157 ὁ Γέλων· τότε δ᾽ ὡς οἱ ἄγγελοι τῶν Ἑλλήνων ἀπίκατο ἐς τὰς Συρηκούσας, ἐλθόντες αὐτῷ ἐς λόγους ἔλεγον τάδε. ‘ἔπεμψαν ἡμέας Λακεδαιμόνιοι [τε καὶ Ἀθηναῖοι] καὶ οἱ τούτων σύμμαχοι παραλαμψομένους σε πρὸς τὸν βάρβαρον·

ἀδελφεός, ὁ: a brother, 17
ἀείρω: lift, raise up; set in motion, (**αἴρω**) 2
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀπο-δίδωμι: to give back, restore, return, 1
ἀστός, ὁ: townsman, country-man, 5
ἄστυ, τὸ: a city, town, 15
ἄ-χαρις, -χαρι: unpleasant, disagreeable, 5
βλαστάνω: to grow, shoot forth, 1
Γέλη, ἡ : Gela (place) 5
Γέλων, -ωνος, ὁ: Gelon, 14
Γέλῳοι, οἱ: the Geloans, from Gela, 4
δῆμος, ὁ: people; district, country, land, 11
δια-κρίνω: divide, decide, settle; distinguish 5
ἐξαγωγή, ἡ: deportation, leading out, 1
ἐπι-κρατέω: to rule over, overpower, 7
ἐπι-τρέπω: to turn over, commit, bequeath, 8
Εὐβοέες, οἱ: the Euboeans, 1
Ἱέρων, -ωνος, ὁ: Hieron, Hiero, 1
Καμάρινα, ἡ: Camarina (town), 3
Καμαρίναιοι, οἱ: inhabitants of Camarina, 2
Κασμένη, ἡ: Casmena (town), 1
κατ-άγω: to bring back or down, 3
κατα-σκάπτω: to destroy utterly, raze, 1
κρατύνω: to strengthen, confirm, 1
Μεγαρέες, οἱ: the Megarians, 2
μετ-αίτιος, -ον: jointly-responsible for (gen) 2
νομίζω: believe, consider; be accustomed, 16
ὁμο-λογίη, ἡ: agreement, 2
παρα-δίδωμι: give or hand over, transmit, 6
παρα-λαμβάνω: to receive, undertake, 16
παρ-αυτίκα: immediately, straightaway, 7
πάσχω: to suffer, experience, 19
παχύς, -εῖα, -ύ: thick, stout, strong, 3
πολίητης, ὁ: citizen, fellow-countryman, 6
πολιορκέω: to besiege, hem in a city, 4
προσ-δέκομαι: to receive; expect, await, 2
προσ-δοκάω: to expect, 4
προσ-χωρέω: to go to, approach, 2
Σικελίη, ἡ: Sicily, 14
συν-οίκημα, τό: bedfellow, co-inhabitant, 1
Συρηκόσιος, ὁ: a Syracusan, from Syracuse 8
Συρήκουσαι, αἱ: Syracuse, 2
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τρέχω: to run (aor. **ἔδραμον**) 4
τύραννος, ὁ: a sovereign, 8
ὑπερ-ήμισυς, -υ: over half, 2

---

1 **πόλιος**: *city*; gen. sg.
2 **ἔσχε**: *held (in his possession)*; aor.. ἔχω
ἐπιόντι: dat. sg. pple ἐπέρχομαι
3 **Γέλωνι**: dat. indirect object
παραδιδοῖ: 3rd sg. pres. ind. παραδίδωμι
ἑωυτόν: *himself*; reflexive, Att. ἑαυτόν
ὁ δὲ: *and he*; demonstrative
4 **παρέλαβε**: aor. παραλαμβάνω
λόγον…ἐποιέετο: *he considered of less account*; ἐλάσσο(ν)α is acc. sg.
6 **ἦσάν οἱ πάντα**: *were everything to him*; dat. sg. 3rd pers. pronoun
7 **αἳ δὲ**: *who…*; relative
ἀνά..ἔδραμον: *shot up*; 'ran up' aor. τρέχω, ἀνά is an adv. or result of tmesis
8 **τοῦτο μὲν…τοῦτο δὲ**: *on the one hand….on the other hand*
9 **ἀγαγὼν**: nom. sg. aor. pple ἄγω
ἐποίησε: *made (x) (y)*; double acc.
11 **τὠυτὸ**: *same thing*; (ταὐτὸ = τὸ αὐτὸ)
12 **ὡς**: *when*
πολιορκεόμενοι: *being beseiged*; pass pple
ἐς ὁμολογίην: *to terms of surrender*
13 **παχέας**: *the wealthy*; 'the stout'
ἀειραμένους: *inciting*; 'rousing, lifting up'
αὐτῷ: *against him*
14 **ἀπολέεσθαι**: *to destroy*; fut inf. ἀπόλλυμι
διὰ τοῦτο: *on account of this*
16 **ἐόντα**: acc. sg. pple εἰμί
μεταίτιον: acc. predicate of ἐόντα
προσδεκόμενον: *not expecting*; 'waiting'
17 **κακὸν οὐδὲν**: *any evil*
πείσεσθαι: fut. inf. πάσχω
18 **ἀπέδοτο**: *he sold these*; aor. ἀποδίδωμι
ἐπ' ἐξαγωγῇ: *for deportation*; purpose
τὠυτὸ…τοῦτο… διακρίνας: *making this same distinction*; inner acc., nom. sg. aor. pple διακρίνω
19 **ἐποίησε**: *he treated*
20 **νομίσας**: *believing*; nom. aor. pple νομίζω
21 **ἀχαριτώτατον**: superlative adjective
τοιούτῳ μὲν τρόπῳ: *in such a way*
ἐγεγόνεε: plpf. γίνομαι
22 **ὡς**: *when*
ἀπίκατο: plpf. mid. ἀπικνέομαι
23 **ἐλθόντες…ἐς λόγους**: *coming into conversation*; 'to words' pple ἔρχομαι
αὐτῷ: *with him*; dat. association
25 **παραλαμψομένους σε**: *to take you to us (as an ally)*; fut. pple expresses purpose
πρὸς: *against*

τὸν γὰρ ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα πάντως κου πυνθάνεαι, ὅτι Πέρσης ἀνὴρ μέλλει, ζεύξας τὸν Ἑλλήσποντον καὶ ἐπάγων πάντα τὸν ἠῷον στρατὸν ἐκ τῆς Ἀσίης, στρατηλατήσειν ἐπὶ τὴν Ἑλλάδα, πρόσχημα μὲν ποιεύμενος ὡς ἐπ' Ἀθήνας ἐλαύνει, ἐν νόῳ δὲ ἔχων πᾶσαν τὴν Ἑλλάδα ὑπ'
2 ἑωυτῷ ποιήσασθαι. σὺ δὲ δυνάμιός τε <γὰρ> ἥκεις μεγάλης καὶ μοῖρά τοι τῆς Ἑλλάδος οὐκ ἐλαχίστη μέτα ἄρχοντί γε Σικελίης, βοήθει τε τοῖσι ἐλευθεροῦσι τὴν Ἑλλάδα καὶ συνελευθέρου. ἁλὴς μὲν γὰρ γενομένη πᾶσα ἡ Ἑλλὰς χεὶρ μεγάλη συνάγεται, καὶ ἀξιόμαχοι γινόμεθα τοῖσι ἐπιοῦσι· ἢν δὲ οἳ μὲν ἡμέων καταπροδιδῶσι οἳ δὲ μὴ θέλωσι τιμωρέειν, τὸ δὲ ὑγιαῖνον τῆς Ἑλλάδος ᾖ ὀλίγον, τοῦτο δὲ ἤδη δεινὸν
3 γίνεται μὴ πέσῃ πᾶσα ἡ Ἑλλάς. μὴ γὰρ ἐλπίσῃς, ἢν ἡμέας καταστρέψηται ὁ Πέρσης μάχῃ κρατήσας, ὡς οὐκὶ ἥξει παρὰ σέ γε, ἀλλὰ πρὸ τούτου φύλαξαι· βοηθέων γὰρ ἡμῖν σεωυτῷ τιμωρέεις. τῷ δὲ εὖ βουλευθέντι πρήγματι
158 τελευτὴ ὡς τὸ ἐπίπαν χρηστὴ ἐθέλει ἐπιγίνεσθαι.' οἱ μὲν ταῦτα ἔλεγον, Γέλων δὲ πολλὸς ἐνέκειτο λέγων τοιάδε. "Ἄνδρες Ἕλληνες, λόγον ἔχοντες πλεονέκτην ἐτολμήσατε ἐμὲ σύμμαχον ἐπὶ τὸν βάρβαρον παρακαλέοντες ἐλθεῖν.
2 αὐτοὶ δὲ ἐμεῦ πρότερον δεηθέντος βαρβαρικοῦ στρατοῦ συνεπάψασθαι, ὅτε μοι πρὸς Καρχηδονίους νεῖκος συνῆπτο, ἐπισκήπτοντός τε τὸν Δωριέος τοῦ Ἀναξανδρίδεω πρὸς Ἐγεσταίων φόνον ἐκπρήξασθαι, ὑποτείνοντός τε τὰ ἐμπόρια συνελευθεροῦν ἀπ' ὧν ὑμῖν μεγάλαι ὠφελίαι τε καὶ ἐπαυρέσιες γεγόνασι, οὔτε ἐμεῦ εἵνεκα ἤλθετε βοηθήσοντες οὔτε

Ἀθῆναι, αἱ: Athens, 13
ἁλής, -ές: all together, all at once, 13
Ἀναξανδρίδης -εος, ἡ: Anaxandrides, 3
ἀξιό-μαχος, -η, -ον: worthy in war; match, 5
Ἀσίη, ἡ: Asia, 17
βαρβαρικός, -η, -ον: foreign, non-Greek, 1
βοηθέω: to come to aid, help, assist, (dat) 19
βουλεύω: to deliberate, plan, take counsel, 19
Γέλων, -ωνος, ὁ: Gelon, 14
δέω: to lack, need; *mid*. want, ask, beg (gen) 7
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
Δωριεύς, -έος, ὁ: Dorieus (male) 5
Ἐγεσταίοι, οἱ: Egestaeans, men of Egesta, 1
ἔγ-κειμαι: to be urgent, press upon; lie on, 1
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-πρήσσω: avenge; achieve, accomplish, 2
ἐλάχιστος, -η, -ον: the smallest, least, 7
ἐλευθερόω: to free, set free, 13
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἐλπίζω: to hope for, look for, expect, 7
ἐμπόριον, τό: trading post, market, 1
ἐπ-άγω: to bring to or against, 9
ἐπ-αύρεσις, -εως, ἡ: profit, fruition, 1
ἐπι-γίνομαι: to pass, come after, supervene 6
ἐπί-παν: on the whole, in general 2
ἐπι-σκήπτω: to impose; lean upon, 1
ζεύγνυμι: to yoke, join together, 11
ἥκω: to have come, be present, 10
ἠῷος, -η, -ον: eastern, morning, 1
Καρχηδόνιοι, οἱ: the Carthaginians, 5
κατα-προ-δίδωμι: to betray utterly, 1
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κρατέω: to gain control, overpower, 3
μεγάλως: greatly, mightily, 10
μοῖρα, ἡ: part, share, lot; fate, destiny 8
νεῖκος, τό: a quarrel, dispute, strife, 2
νόος, ὁ: mind, perception, heart, 5
πάντως: altogether, by all means, certainly, 7
παρα-καλέω: to summon, call to, 2
πίπτω: to fall, fall down, 18
πλεον-έκτης, -ες: greedy, self-seeking, 2
πρό-σχημα, -ατος, τό: pretence, show, 1
σεωυτοῦ, -ῆς, -οῦ: yourself, 5
Σικελίη, ἡ: Sicily, 5
στρατ-ηλατέω: to lead an army, command, 8
συν-άγω: bring together, collect, gather, 4
συν-άπτω: tie together, join in battle, 1
συν-ελευθερόω: to join in freeing (from), 3
συνεπ-άπτομαι: join in attacking, 1
τελευτή, ἡ: an end, completion; death, 8
τιμωρέω: to help; avenge, seek vengeance, 17
τολμάω: to dare, undertake, endure, 5
ὑγιαίνω: to be sound, healthy, 2
ὑπο-τείνω: to extend, offer, hold out, 1
φόνος, ὁ: murder, homicide, slaughter, 6
χρηστός, -ή, -όν: good, worthy, 19
ὠφέλιη, ἡ: help, assistance, benefit, 2

---

1 **ἐπιόντα**: *(the Barbarian) coming*; aor. pple
κου: *I suppose, surely*
πυνθάνε(σ)αι: 2nd sg. pres. πυνθάνομαι
2 **ζεύξας**: nom. sg. aor. pple ζεύγνυμι
τὸν ἠῷον στρατὸν: *the eastern army*
4 **ποιεύμενος**: Att. ποιούμενος
5 **ἐν νόῳ δὲ ἔχων**: *having in mind*
ὑπ᾽ ἑωυτῷ: *under his power*; 'under him'
6 **δυνάμιός…ἥκεις μεγάλης**: *you have come (to the point) of great power*; ἥκω + gen.
7 **μοῖρά τοι**: *your share*; dat. possession
μέτα: *is*; μέτεστι
8 **βοήθει**: sg. imperative, βοήθεε + dat.
ἐλευθεροῦσι: dat. pple ἐλευθερόω
9 **συνελευθέρου**: sg. imperative, συνελευθέροε
ἡ Ἑλλὰς χεὶρ: *the Greek body*; 'hand'
10 **συνάγεται**: *is being gathered*; pass.
ἐπιοῦσι: dat pple ἐπέρχομαι;+ ἀξιόμαχοι
11 **ἤν**: *if*; ἐὰν
οἳ μὲν…οἳ δὲ: *some…and others*
μὴ θέλωσι: 3rd pl pres. subj. ἐθέλω
12 **τὸ ὑγιαῖνον**: *the sound part*; 'healthy part'
ᾖ: *is*; 3rd sg. pres. subj. εἰμί, same protasis
δεινὸν γίνεται μὴ: *there is a danger that...*; introduces fearing clause with subjunctive
13 **πέσῃ**: 3rd sg. aor. subjunctive πίπτω
μὴ ἐλπίσῃς: *do not expect*; 'you should not expect' aor. prohibitive subjunctive
14 **ἢν…καταστρέψηται**: *if…*; fut. more vivid
ἥξει: fut. ἥκω
15 **φύλαξαι**: aor. imperative φυλάσσω
16 **βουλευθέντι**: deliberated; aor. pass. pple
17 **ὡς τὸ ἐπίπαν**: *on the whole*; in general
ἐθέλει: *tends to*
18 **ἐνέκειτο**: *was speaking very urgently*
21 **ἐμεῦ…δεηθέντος**: *requesting*; long gen abs.
23 **πρὸς Ἐγεσταίων**: *by the Egestians*; agent
25 **συνελευθεροῦν**: ο-contract verb inf.
ἀπ᾽ ὧν: *from which*; relative
26 **ἤλθετε**: *you did come*; 2nd pl. aor.

τὸν Δωριέος φόνον ἐκπρηξόμενοι, τό τε κατ᾽ ὑμέας τάδε
3 πάντα ὑπὸ βαρβάροισι νέμεται. ἀλλὰ εὖ γὰρ ἡμῖν καὶ
ἐπὶ τὸ ἄμεινον κατέστη. νῦν δὲ ἐπειδὴ περιελήλυθε ὁ
πόλεμος καὶ ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ Γέλωνος μνῆστις
4 γέγονε. ἀτιμίης δὲ πρὸς ὑμέων κυρήσας οὐκ ὁμοιώσομαι
ὑμῖν, ἀλλ᾽ ἕτοιμος εἰμὶ βοηθέειν παρεχόμενος διηκοσίας τε
τριήρεας καὶ δισμυρίους ὁπλίτας καὶ δισχιλίην ἵππον καὶ
δισχιλίους τοξότας καὶ δισχιλίους σφενδονήτας καὶ δισχιλίους
ἱπποδρόμους ψιλούς· σῖτόν τε ἁπάσῃ τῇ Ἑλλήνων στρατιῇ,
5 ἔστ᾽ ἂν διαπολεμήσωμεν, ὑποδέκομαι παρέξειν. ἐπὶ δὲ
λόγῳ τοιῷδε τάδε ὑπίσχομαι, ἐπ᾽ ᾧ στρατηγός τε καὶ
ἡγεμὼν τῶν Ἑλλήνων ἔσομαι πρὸς τὸν βάρβαρον. ἐπ᾽ ἄλλῳ
δὲ λόγῳ οὔτ᾽ ἂν αὐτὸς ἔλθοιμι οὔτ᾽ ἂν ἄλλους πέμψαιμι.᾽
159 ταῦτα ἀκούσας οὔτε ἠνέσχετο ὁ Σύαγρος εἶπέ τε τάδε. ‘Ἦ
κε μέγ᾽ οἰμώξειε ὁ Πελοπίδης Ἀγαμέμνων πυθόμενος Σπαρ-
τιήτας τὴν ἡγεμονίην ἀπαραιρῆσθαι ὑπὸ Γέλωνός τε
καὶ Συρηκοσίων. ἀλλὰ τούτου μὲν τοῦ λόγου μηκέτι
μνησθῇς, ὅκως τὴν ἡγεμονίην τοι παραδώσομεν, ἀλλ᾽ εἰ
μὲν βούλεαι βοηθέειν τῇ Ἑλλάδι, ἴσθι ἀρξόμενος ὑπὸ
Λακεδαιμονίων· εἰ δ᾽ ἄρα μὴ δικαιοῖς ἄρχεσθαι, σὺ δὲ μὴ
160 βοηθέειν.᾽ πρὸς ταῦτα ὁ Γέλων, ἐπειδὴ ὥρα ἀπεστραμμένους
τοὺς λόγους τοῦ Συάγρου, τὸν τελευταῖόν σφι τόνδε ἐξέφαινε
λόγον. ‘Ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει
ἐπανάγειν τὸν θυμόν· σὺ μέντοι ἀποδεξάμενος ὑβρίσματα
ἐν τῷ λόγῳ οὔ με ἔπεισας ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι.
2 ὅκου δὲ ὑμεῖς οὕτω περιέχεσθε τῆς ἡγεμονίης, οἰκὸς καὶ ἐμὲ
μᾶλλον ὑμέων περιέχεσθαι, στρατιῆς τε ἐόντα πολλαπλησίης

Ἀγαμέμνων, -ονος ὁ: Agamemnon, 2
ἀμείνων, -ον: better, nobler, braver, 12
ἀμοιβή, ἡ: compensation, requital, 3
ἀν-έχω: to uphold, endure; arise, 9
ἀπ-αιρέω: to take away from, remove, 2
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀπο-στρέφω: to turn (away), 1
ἀ-σχήμων, -ον: unseemly; misshapen, ugly, 1
ἀ-τιμίη, ἡ: disgrace, dishonor, derision, 3
βοηθέω: to come to aid, help, assist, (dat) 19
Γέλων, -ωνος, ὁ: Gelon, 14
δια-πολεμέω: to wage war to the end, 1
διηκόσιοι, -αι, -α: two hundred, 10
δικαιόω: to deem right, judge, 1
δισ-μύριοι, -αι, -α: twenty thousand, 4
δισ-χίλιοι, -αι, -α: two thousand, 6
Δωριεύς, -έος, ὁ: Dorieus (male) 5
ἐκ-πρήσσω: avenge; achieve, accomplish, 2
ἐκ-φαίνω: to disclose, reveal, show, 1
ἐπαν-άγω: to stir up; lead back to sea, 2
ἐπειδή: when, after, since, because, 10
ἑτοῖμος, -η, -ον: ready, prepared, at hand, 6
ἦ: in truth, truly (begins an open question), 1
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
ἱππό-δρομος, ὁ: light horseman, 1
κατ-έρχομαι: to return; descend, 2
κατ-ίστημι: set down; appoint, establish, 18
κε: modal adv., (Att. **ἄν**) 1
κυρέω: to chance upon, attain (gen.), 1
μέντοι: however, nevertheless; certainly, 13
μηκ-έτι: no more, no longer, no further, 1
μιμνήσκω: to recall, remember (+ gen) 5
μνῆστις -ιος, ἡ: recollection, remembrance 1
νέμω: to distribute, assign; inhabit, 10
ξεῖνος, ὁ: guest, foreigner, stranger, 1
οἰμώζω: to cry out (in grief), 1
ὅκου: where, 3
ὄνειδος, τό: reproach, censure, rebuke, 4
ὁπλίτης, -ου ὁ: hoplite, armed soldier, 4
παρα-δίδωμι: give or hand over, transmit, 6
Πελοπίδης, ὁ: son or descendent of Pelops 1
περι-έρχομαι: to come around, go around, 3
περι-έχομαι: cling to, hold, aim for (gen) 3
πολλαπλήσιος, -η, -ον: many times as many 4
σῖτος, ὁ: to grain, food (pl. **σῖτα, τὰ**) 10
Σπαρτιήτης, ὁ: a Spartan, 19
Σύαγρος, ὁ: Syagrus, 3
Συρηκόσιος, ὁ: a Syracusan, from Syracuse 8
σφενδονήτης, ὁ: a slinger, 1
τελευταῖος, -η, -ον: last, final, 3
τοξότης, ὁ: an archer, bowman, 1
τριήρης, ὁ: a trireme, 7
ὕβρισμα, -ατος, τό: outrage, wanton act, 1
ὑπ-ίσχομαι: to promise, 2
ὑπο-δέκομαι: receive, undertake, promise, 6
φιλέω: to love; tend to (+ ind.), 16
φόνος, ὁ: murder, homicide, slaughter, 6
ψιλός, -όν: bare, stript, simple, 3

---

1 **ἐκπρηξόμενοι**: *to exact*; fut. pple, purpose
τό τε κατ᾽ ὑμέας: *as for that regarding you*; acc. respect
2 **ὑπο Βαρβάροισι**: *under the Barbarians*
νέμεται: *dwell*
2 **ἐπὶ τὸ ἄμεινον**: for the better; i.e. affairs turned out well for Gelon
κατέστη: *came to be*; 3rd sg. aor. κατίστημι
περιελήλυθε: pf. περιέρχομαι
4 **ἀπῖκται**: pf. ἀπικνέομαι
Γέλωνος…γέγονε: *it has become (the time for) remembering Gelon*; objective gen.
5 **πρὸς ὑμέων**: *from you*
κυρήσας: aor. pple κυρέω + gen.
ὁμοιώσομαι: *I will not make an example of you*; 'I will not liken you'
9 **ἁπάσῃ…στρατιῇ**: *for the entire army…*
10 **ἔστ᾽**: *until*; ἕστε + subj.; indef. temporal
ὑποδέκομαι: *I promise*; + fut. inf.
ἐπὶ δὲ λόγῳ τοιῷδε: *on the following account*; i.e. on the following condition
11 **ἐπ᾽ ᾧ**: *on which condition*
12 **ἔσομαι**: fut. deponent εἰμί
ἐπ᾽ ἄλλῳ δὲ λόγῳ: *on no other account*
13 **ἔλθοιμι,πέμψαιμι**: *would come*; potent. opt
14 **ἀκούσας**: nom. sg. aor. pple ἀκούω
ἠνέσχετο: *did hold back*; ἀν-έχω
15 **κε οἰμώξειε**: *would cry out*; potential opt.
16 **ἀπαραιρῆσθαι**: pf. pass. inf. ἀπ-αιρέω
17 **μηκέτι μνησθῇς**: *Do not..!;* prohibitive subj
19 **βούλε(σ)αι**: *you wish*; 2nd sg. βούλομαι
ἴσθι: *know (that it happens);* imper. οἶδα
ἀρξόμενος: *being ruled*; pass.
21 **ὥρα**: *he saw*; 3rd sg. impf. ὁράω
ἀπεστραμμένους: *adverse*; 'turned off' pf.
24 **ἀποδεξάμενος**: *displaying*; ἀποδείκνυμι
οἰκὸς: *(it is) reasonable*; Att. ἐοικὸς
27 **ὑμέων**: *rather than you*; gen. comparison

ἡγεμόνα καὶ νεῶν πολλὸν πλεύνων. ἀλλ᾽ ἐπείτε ὑμῖν ὁ λόγος οὕτω προσάντης κατίσταται, ἡμεῖς τι ὑπείξομεν τοῦ ἀρχαίου λόγου· εἰ τοῦ μὲν πεζοῦ ὑμεῖς ἡγέοισθε, τοῦ δὲ ναυτικοῦ ἐγώ. εἰ δὲ ὑμῖν ἡδονὴ τοῦ κατὰ θάλασσαν ἡγεμονεύειν, τοῦ πεζοῦ ἐγὼ θέλω. καὶ ἢ τούτοισι ὑμέας χρεόν
161 ἐστι ἀρκέεσθαι ἢ ἀπιέναι συμμάχων τοιῶνδε ἐρήμους.᾽ Γέλων μὲν δὴ ταῦτα προετείνετο, φθάσας δὲ ὁ Ἀθηναίων ἄγγελος τὸν Λακεδαιμονίων ἀμείβετό μιν τοῖσιδε. ‘Ὦ βασιλεῦ Συρηκοσίων, οὐκ ἡγεμόνος δεομένη ἡ Ἑλλὰς ἀπέπεμψε ἡμέας πρὸς σέ, ἀλλὰ στρατιῆς. σὺ δὲ ὅκως μὲν στρατιὴν πέμψεις μὴ ἡγεύμενος τῆς Ἑλλάδος οὐ προφαίνεις, ὡς δὲ
2 στρατηγήσεις αὐτῆς γλίχεαι. ὅσον μέν νυν παντὸς τοῦ Ἑλλήνων στρατοῦ ἐδέου ἡγέεσθαι, ἐξήρκεε ἡμῖν τοῖσι Ἀθηναίοισι ἡσυχίην ἄγειν, ἐπισταμένοισι ὡς ὁ Λάκων ἱκανός τοι ἔμελλε ἔσεσθαι καὶ ὑπὲρ ἀμφοτέρων ἀπολογεύμενος· ἐπείτε δὲ ἁπάσης ἀπελαυνόμενος δέεαι τῆς ναυτικῆς ἄρχειν, οὕτω ἔχει τοι· οὐδ᾽ ἢν ὁ Λάκων ἐπιῇ τοι ἄρχειν αὐτῆς, ἡμεῖς ἐπήσομεν· ἡμετέρη γὰρ ἐστὶ αὕτη γε, μὴ αὐτῶν βουλομένων Λακεδαιμονίων. τούτοισι μὲν ὦν ἡγέεσθαι βουλομένοισι οὐκ ἀντιτείνομεν, ἄλλῳ δὲ παρήσομεν οὐδενὶ
3 ναυαρχέειν. μάτην γὰρ ἂν ὧδε πάραλον Ἑλλήνων στρατὸν πλεῖστον εἴημεν ἐκτημένοι, εἰ Συρηκοσίοισι ἐόντες Ἀθηναῖοι συγχωρήσομεν τῆς ἡγεμονίης, ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων· τῶν καὶ Ὅμηρος ὁ ἐποποιὸς ἄνδρα ἄριστον ἔφησε ἐς Ἴλιον ἀπικέσθαι τάξαι τε καὶ διακοσμῆσαι στρατόν. οὕτω οὐκ
162 ὄνειδος οὐδὲν ἡμῖν ἐστι λέγειν ταῦτα.᾽ ἀμείβετο Γέλων τοῖσιδε. ‘Ξεῖνε Ἀθηναῖε, ὑμεῖς οἴκατε τοὺς μὲν ἄρχοντας

ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀντι-τείνω: to resist, strive against (dat) 2
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπ-έρχομαι: to go away, depart, 4
ἀπολογέομαι: to speak in defence, 1
ἀρκέω: to suffice, satisfy, ward off, 4
ἀρχαῖος, -η, -ον: ancient, old, 7
Γέλων, -ωνος, ὁ: Gelon, 14
γλίχομαι: to strive after, love for, 1
δέω: to lack, need; *mid*. want, ask, beg (gen) 7
δια-κοσμέω: to order, arrange, 1
ἐξ-αρκέω: to suffice, be enough for (dat) 1
ἐπ-ίημι: to send to, permit, allow, 3
ἐπο-ποιός, ὁ: an epic poet, 1
ἐρῆμος, -ον: deserted; desprived of (gen) 2
ἡδονή, ἡ: pleasure, enjoyment, delight, 3
ἡγεμονεύω: to lead, rule, command, 3
ἡγεμονίη, ἡ: sovereignty, hegemony, 10
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
ἡγέομαι: to lead; consider, think, believe, 11
ἡμέτερος, -α, -ον: our, 12
ἡσυχίη, ἡ: idle, silence, quiet, stillness, rest, 5
ἱκανός, -ή, -όν: enough, sufficient; capable, 4
Ἴλιος, ὁ: Ilium, Troy, 2
κατ-ίστημι: set down; appoint, establish, 18
Λάκων, ὁ: Laconian, Lacedaemonian, 2
μάτην: in vain, idlely, 2
μετανάστης, ὁ: one who changes habitation 1
ναυ-αρχέω: to lead a fleet, 5
ξεῖνος, ὁ: guest-friend, foreigner, stranger, 9
Ὅμηρος, ὁ: Homer, 1
ὄνειδος, τό: reproach, censure, rebuke, 4
πάρ-αλος, -η, -ον: coastal, 1
παρ-ίημι: to allow, permit; pass or skip over, 7
πλεῖστος, -η, -ον: most, greatest, largest, 6
προσ-άντης, -ες: haughty, adverse; steep, 1
προ-τείνω: to hold out before, propose, 2
προ-φαίνω: to show forth, reveal, 2
συγ-χωρέω: yield, concede (dat) 1
Συρηκόσιος, ὁ: a Syracusan, from Syracuse 8
ὑπ-είκω: to concede, yield; withdraw from, 2
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
φθάνω: to be first, anticipate, 4
χρεόν, τό: necessity, need; (it is) necessary, 8
ὧδε: in this way, so, thus, 17

---

1 **πολλὸν**: *far*; acc. of extent of degree
πλεύνων: *more*
ἐπείτε: *since*; ἐπεί
2 **κατίσταται**: *is*; pres. mid.
τι: *some*; inner acc.
ὑπείξομαι: fut. ὑπείκω
τοῦ…λόγου: *from the original condition*; gen. separation
3 **εἰ…ἡγέοισθε…**: *if you should lead…I (would lead)*; fut. less vivid (εἰ opt., ἄν opt), apodosis missing through ellipsis
πεζοῦ: *the infantry*; gen. object
ὑμῖν ἡδονὴ: *(it is) your pleasure*; dat. possession; supply linking verb
4 **τοῦ κατὰ θάλασσαν**: that by sea; i.e. τοῦ ναυτικοῦ; gen. obj. of ἡγεμονεύειν
5 **(ἐ)θέλω**: supply ἡγεμονεύειν
ἢ…ἢ: *either…or*
τούτοισι ὑμέας: dat. of means, acc. subject
ἀπιέναι: ἀπέρχομαι
7 **φθάσας**: nom. sg. aor. pple φθάνω
8 **τοῖσιδε**: *with these (words)*; dat. means
9 **ἡγεμόνος, στρατιῆς**: *from…*; separation
10 **ὅκως**: *that…*
11 **μὴ ἡγεύμενος τῆς Ἑλλάδος**: *unless leading…*; '(if) not,' pple is conditional
οὐ προφαίνεις: *you do not indicate…*
12 **γλίχε(σ)αι**: 2nd sg. present
ὅσον: *for as long as*; acc. duration of time
13 **ἐδέου**: ἐδέε(σ)ο, 2nd sg. impf. 'request'
ἐξήρκεε: *it sufficed*; impers. impf. ἐξαρκέω
14 **ἡσυχίης ἄγειν**: *to keep quiet*
15 **τοι**: *to be sure*; particle
ἔσεσθαι: fut. inf. εἰμί, as often with μέλλω
16 **ἐπείτε δὲ**: *but since…*; ἐπεί
δέε(σ)αι: 2nd sg. pres. mid. 'request'
17 **οὕτω ἔχει**: *it is thus for you*; ἔχω + adv. is often translated 'to be' + adj.
ἢν…ἐπιῇ…ἐπήσομεν: *if…;* fut. more vivid condition (εἰ subj., fut.), 2nd sg. pres. subj. and 1st pl. fut. indicative ἐπ-ίημι, 'allow'
18 **αὕτη γε**: *this (command of sea)*
19 **τούτοισι…βουλομένοισι**: *those (Spartans) if wishing…*; pple is conditional
20 **ἄλλῳ…οὐδενὶ**: *to no one else*
21 **ἂν…εἰῇμεν ἐκτημένοι**: *we would possess*; pres. potential opt. εἰμί + pf. pple κτάομαι form a periphrastic pf.
24 **τῶν**: *of which (Athenians)*; partitive
25 **ἔφησε** aor. φημί
26 **τάξαι, διακοσμῆσαι** aor. inf. τάττω
28 **οἴκατε**: *you seem*; 2nd pl. pf. Att. ἐοίκατε

ἔχειν, τοὺς δὲ ἀρξομένους οὐκ ἕξειν. ἐπεὶ τοίνυν οὐδὲν ὑπιέντες ἔχειν τὸ πᾶν ἐθέλετε, οὐκ ἂν φθάνοιτε τὴν ταχίστην ὀπίσω ἀπαλλασσόμενοι καὶ ἀγγέλλοντες τῇ Ἑλλάδι ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραίρηται.' [οὗτος δὲ ὁ νόος τοῦ ῥήματος τὸ ἐθέλει λέγειν· δῆλα γὰρ ὡς ἐν τῷ ἐνιαυτῷ ἐστὶ τὸ ἔαρ δοκιμώτατον, τῆς δὲ τῶν Ἑλλήνων στρατιῆς τὴν ἑωυτοῦ στρατιήν· στερισκομένην ὦν τὴν Ἑλλάδα τῆς ἑωυτοῦ συμμαχίης εἴκαζε ὡς εἰ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξαραιρημένον εἴη.]

163 οἱ μὲν δὴ τῶν Ἑλλήνων ἄγγελοι τοιαῦτα τῷ Γέλωνι χρηματισάμενοι ἀπέπλεον· Γέλων δὲ πρὸς ταῦτα δείσας μὲν περὶ τοῖσι Ἕλλησι μὴ οὐ δύνωνται τὸν βάρβαρον ὑπερβαλέσθαι, δεινὸν δὲ καὶ οὐκ ἀνασχετὸν ποιησάμενος ἐλθὼν ἐς Πελοπόννησον ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων, ἐὼν Σικελίης τύραννος, ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε, ὁ δὲ ἄλλης εἴχετο. ἐπείτε γὰρ τάχιστα ἐπύθετο τὸν Πέρσην διαβεβηκότα τὸν Ἑλλήσποντον, πέμπει πεντηκοντέροισι τρισὶ Κάδμον τὸν Σκύθεω ἄνδρα Κῷον ἐς Δελφούς, ἔχοντα χρήματα πολλὰ καὶ φιλίους λόγους, καραδοκήσοντα τὴν μάχην τῇ πεσέεται, καὶ ἢν μὲν ὁ βάρβαρος νικᾷ, τά τε χρήματα αὐτῷ διδόναι καὶ γῆν τε καὶ ὕδωρ τῶν ἄρχει ὁ Γέλων, ἢν δὲ οἱ Ἕλληνες, **164** ὀπίσω ἀπάγειν. ὁ δὲ Κάδμος οὗτος πρότερον τούτων παραδεξάμενος παρὰ πατρὸς τυραννίδα Κῴων εὖ βεβηκυῖαν, ἑκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενὸς ἀλλὰ ὑπὸ δικαιοσύνης ἐς μέσον Κῴοισι καταθεὶς τὴν ἀρχὴν οἴχετο ἐς Σικελίην, ἔνθα παρὰ Σαμίων ἔσχε τε καὶ κατοίκησε πόλιν Ζάγκλην τὴν ἐς Μεσσήνην μεταβαλοῦσαν τὸ οὔνομα. τοῦτον δὴ ὁ

ἀ-μελέω: neglect, forget; not care for, 1
ἀν-έχω: to uphold, endure; arise, 9
ἀπ-άγω: to lead away, carry off, 5
ἀπο-πλώω: to sail away, sail off, 4
βαίνω: to walk, step, go, 1
Γέλων, -ωνος, ὁ: Gelon, 14
δείδω: to fear, 12
Δελφοί, οἱ: Delphi (town) 12
δῆλος, -η, -ον: clear, evident, conspicuous, 6
δικαιοσύνη, ἡ: justice, righteousness, 3
δόκιμος, -ον: notable, famous, worthy, 9
δύναμαι: to be able, can, be capable, 13
ἔαρ, -ρος, τό: Spring, 8
εἰκάζω: to guess, make like, 7
ἑκών, ἑκοῦσα, ἑκόν: willing, intentionally, 4
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἔνθα: where; there, then, 9
ἐνιαυτός, ὁ: year; long period of time, 3
ἐξ-αιρέω: to take out, remove, leave out, 8
εὖ: well, 20
Κάδμος, ὁ: Cadmus, 3
καρα-δοκέω: wait eagerly, wait the outcome 2
κατα-τίθημι: to put down, deposit, settle, 4
κατ-οικέω: to inhabit, dwell in, 5
Κῷος, ὁ: a Coan, an inhabitant of Cos, 4
Μεσσήνη, ἡ: Messene (town), 1
μετα-βάλλω: to change, 6
νικάω: to conquer, defeat, win, 10
νόος, ὁ: mind, perception, heart, 5
οἴχομαι: to go, go off, depart, 11
παρα-δέκομαι: to take in charge, inherit, 4
πατήρ, ὁ: a father, 18
Πελοποννήσος, ὁ: Peloponnesus, 9
πεντηκόντορος, ὁ: a ship with fifty oars. 10
πίπτω: to fall, fall down, 18
ῥῆμα, τό: a word, saying, phrase, 2
Σάμιοι, οἱ:: the Samians, 1
Σικελίη, ἡ: Sicily, 14
Σκύθης, -ου, ὁ: Scythian, 11
στερίσκω: to deprive, bereave, rob of (gen) 1
συμ-μαχίη, ἡ: an alliance, 4
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τοί-νυν: well then; therefore, accordingly, 8
τυραννίς, -ίδος, ἡ: sovereignty, 4
τύραννος, ὁ: a sovereign, 8
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπερ-βάλλω: to surpass, outdo, overshoot, 5
ὑπ-ίημι: to let go, give in, 1
φθάνω: to be first, anticipate, 4
φίλιος, -η, -ον: friendly, 1
χρηματίζω: to negotiate, transact business, 1
Ζάγκλη, ἡ: Zancle (town), 1

---

1 **ἀρξομένους**: *going to be led*; fut. pple
ἕξειν: fut. inf. ἔχω following οἴκατε
ὑπιέντες: pres. pple ὑπ-ίημι
2 **τὸ πᾶν**: *the whole*
οὐκ ἂν φθάνοιτε…ἐπαλλασσόμενοι *you would not be too soon departing*; potential
τὴν ταχίστην: *very quickly*; adverbial acc.
τῇ Ἑλλάδι: *to Greece*: dat. indirect object
4 **αὐτῇ**: *for her*
ἐξαραίρηται: pf. pass. ἐξαιρέω
ὁ νόος τοῦ ῥήματος: *sense of the remark*
τὸ: *which…*; relative
5 **δῆλα γὰρ ὡς**: *for (it is) clear that*
6 **τῆς…στρατιῆς**: partitive gen.
7 **τὴν…στρατιήν**: acc. subj., supply εἶναι δοκιμώτατον parallel to above
9 **εἴκαζε…ὡς εἰ**: *likened…to*; 'likened as if'
9 **ἐξαραιρημένον εἴη**: *should be taken out*; pf. pass. pple + εἰμί forms a periphrastic pf.
11 **πρὸς**: *with regard to…*; i.e. in reply
δείσας: nom. sg. aor. pple δείδω
12 **μὴ**: *lest…*; fearing clause + pres. subj
13 **ποιησάμενος**: *considering (this situation)*;
14 **ἄρχεσθαι**: *to be ruled*; pass. + gen. agent
ἐὼν: *though being*; pple is concessive
15 **ταύτην…ὁδὸν**: *this plan*; 'this method'
ὁ δὲ: *but he*
εἴχετο: *clung to another (plan)*; partitive
16 **ἐπείτε…τάχιστα**: *as soon as*; superl. adv.
ἐπύθετο: aor. πυνθάομαι
διαβεβηκότα: acc. sg. pf. pple διαβαίνω
17 **πεντηκοντέροισι τρισὶ**: dat. of means
19 **τὴν μάχην…πεσέεται** *in which way the battle will fall*; proleptic, 'the battle in which way it will fall,' fut. πίπτω
20 **ἢ…νικᾷ**: *if…wins*; νικάει, 3rd sg. pres.
21 **τῶν**: *which…*; relative, obj. of ἄρχει
ἢν…: *but if…win*; supply verb from above
22 **πρότερον τούτων**: *previously to these things*; adverbial acc., gen. comparison
23 **βεβηκυῖαν**: pf. act. pple βαίνω
ἑκών τε εἶναι: *willingly*; infinitive absolute
24 **δεινου…**: *with no dread approaching*; abs.
25 **ἐς μέσον**: *to the people*; 'into the middle'
καταθεὶς: *handing over*; aor. pple -τιθημι
26 **ἔσχε**: *he held from the Samians*; aor. ἔχω

Γέλων τὸν Κάδμον καὶ τοιούτῳ τρόπῳ ἀπικόμενον διὰ δικαιοσύνην, τήν οἱ αὐτὸς ἄλλην συνῄδεε ἐοῦσαν, ἔπεμπε· ὃς ἐπὶ τοῖσι ἄλλοισι δικαίοισι τοῖσι ἐξ ἑωυτοῦ ἐργασμένοισι καὶ τόδε οὐκ ἐλάχιστον τούτων ἐλίπετο. κρατήσας γὰρ μεγάλων χρημάτων τῶν οἱ Γέλων ἐπετράπετο, παρεὸν κατασχέσθαι οὐκ ἠθέλησε, ἀλλ᾽ ἐπεὶ οἱ Ἕλληνες ἐπεκράτησαν τῇ ναυμαχίῃ καὶ Ξέρξης οἰχώκεε ἀπελαύνων, καὶ δὴ καὶ ἐκεῖνος ἀπίκετο ἐς τὴν Σικελίην ἀπὸ πάντα τὰ χρήματα
165 ἄγων. λέγεται δὲ καὶ τάδε ὑπὸ τῶν ἐν τῇ Σικελίῃ οἰκημένων, ὡς ὅμως καὶ μέλλων ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ὁ Γέλων ἐβοήθησε ἂν τοῖσι Ἕλλησι, εἰ μὴ ὑπὸ Θήρωνος τοῦ Αἰνησιδήμου Ἀκραγαντίνων μουνάρχου ἐξελασθεὶς ἐξ Ἱμέρης Τήριλλος ὁ Κρινίππου τύραννος ἐὼν Ἱμέρης ἐπῆγε ὑπ᾽ αὐτὸν τὸν χρόνον τοῦτον Φοινίκων καὶ Λιβύων καὶ Ἰβήρων καὶ Λιγύων καὶ Ἐλισύκων καὶ Σαρδονίων καὶ Κυρνίων τριήκοντα μυριάδας καὶ στρατηγὸν αὐτῶν Ἀμίλκαν τὸν Ἄννωνος, Καρχηδονίων ἐόντα βασιλέα, κατὰ ξεινίην τε τὴν ἑωυτοῦ ὁ Τήριλλος ἀναγνώσας καὶ μάλιστα διὰ τὴν Ἀναξίλεω τοῦ Κρητίνεω προθυμίην, ὃς Ῥηγίου ἐὼν τύραννος τὰ ἑωυτοῦ τέκνα δοὺς ὁμήρους Ἀμίλκᾳ ἐπῆγε ἐπὶ τὴν Σικελίην τιμωρέων τῷ πενθερῷ· Τηρίλλου γὰρ εἶχε θυγατέρα Ἀναξίλεως, τῇ οὔνομα ἦν Κυδίππη. οὕτω δὴ οὐκ οἷόν τε γενόμενον βοηθέειν τὸν Γέλωνα τοῖσι Ἕλλησι ἀποπέμπειν
166 ἐς Δελφοὺς τὰ χρήματα. πρὸς δὲ καὶ τάδε λέγουσι, ὡς συνέβη τῆς αὐτῆς ἡμέρης ἔν τε τῇ Σικελίῃ Γέλωνα καὶ Θήρωνα νικᾶν Ἀμίλκαν τὸν Καρχηδόνιον καὶ ἐν Σαλαμῖνι τοὺς Ἕλληνας τὸν Πέρσην. τὸν δὲ Ἀμίλκαν Καρχηδόνιον ἐόντα πρὸς πατρός, μητρόθεν δὲ Συρηκόσιον, βασιλεύσαντά

Αἰνησιδήμος, ὁ: Aenesidemus, 2
Ἀκραγάντινες, οἱ: the Acragantians, 2
Ἀμίλκας, ὁ: Amilcas (male) 4
ἀνα-γιγνώσκω: persuade, recognize; read 3
Ἀναξίλεως, -εω, ὁ: Anaxilaus (male) 3
Ἄννων, -ωνος, ὁ: Annon (male) 1
ἀπ-ελαύνω: to drive away, expel from, 10
βασιλεύω: to rule, be king, reign, 9
βοηθέω: to come to aid, help, assist, (dat) 19
Γέλων, -ωνος, ὁ: Gelon, 14
Δελφοί, οἱ: Delphi (town) 12
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
δικαιοσύνη, ἡ: justice, righteousness, 3
ἐλάχιστος, -η, -ον: the smallest, least, 7
Ἐλίσυκοι, οἱ: the Elisycians, 1
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐπ-άγω: to bring to or against, 9
ἐπι-κρατέω: to rule over, overpower (dat) 7
ἐπι-τρέπω: to turn over, commit, bequeath, 8
ἐργάζομαι: to work, labor, toil, 6
Θήρων, -ωνος, ὁ: Theron, 2
θυγάτηρ, ἡ: a daughter, 14
Ἴβηροι, οἱ: the Iberians, 1
Ἱμέρη, ἡ: Himera, 1
Κάδμος, ὁ: Cadmus, 3
Καρχηδόνιοι, οἱ: the Carthaginians, 5
κατ-έχω: to hold fast, hold back; possess, 4
κρατέω: to gain control, overpower (gen) 3
Κρητίνης, -εω, ὁ: Cretines, 2
Κρίνιππος, -ου, ὁ: Crinippus, 1
Κυδίππη, ἡ: Cydippe (female) 1
Κύρνιοι, οἱ: the Cyrnians, 1
Λιβῦς, -ῦος, - ὁ: a Libyan, 6
Λίγυς, -υος, ὁ: a Ligyean, 3
μητρό-θεν: from the mother or mother's side, 2
μουν-αρχίη, ἡ: monarchy, sovereignty, 1
μυριάς, -άδος, ἡ: ten-thousand, countless, 24
ναυ-μαχίη, ἡ: sea-battle, 5
νικάω: to conquer, defeat, win, 10
ξεινίη, ἡ: guest-friendship, hospitality, 4
οἴχομαι: to go, go off, depart, 11
ὅμηρος, ὁ, ὁ: hostage, pledge, surety, 2
πατήρ, ὁ: a father, 18
πενθερός, ὁ: father-the-law, 1
προ-θυμίη, ἡ: eagerness, zeal, readiness, 5
Ῥήγιον, -ου, τό: Rhegium (town), 2
Σαλαμίς, -ῖνος, ὁ: Salamis, 6
Σαρδόνιοι, οἱ: the Sardinians, 1
Σικελίη, ἡ: Sicily, 14
συμ-βαίνω: to meet, happen, occur, 1
σύν-οιδα: know along with, be conscious of 1
Συρηκόσιος, ὁ: a Syracusan, from Syracuse 8
τέκνον, τό: a child, 9
Τήριλλος, -ου, ὁ: Terillus, 2
τιμωρέω: to help; avenge, seek vengeance, 17
τριήκοντα: thirty, 9
τύραννος, ὁ: a sovereign, 8
Φοίνικες, οἱ: Phoenicians, 12

---

1 **τοιούτῳ τρόπῳ**: *in such a way*; manner
διὰ δικαιοσύνην: *on account of his justice*; i.e. sense of justice
2 **τὴν…ἐοῦσαν**: *which, being another (occasion), (Gelon) himself witnessed along with him (οἱ)*; aor. σύνοιδα
3 **ὃς**: *this…;* i.e. just deed involving money
ἐπὶ…: *in addition to the other just (deeds)*
4 **τόδε οὐκ ἐλάχιστον**: predicate of ἐλίπετο
ἐλίπετο: *remained*; aor. mid. λείπω
5 **μεγάλων χρημάτων**: *over the great sum*
τῶν: *which…*; acc. attracted into genitive
παρεὸν κατασχέσθαι: *although to keep (it) was possible*; acc. absolute; pple πάρ-ειμι
7 **οἰχώκεε**: plpf. οἴχομαι
καὶ δὴ καὶ: *in particular*; 'and indeed also'
8 **ἀπὸ…ἄγων**: *bringing back…*: tmesis
λέγεται…τάδε: *the following is also said…*
10 **ὡς**: *(namely) that…*
11 **ἐβοήθησε ἂν, εἰ μὴ…ἐπῆγε**: *he would have helped, if…was not bringing…against*; contrafactual condition (εἰ impf, ἄν + aor.)
ὑπὸ: *by…*; gen. agent
12 **ἐξελασθεὶς**: aor. pass. pple ἐξελαύνω
13 **ἐὼν**: nom. sg. pple εἰμί
ὑπ'…: *during this same time*
16 **τριήκοντα μυριάδας**: 300,000
17 **ἐόντα**: acc. sg. pple εἰμί
κατὰ…ἑωυτοῦ: *owing to his friendship*
18 **ἀναγνώσας**: *persuading (him)*; aor. pple ἀναγιγνώσκω
μάλιστα: *especially*
19 **ὃς**: *who…*; relative
20 **δοὺς**: nom. sg. aor. pple δίδωμι
εἶχε: *had (as a wife);* impf. ἔχω
22 **τῇ**: *to whom*; 'whose,' dat. of possession
οἷόν τε γενόμενον: *Gelon, not being able*
πρὸς δὲ: *and in addition*
25 **συνέβη**: *it happened that*; aor. συμβαίνω
τῆς αὐτῆς ἡμέρης: *during the same day*

τε κατ᾽ ἀνδραγαθίην Καρχηδονίων, ὡς ἡ συμβολή τε ἐγίνετο καὶ ὡς ἐσσοῦτο τῇ μάχῃ, ἀφανισθῆναι πυνθάνομαι· οὔτε γὰρ ζῶντα οὔτε ἀποθανόντα φανῆναι οὐδαμοῦ γῆς· τὸ πᾶν
167 γὰρ ἐπεξελθεῖν διζήμενον Γέλωνα. ἔστι δὲ ὑπ᾽ αὐτῶν Καρχηδονίων ὅδε λόγος λεγόμενος, οἰκότι χρεωμένων, ὡς οἱ μὲν βάρβαροι τοῖσι Ἕλλησι [ἐν τῇ Σικελίῃ] ἐμάχοντο ἐξ ἠοῦς ἀρξάμενοι μέχρι δείλης ὀψίης (ἐπὶ τοσοῦτο γὰρ λέγεται ἑλκύσαι τὴν σύστασιν), ὁ δὲ Ἀμίλκας ἐν τούτῳ τῷ χρόνῳ μένων ἐν τῷ στρατοπέδῳ [ἐθύετο καὶ] ἐκαλλιερέετο ἐπὶ πυρῆς μεγάλης σώματα ὅλα καταγίζων, ἰδὼν δὲ τροπὴν τῶν ἑωυτοῦ γινομένην, ὡς ἔτυχε ἐπισπένδων τοῖσι ἱροῖσι, ὦσε ἑωυτὸν ἐς τὸ πῦρ· οὕτω δὴ κατακαυθέντα ἀφανισθῆναι.
2 ἀφανισθέντι δὲ Ἀμίλκᾳ τρόπῳ εἴτε τοιούτῳ ὡς Φοίνικες λέγουσι, εἴτε ἑτέρῳ [ὡς Καρχηδόνιοι καὶ Συρηκόσιοι], τοῦτο μέν οἱ θύουσι, τοῦτο δὲ μνήματα ἐποίησαν ἐν πάσῃσι τῇσι πόλισι τῶν ἀποικίδων, ἐν αὐτῇ τε μέγιστον Καρχηδόνι. τὰ μὲν ἀπὸ Σικελίης τοσαῦτα.

168 Κερκυραῖοι δὲ τάδε ὑποκρινάμενοι τοῖσι ἀγγέλοισι τοιάδε ἐποίησαν· καὶ γὰρ τούτους παρελάμβανον οἱ αὐτοὶ οἵ περ ἐς Σικελίην ἀπίκοντο, λέγοντες τοὺς αὐτοὺς λόγους τοὺς καὶ πρὸς Γέλωνα ἔλεγον. οἳ δὲ παραυτίκα μὲν ὑπίσχοντο πέμψειν τε καὶ ἀμυνέειν, φράζοντες ὡς οὔ σφι περιοπτέη ἐστὶ ἡ Ἑλλὰς ἀπολλυμένη· ἢν γὰρ σφαλῇ, σφεῖς γε οὐδὲν ἄλλο ἢ δουλεύσουσι τῇ πρώτῃ τῶν ἡμερέων· ἀλλὰ τιμω-
2 ρητέον εἴη ἐς τὸ δυνατώτατον. ὑπεκρίναντο μὲν οὕτω εὐπρόσωπα· ἐπεὶ δὲ ἔδει βοηθέειν, ἄλλα νοέοντες ἐπλήρωσαν νέας ἑξήκοντα, μόγις δὲ ἀναχθέντες προσέμειξαν τῇ Πελοποννήσῳ, καὶ περὶ Πύλον καὶ Ταίναρον γῆς τῆς Λακεδαιμονίων ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι

Ἀμίλκας, ὁ: Amilcas (male) 4
ἀμύνω: to keep off, ward off, defend, 1
ἀν-άγω: to lead up, put to sea, 11
ἀνδρ-αγαθίη, ἡ: manly virtue, bravery, 1
ἀνοκωχεύω: to hold back, keep taut, hold, 2
ἀπ-οικίς, -ίδος, ἡ: a colonist, 1
ἀ-φανίζω: to hide, remove from sight, 6
βοηθέω: to come to aid, help, assist, (dat) 19
Γέλων, -ωνος, ὁ: Gelon, 14
δείλη, ἡ: late afternoon, 1
δίζημαι: to look for, search, 4
δουλεύω: to be a slave, serve, be subject to, 2
δυνατός, -ή, -όν: capable, strong, possible, 8
εἴτε: either...or; whether...or, 14
ἕλκω: to drag out, drag away, draw 3
ἑξήκοντα: sixty, 4
ἐπ-εξ-έρχομαι: to go out against or through, 2
ἐπι-σπένδω: to pour upon, 1
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
εὐ-πρόσωπος, -ον: fair on the face of it, 1
ζώω: to live, (Att. **ζάω**) 9
ἠώς, ἡ: daybreak, dawn, 17
καλλιερέω: to sacrifice with good omens, 3
καρα-δοκέω: wait eagerly, wait the outcome 2
Καρχηδόνιοι, οἱ: the Carthaginians, 5
Καρχηδών, -δονος, ὁ: Carthage, 1
κατ-αγίζω: to burn; dedicate, devote, 2
κατα-καίω: to burn, burn completely, 1
Κερκυραῖοι, οἱ: the Corcyreans, 2
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μέχρι: up to; until, as long as (+ gen.), 16
μνήμη, ἡ: memorial; remembrance, record, 2
μόγις: with difficulty, reluctantly, scarcely, 1
νοέω: to think, have in mind, suppose, 4
ὅλος, -η, -ον: whole, entire, complete, 4
ὄψιος, -η, -ον: late, 1
παρα-λαμβάνω: to receive, undertake, 16
παρ-αυτίκα: immediately, straightaway, 7
Πελοποννήσος, ὁ: Peloponnesus, 9
περι-οπτέος, -ον: to be overlooked, 1
πληρόω: to fill, 3
προσ-μίγνυμι: to land on, touch upon, reach, 1
Πύλος, ὁ: Pylus, 1
πῦρ, -ος, τό: fire, 6
πυρή, ἡ: fire, pyre, funeral pyre, 2
Σικελίη, ἡ: Sicily, 14
στρατόπεδον, τό: camp, encampment, 10
συμ-βολή, ἡ: battle, a coming together, 6
Συρηκόσιος, ὁ: a Syracusan, from Syracuse 8
συσ-στασις, -εως, ἡ: close combat, conflict, 1
σφάλλω: to fall; make fall, overthrow; 5
σῶμα, -ατος, τό: the body, 7
Ταίναρος, ὁ: Taenarus, 1
τιμωρέω: to help; avenge, seek vengeance, 17
τροπή, ἡ: rout, turning, 2
ὑπ-ίσχομαι: to promise, 2
ὑπο-κρίνομαι: to answer, reply, respond, 8
Φοίνικες, οἱ: Phoenicians, 12
φράζω: to point out, tell, indicate, 16
ὠθέω: to push, thrust, 2

---

1 **κατ᾽ ἀνδραγαθίην**: *on account of valor*
ὡς…καὶ ὡς: *when…and when*
2 **ἐσσοῦτο**: *was defeated*; impf. ἐσσόομαι
τῇ μάχῃ: dat. of means
ἀφανισθῆναι: the acc. subj. is Ἀμίλκαν
3 **ζῶντα, ἀποθανόντα**: ζάω, ἀποθνήσκω
φανῆναι: *he appeared*; aor. inf. φαίνω
τὸ πᾶν…ἐπεξελθεῖν: *went out everywhere*
5 **ὅδε λόγος**: *the following story told*
οἰκότι χρεωμένων: *employing the semblance (of truth)*; χράομαι + dat. οἰκός
6 **τοῖσι Ἕλλησι**: *with the Greeks*; association
7 **ἐπὶ τοσοῦτο**: *to such a length*.
8 **λέγεται**: *it is said*; impersonal
ἑλκύσαι: *that (they) draw out*; aor. inf.
ἐπὶ: *upon*
10 **ἰδὼν**: *seeing*; pple εἶδον
11 **τῶν ἑωυτοῦ**: *of his (men)*
ἔτυχε ἐπισπένδων: *he happened to be pouring a libation on*; aor. τυγχάνω
ἱροῖσι: *sacrifices*; i.e. sacrificial victims
12 **ὦσε**: 3rd sg. aor. ὠθέω
κατακαυθέντα: acc. sg. aor. pass. pple
Ἀμίλκᾳ…οἱ θύουσι: *they sacrifice to him, to Amilcas having disappeared*
13 **εἴτε…εἴτε**: *whether…or*
τρόπῳ…τοιούτῳ: *in such a way*
14 **τοῦτο μέν…**: *on the one hand…the other*
17 **τοσαῦτα**: *so much (said) from Sicily*
19 **παρελαμβανον**: *took these (as an ally)*
20 **τοὺς**: *which…*
περιοπτέη ἐστὶ: *must not be overlooked by them*; verbal adj. + εἰμί with dat. agent
23 **ἢν σφαλῇ**: *if it falls*; aor. subj. σφάλλω
24 **τιμωρητέον εἴη**: *that they would help*; l. 20
27 **ἀναχθέντες**: nom. aor. pass. pple ἀνάγω
29 **ἀνεκώχευον**: impf. ἀνοκωχεύω

τὸν πόλεμον τῇ πεσέεται, ἀελπτέοντες μὲν τοὺς Ἕλληνας ὑπερβαλέεσθαι, δοκέοντες δὲ τὸν Πέρσην κατακρατήσαντα πολλὸν ἄρξειν πάσης τῆς Ἑλλάδος. ἐποίευν ὧν ἐπίτηδες, ἵνα ἔχωσι πρὸς τὸν Πέρσην λέγειν τοιάδε. ‘Ὦ βασιλεῦ, ἡμεῖς, παραλαμβανόντων τῶν Ἑλλήνων ἡμέας ἐς τὸν πόλεμον τοῦτον, ἔχοντες δύναμιν οὐκ ἐλαχίστην οὐδὲ νέας ἐλαχίστας παρασχόντες ἂν ἀλλὰ πλείστας μετά γε Ἀθηναίους, οὐκ ἠθελήσαμέν τοι ἀντιοῦσθαι οὐδέ τι ἀποθύμιον ποιῆσαι.’ τοιαῦτα λέγοντες ἤλπιζον πλέον τι τῶν ἄλλων οἴσεσθαι· τά περ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέει. πρὸς δὲ τοὺς Ἕλληνάς σφι σκῆψις ἐπεποίητο, τῇ περ δὴ καὶ ἐχρήσαντο. αἰτιωμένων γὰρ τῶν Ἑλλήνων ὅτι οὐκ ἐβοήθεον, ἔφασαν πληρῶσαι μὲν ἑξήκοντα τριήρεας, ὑπὸ δὲ ἐτησιέων ἀνέμων ὑπερβαλεῖν Μαλέην οὐκ οἷοί τε γενέσθαι· οὕτω οὐκ ἀπικέσθαι ἐς Σαλαμῖνα, καὶ οὐδεμιῇ κακότητι λειφθῆναι τῆς ναυμαχίης. οὗτοι μὲν οὕτω διεκρούσαντο τοὺς Ἕλληνας.

169 Κρῆτες δέ, ἐπείτε σφέας παρελάμβανον οἱ ἐπὶ τούτοισι ταχθέντες Ἑλλήνων, ἐποίησαν τοιόνδε· πέμψαντες κοινῇ θεοπρόπους ἐς Δελφοὺς τὸν θεὸν ἐπειρώτων εἴ σφι ἄμεινον τιμωρέουσι γίνεται τῇ Ἑλλάδι. ἡ δὲ Πυθίη ὑπεκρίνατο ‘Ὦ νήπιοι, ἐπιμέμφεσθε ὅσα ὑμῖν ἐκ τῶν Μενελάου τιμωρημάτων Μίνως ἔπεμψε μηνίων δακρύματα, ὅτι οἱ μὲν οὐ συνεξεπρήξαντο αὐτῷ τὸν ἐν Καμικῷ θάνατον γενόμενον, ὑμεῖς δὲ ἐκείνοισι τὴν ἐκ Σπάρτης ἁρπασθεῖσαν ὑπ’ ἀνδρὸς βαρβάρου γυναῖκα.’ ταῦτα οἱ Κρῆτες ὡς ἀπενειχθέντα
170 ἤκουσαν, ἔσχοντο τῆς τιμωρίης. λέγεται γὰρ Μίνων κατὰ ζήτησιν Δαιδάλου ἀπικόμενον ἐς Σικανίην τὴν νῦν Σικελίην

ἀ-ελπτέω: to have no hope, be hopeless, 1
αἰτιάομαι: to blame, accuse, charge, 1
ἀμείνων, -ον: better, nobler, braver, 12
ἀντιόομαι: to resist, oppose, 6
ἀπο-θύμιος, -ον: displeasing, hateful, 1
ἀπο-φέρω: to carry off or away, 2
ἁρπάζω: seize, carry off, kidnap, 2
βοηθέω: to come to aid, help, assist, (dat) 19
Δαιδάλος, ὁ: Daedalus (male) 1
δάκρυμα, -ατος, τό: a thing wept for, 1
Δελφοί, οἱ: Delphi (town) 12
δια-κρούω: to knock off, get rid of, 1
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
ἐλάχιστος, -η, -ον: the smallest, least, 7
ἐλπίζω: to hope for, look for, expect, 7
ἑξήκοντα: sixty, 4
ἐπ-ειρωτάω: inquire of, question, consult, 4
ἐπί-μέμφομαι: to blame, censure, 1
ἐπί-τηδές: adv. for this purpose, decidedly, 2
ἐτησίαι οἱ: Etesian (northwest) winds, 1
ζήτησις, ἡ: a seeking, search (for), 2
θάνατος, ὁ: death, 12
θεοπρόπος, ὁ: seer, prophet; messenger, 5
κακότης, -ητος, ἡ: evil, trouble, suffering, 2
Καμικός, ὁ: Camicus (place), 2
κατα-κρατέω: to prevail over overpower, 2
κοινός, -ή, -όν: common, ordinary; public, 7
Κρής, Κρητος, ὁ: a Cretan, from Crete, 4
Μαλέη, ἡ: Malea, 1
Μενέλαος, ὁ: Menelaus, 2
μηνίω: to be greatly angry, be wroth, 2
Μίνως, ὁ: Minos, 3
ναυ-μαχίη, ἡ: sea-battle, 5
νήπιος, -α, -ον: not speaking, childish, silly, 1
παρα-λαμβάνω: to receive, undertake, 16
πίπτω: to fall, fall down, 18
πλεῖστος, -η, -ον: most, greatest, largest, 6
πληρόω: to fill, 3
Πυθίη, ἡ: the Pythia (priestess of Apollo), 6
Σαλαμίς, -ῖνος, ὁ: Salamis, 6
Σικανίη, ἡ: Sicania (Sicily), 2
Σικελίη, ἡ: Sicily, 13
σκῆψις, -εως, ἡ: excuse, pretense, prop up, 1
Σπάρτη, ἡ: Sparta, 16
συνεκ-πρήσσομαι: to join in attacking, 1
τιμωρέω: to help; avenge, seek vengeance, 17
τιμώρημα, -ατος, τό: help, aid, succour, 1
τιμωρίη, ἡ: revenge, vengeance, 4
τριήρης, ὁ: a trireme, 7
ὑπερ-βάλλω: to surpass, outdo, overshoot, 5
ὑπο-κρίνομαι: to answer, reply, respond, 8

---

1 **τὸν πόλεμον τῇ πεσέεται**: *in what way the war will fall*; proleptic, fut. πίπτω
τοὺς Ἕλληνας: acc. subj. ὑπερβαλέεσθαι
3 **ἄρξειν**: *will rule*; + gen.; fut. ἄρχω
ἐποίευν: Att. ἐποίουν
4 **ἵνα ἔχωσι**: *to be able*; purpose, pres. subj.
5 **παραλαμβανόντων**: gen. abs.
7 **παρασχόντες**: aor. pple, προσέχω
μετά γε: *after…*; second to the Athenians
ἂν…ἠθελήσαμεν: *would not be willing*; past potential (ἄν + aor. indicative)
8 **ποιῆσαι**: aor. inf. ποιέω
9 **τῶν ἄλλων**: *than others*; gen. comparison
οἴσεσθαι: *to carry away*; fut. inf. φέρω
10 **τά…ἐγένετο**: *which things would have actually occurred*; unreal past potential
11 **ἐπεποίητο**: plpf. ποιέω
12 **τῇ**: *which…;* obj. of aor. χρέομαι
αἰτιωμένων…: *blaming…*; gen. absolute
ἔφασαν: impf. φημί
13 **ὑπὸ…**: *because of…*; gen. of cause
14 **οἷοι τε γενέσθαι**: *that they were not able*; 'were not capable,' οἷος τε + εἰμί
οὕτω οὐκ: *thus (they could) not…*
15 **οὐδεμιῇ κακότητι**: *by…*; dative of means
λειφθῆναι: aor. pass. dep. inf. λείπω
ναυμαχίης: *from…*; gen. separation
16 **διεκρούσαντο**: i.e. put off
17 **ἐπείτε**: *when*
οἱ…ταχθέντες: aor. pass. pple τάσσω
ἐπὶ τούτοισι: *for these (purposes)*
18 **κοινῇ**: *in common*
19 **ἐπειρώτων**: 3rd impf. ἐπ-ειρωτάω
εἴ: *whether…*
20 **τιμωρέουσι**: *for them helping*; dat. pple
ἄμεινον…γίνεται: *it is better*; comparative
21 **ἐπιμέμφεσθε**: *blame*; 2nd pl. imperative
ὅσα: *all that*; antecedent δακρύματα
22 **μηνίων δακρύματα**: nom. sg. pres. pple
ὅτι οἱ μὲν: *because others…*
24 **ὑμεῖς δὲ**: *but you (helped)*; supply verb.
ἁρμπασθεῖσαν: aor. pass. pple ἁρπάζω
25 **ὡς**: *when*
ἀπενειχθέντα: *reported*; pple ἀποφέρω
26 **ἔσχοντο**: *they refrained*; + gen. separation
κατὰ ζητησιν: *in the search*

καλευμένην ἀποθανεῖν βιαίῳ θανάτῳ. ἀνὰ δὲ χρόνον Κρῆτας, θεοῦ σφι ἐποτρύναντος, πάντας πλὴν Πολιχνιτέων τε καὶ Πραισίων ἀπικομένους στόλῳ μεγάλῳ ἐς Σικανίην πολιορκέειν ἐπ᾽ ἔτεα πέντε πόλιν Καμικόν, τὴν κατ᾽ ἐμὲ
2 Ἀκραγαντῖνοι ἐνέμοντο· τέλος δὲ οὐ δυναμένους οὔτε ἑλεῖν οὔτε παραμένειν λιμῷ συνεστεῶτας, ἀπολιπόντας οἴχεσθαι. ὡς δὲ κατὰ Ἰηπυγίην γενέσθαι πλέοντας, ὑπολαβόντα σφέας χειμῶνα μέγαν ἐκβαλεῖν ἐς τὴν γῆν· συναραχθέντων δὲ τῶν πλοίων, (οὐδεμίαν γάρ σφι ἔτι κομιδὴν ἐς Κρήτην φαίνεσθαι), ἐνθαῦτα Ὑρίην πόλιν κτίσαντας καταμεῖναί τε καὶ μεταβαλόντας ἀντὶ μὲν Κρητῶν γενέσθαι Ἰήπυγας Μεσσαπίους,
3 ἀντὶ δὲ εἶναι νησιώτας ἠπειρώτας. ἀπὸ δὲ Ὑρίης πόλιος τὰς ἄλλας οἰκίσαι, τὰς δὴ Ταραντῖνοι χρόνῳ ὕστερον πολλῷ ἐξανιστάντες προσέπταισαν μεγάλως, ὥστε φόνος Ἑλληνικὸς μέγιστος οὗτος δὴ ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν, αὐτῶν τε Ταραντίνων καὶ Ῥηγίνων, οἳ ὑπὸ Μικύθου τοῦ Χοίρου ἀναγκαζόμενοι τῶν ἀστῶν καὶ ἀπικόμενοι τιμωροὶ Ταραντίνοισι ἀπέθανον τρισχίλιοι οὕτω· αὐτῶν δὲ Ταραν-
4 τίνων οὐκ ἐπῆν ἀριθμός. ὁ δὲ Μίκυθος οἰκέτης ἐὼν Ἀναξίλεω, ἐπίτροπος Ῥηγίου καταλέλειπτο, οὗτος ὅς περ ἐκπεσὼν ἐκ Ῥηγίου καὶ Τεγέην τὴν Ἀρκάδων οἰκήσας ἀνέθηκε ἐν
171 Ὀλυμπίῃ τοὺς πολλοὺς ἀνδριάντας. ἀλλὰ τὰ μὲν κατὰ Ῥηγίνους τε καὶ Ταραντίνους τοῦ λόγου μοι παρενθήκη γέγονε· ἐς δὲ τὴν Κρήτην ἐρημωθεῖσαν, ὡς λέγουσι Πραίσιοι, ἐσοικίζεσθαι ἄλλους τε ἀνθρώπους καὶ μάλιστα Ἕλληνας, τρίτῃ δὲ γενεῇ μετὰ Μίνων τελευτήσαντα γενέσθαι τὰ Τρωικά, ἐν τοῖσι οὐ φλαυροτάτους φαίνεσθαι ἐόντας

αἱρέω: to seize, take; *mid*. choose, 17
Ἀκραγάντινες, οἱ: the Acragantians, 2
ἀναγκάζω: to force, compel, require, 15
Ἀναξίλεως, -εω, ὁ: Anaxilaus (male) 3
ἀνα-τίθημι: to set up, dedicate; attribute, 2
ἀνδριάς, -αντος, ὁ: statue, 1
ἀπο-λείπω: to leave (off); lack, fail, 5
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἀρκάς, Ἀρκάδος, ὁ: Arcadian, 2
ἀστός, ὁ: townsman, country-man, 5
Ὑδρίη, ἡ: Hyria (town) 2
βίαιος, -α, -ον: forcible, violent, 1
δύναμαι: to be able, can, be capable, 13
ἐξ-ανίστημι: rise and depart from, emigrate, 2
ἐκ-βάλλω: to throw out of, cast away, 2
ἐκ-πίπτω: to be driven out, be banished, 2
Ἑλληνικός, -ή, -όν, ὁ: Greek, Hellenic, 9
ἐπ-οτρύνω: to urge on, stir up, excite, 3
ἐπί-τροπος, ὁ: guardian, 1
ἐρημόω: to lay desolate; deprive of (gen) 3
ἐσ-οικίζομαι: to populate, dwell in, 1
ἠπειρώτης, ὁ: mainlander, living on land, 3
θάνατος, ὁ: death, 12
Ἰήπυγες, οἱ: Iapygian, 1
Ἰηπυγίη, ἡ: Iapygia, 1
Καμικός, ὁ: Camicus (place), 2
κατα-λείπω: to leave behind, 9
κατα-μένω: to stay behind, remain 5
κομιδή, ἡ: provisions, care, attendance, 2
Κρής, Κρητος, ὁ: a Cretan, from Crete, 4
Κρήτη, ἡ: Crete, 4
κτίζω: to found, establish, colonize, 2
λιμός. ὁ, ἡ: hunger, famine, 4
μεγάλως: greatly, mightily, 10
μέγιστος, -η, -ον: greatest, best, longest, 16
Μεσσαπίοι, οἱ: the Messapians, 1
μετα-βάλλω: to change, 6
Μίκυθος, ὁ: Micythus, 2
Μίνως, ὁ: Minos, 3
νέμω: to distribute, assign; inhabit, 10
νησιώτης, ὁ: islander, Aegean islander, 4
οἰκέτης, -ου, ὁ: a house-slave, menial, 3
οἰκίζω: to settle, colonize, people, 4
οἴχομαι: to go, go off, depart, 11
Ὀλυμπίη, ἡ: Olympia, 1
παρ-εν-θήκη, ἡ: addition, 2
παρα-μένω: to abide, stay by, remain, 1
πέντε: five, 8
πλοῖον τό: ship, vessel, 11
πολιορκέω: to besiege, hem in a city, 4
Πολιχνιτες, οἱ: inhabitants of Polichne, 1
Πραίσιοι, οἱ: the Praesians, 2
προσ-πταίω: strike against, stumble; lose, 3
Ῥήγιον, -ου, τό: Rhegium (town), 2
Ῥηγίνοι, οἱ: the Rhegians, 2
Σικανίη, ἡ: Sicania (Sicily), 2
στόλος, ὁ: expedition, armed voyage, 10
συν-αράσσω: to dash together, wreck, 1
συν-ίστημι: join battle; set together, arrange 8
Ταράντινοι, οἱ: the Tarantines, 4
Τεγέη, ἡ: Tegea, 1
τελευτάω: to end, complete, finish; die, 18
τέλος, -εος, τό: end, result; assigned (unit) 18
τιμωρός, -όν: helping, aiding, avenging, 4
τρισ-χίλιοι: three thousand, 3
τρίτος, -η, -ον: the third, 18
Τρωικός, ή, όν: Trojan, 1
ὑπο-λαμβάνω: to take up, reply; suppose, 3
φλαῦρος, -η, -ον: inferior, trivial, petty, 4
φόνος, ὁ: murder, homicide, slaughter, 6
χειμών, -ῶνος τό: storm, winter, 15
Χοίρος, ὁ: Choerus (male), 1
ὥστε: so that, that, so as to, 18

---

1 ἀποθανεῖν: acc. inf. ἀποθνήσκω
βιαίῳ θανάτῳ: dat. of means
ἀνὰ δὲ χρόνον: *over time*
4 ἐπ᾽ ἔτεα πέντε: *for five years*
τὴν…ἐνέμοντο: *which…inhabited*
7 κατ᾽ ἐμὲ: *in my time*
5 τέλος δὲ: *finally*
ἑλεῖν: aor. inf. αἱρέω
6 λιμῷ: *by famine*; dat. of means
συνεστεῶτας: *joined in battled*; pf. pple
ἀπολιπόντας: aor. pple ἀπολείπω
7 κατὰ᾽Ἰηπυγίην: *near Iapygia*
πλέοντας: *sailing*; pple πλέω
ὑπολαβόντα σφέας: *picking them up*; pple
8 συναραχθέντων…πλοίων: *the ships…*; gen. abs., aor. pass. pple συναράσσω
10 καταμεῖναι: aor. inf. καταμένω
12 ἀντὶ δὲ εἶναι…: *instead of being islanders*
13 χρόνῳ: *much time later*; degree difference
15 τῶν…ἴδμεν: *which we know*; 1st pl. οἶδα
19 ἐπῆν ἀριθμός: *no count remained*; ἔπειμι
20 ἐκπεσὼν: *being banished*; aor ἐκ-πίπτω
24 ἐρημωθεῖσαν: aor. pass. pple ἐρημόω
26 τρίτῃ γενεῇ: *in the third generation*

2 Κρῆτας τιμωροὺς Μενέλεῳ. ἀπὸ τούτων δέ σφι ἀπονο- 1
στήσασι ἐκ Τροίης λιμόν τε καὶ λοιμὸν γενέσθαι καὶ αὐτοῖσι
καὶ τοῖσι προβάτοισι, ἔστε τὸ δεύτερον ἐρημωθείσης Κρήτης
μετὰ τῶν ὑπολοίπων τρίτους αὐτὴν νῦν νέμεσθαι Κρῆτας.
ἡ μὲν δὴ Πυθίη ὑπομνήσασα ταῦτα ἔσχε βουλομένους 5
τιμωρέειν τοῖσι Ἕλλησι.

172 Θεσσαλοὶ δὲ ὑπὸ ἀναγκαίης τὸ πρῶτον ἐμήδισαν, ὡς
διέδεξαν, ὅτι οὔ σφι ἥνδανε τὰ οἱ Ἀλευάδαι ἐμηχανῶντο.
ἐπείτε γὰρ ἐπύθοντο τάχιστα μέλλοντα διαβαίνειν τὸν
Πέρσην ἐς τὴν Εὐρώπην, πέμπουσι ἐς τὸν Ἰσθμὸν ἀγγέλους· 10
ἐν δὲ τῷ Ἰσθμῷ ἦσαν ἁλισμένοι πρόβουλοι τῆς Ἑλλάδος
ἀραιρημένοι ἀπὸ τῶν πολίων τῶν τὰ ἀμείνω φρονεουσέων
2 περὶ τὴν Ἑλλάδα. ἀπικόμενοι δὲ ἐπὶ τούτους τῶν Θεσσαλῶν
οἱ ἄγγελοι ἔλεγον· ‘Ἄνδρες Ἕλληνες, δεῖ φυλάσσεσθαι τὴν
ἐσβολὴν τὴν Ὀλυμπικήν, ἵνα Θεσσαλίη τε καὶ ἡ σύμπασα 15
Ἑλλὰς ἐν σκέπῃ τοῦ πολέμου ᾖ. ἡμεῖς μέν νυν ἕτοιμοι
εἰμὲν συμφυλάσσειν, πέμπειν δὲ χρὴ καὶ ὑμέας στρατιὴν
πολλήν, ὡς, εἰ μὴ πέμψετε, ἐπίστασθε ἡμέας ὁμολογήσειν
τῷ Πέρσῃ· οὐ γάρ τι προκατημένους τοσοῦτο πρὸ τῆς ἄλλης
3 Ἑλλάδος μούνους πρὸ ὑμέων δεῖ ἀπολέσθαι. βοηθέειν δὲ 20
οὐ βουλόμενοι ἀναγκαίην ἡμῖν οὐδεμίαν οἷοί τε ἐστὲ προσ-
φέρειν· οὐδαμὰ γὰρ ἀδυνασίης ἀνάγκη κρέσσων ἔφυ. ἡμεῖς
δὲ πειρησόμεθα αὐτοί τινα σωτηρίην μηχανώμενοι.’ ταῦτα
173 ἔλεγον οἱ Θεσσαλοί. οἱ δὲ Ἕλληνες πρὸς ταῦτα ἐβουλεύ-
σαντο ἐς Θεσσαλίην πέμπειν κατὰ θάλασσαν πεζὸν στρατὸν 25
φυλάξοντα τὴν ἐσβολήν. ὡς δὲ συνελέχθη ὁ στρατός,
ἔπλεε δι᾽ Εὐρίπου· ἀπικόμενος δὲ τῆς Ἀχαιίης ἐς Ἅλον,

ἀ-δυνασίη, ἡ: lack of ability, inability, 1
αἱρέω: to seize, take; *mid*. choose, 17
Ἀλευάδαι, -έων, οἱ: Aleuadae, 4
ἁλίζω: to collect, gather together, 13
Ἅλος, ὁ: Alus (place) 2
ἀμείνων, -ον: better, nobler, braver, 12
ἁνδάνω: to please, delight, gratify, 1
ἀπο-νοστέω: to return, come home, 5
Ἀχαιΐη, ἡ: Achaea (place) 6
βοηθέω: to come to aid, help, assist, (dat) 19
βουλεύω: to deliberate, plan, take counsel, 19
δια-δείκνυμι: to make plain, show clearly, 3
ἐρημόω: to lay desolate; deprive of (gen) 3
ἐσ-βολή, ἡ: inroad, invasion, attack, 12
ἔστε: until; as long as (ἔσ-οτε) 12
ἑτοῖμος, -η, -ον: ready, prepared, at hand, 6
Εὔριπος, ὁ: Euripus (water), 2
Εὐρώπη, ἡ: Europe, 13
Θεσσαλίη, ἡ: Thessaly, 19
Θεσσαλοί, οἱ: the Thessalians, 12
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
κρέσσων, -ον:, stronger, better superior, 3
Κρής, Κρητος, ὁ: a Cretan, from Crete, 4
Κρήτη, ἡ: Crete, 4
λιμός. ὁ, ἡ: hunger, famine, 4
λοιμός, ὁ: a plague, pestilence, 1
Μενέλαος, ὁ: Menelaus, 2
μηδίζω: to side with Medes; make a Mede, 8
μηχανάομαι: to contrive, devise well, 8
νέμω: to distribute, assign; inhabit, 10
Ὀλυμπικός, -ή, -όν: of Olympia, Olympic, 1
ὁμο-λογέω: to speak together, agree, 1
πρό-βατα, τά: cattle, sheep, herd, 1
πρό-βουλοι, οἱ: delegates, 1
προ-κάτ-ημαι: to sit in front, 2
προσ-φέρω: to bring to, apply to, 4
Πυθίη, ἡ: the Pythia (priestess of Apollo), 6
σκέπη, ἡ: shelter, protection, 10
συλ-λέγω: to collect, gather, 10
σύμ-πας, -πασα, -παν: every, all, whole, 7
συμ-φυλάσσω: to guard (along with), 1
σωτηρίη, ἡ: deliverance, means of safety, 1
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τιμωρέω: to help; avenge, seek vengeance, 17
τιμωρός, -όν: helping, aiding, avenging, 4
τρίτος, -η, -ον: the third, 18
Τροίη, ἡ: Troy, 2
ὑπό-λοιπος, -η, -ον: left behind; survivor, 1
ὑπο-μιμνήσκω: remind, mention, 1
φρονέω: to think, to be wise, prudent, 7
φύω: to be by nature, bring forth, grow, 14

---

1 **τιμωροὺς Μενέλεῳ**: *helpers for Menelaus*
σφι ἀπονοστήσασι: *to them*…; dat. pl. aor. pple modifying a dat. of interest pronoun
2 **γενέσθαι**: λιμόν, λοιμὸν are acc. subjects
αὐτοῖσι…προβάτοισι: in apposition to σφι
3 **ἔστε**: *until*…; temporal
τὸ δεύτερον: *next*; adverbial acc.
ἐρημωθείσης…: gen. abs., aor. pass. pple
4 **τρίτους…Κρῆτας**: *third (group of) Cretans*
αὐτὴν: *it*; i.e. Crete
5 **ὑπομνήσασα**: *recalling*; nom. aor. pple
ἔσχε: *held (back);* i.e. prevented, aor. ἔχω
7 **ὑπὸ…**: because of…; gen. of cause
τὸ πρῶτον: *first*; adverbial acc.
8 **διέδεξαν**: 3rd pl. aorist διαδείκνυμι
ἥνδανε: impf. ἁνδάνω subject τὰ…
τὰ: *(the things) which*; relative, the missing antecedent is neuter subj. of ἥνδανε
9 **ἐπείτε…τάχιστα**: *as soon as*; 'when very quickly...' superlative adv
ἐπύθοντο: aor. mid. πυνθάνομαι
11 **ἦσαν ἁλισμένοι**: *had been gathered*; impf. εἰμί + pf. pass. pple is a periphrastic plpf.
12 **ἀραιρημένοι**: pf. pass. pple αἱρέω
τὰ ἀμείνω: *better things*; ἀμείνο(ν)α
φρονεουσέων: fem pple with gen pl πολίς
13 **ἐπὶ τούτους**: *to these*; acc. place to which
Θεσσαλῶν: governed by ἄγγελοι
ἐσβολὴν: *pass, inland*
ἵνα…ᾖ: *that…may be*; purpose, subj. εἰμί
16 **ἐν σκέπῃ…**: *under protection from the war*
17 **εἰμὲν**: 1st pl. present εἰμί
18 **ὡς**: *since*…; causal
ὁμολογήσειν: *will make an agreement*; fut.
19 **προκατημένους**: pf. pple προκάτημαι
τοσοῦτο: *to such an extent*; i.e. 'so far' acc. of extent or adverbial acc. with πρὸ
20 **πρὸ ὑμέων**: *on behalf of you*
δεῖ: *it is appropriate*; 'it is necessary'
21 **ἡμῖν**: *upon us*; dat. compound προσφέρειν
οἷοί τε ἐστὲ: *you are able*; 'the sort that…'
22 **ἀδυνασίης**: *than*…; gen. of comparison
ἔφυ: *is by nature*; gnomic aor. φύω
25 **κατὰ θάλασσαν**: *by sea*; via the sea
26 **φυλάξοντα**: *to guard*; fut. for purpose
συνελέχθη: 3rd sg. aor. pass. συλ-λέγω

ἀποβὰς ἐπορεύετο ἐς Θεσσαλίην, τὰς νέας αὐτοῦ καταλιπών, καὶ ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβολὴν ἥ περ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην φέρει παρὰ ποταμὸν Πηνειόν, μεταξὺ δὲ Ὀλύμπου τε ὄρεος ἐόντα καὶ
2 τῆς Ὄσσης. ἐνθαῦτα ἐστρατοπεδεύοντο τῶν Ἑλλήνων κατὰ μυρίους ὁπλίτας συλλεγέντες, καί σφι προσῆν ἡ Θεσσαλῶν ἵππος· ἐστρατήγεε δὲ Λακεδαιμονίων μὲν Εὐαίνετος ὁ Καρήνου ἐκ τῶν πολεμάρχων ἀραιρημένος, γένεος μέντοι ἐὼν οὐ τοῦ βασιληίου, Ἀθηναίων δὲ Θεμιστοκλέης ὁ Νεοκλέος.
3 ἔμειναν δὲ ὀλίγας ἡμέρας ἐνθαῦτα· ἀπικόμενοι γὰρ ἄγγελοι παρὰ Ἀλεξάνδρου τοῦ Ἀμύντεω ἀνδρὸς Μακεδόνος συνεβούλευόν σφι ἀπαλλάσσεσθαι μηδὲ μένοντας ἐν τῇ ἐσβολῇ καταπατηθῆναι ὑπὸ τοῦ στρατοῦ τοῦ ἐπιόντος, σημαίνοντες τὸ πλῆθός τε τῆς στρατιῆς καὶ τὰς νέας. ὡς δὲ οὗτοί σφι ταῦτα συνεβούλευον (χρηστὰ γὰρ ἐδόκεον συμβουλεύειν καί
4 σφι εὔνοος ἐφαίνετο ἐὼν ὁ Μακεδών), ἐπείθοντο. δοκέειν δὲ μοι, ἀρρωδίη ἦν τὸ πεῖθον, ὡς ἐπύθοντο καὶ ἄλλην ἐοῦσαν ἐσβολὴν ἐς Θεσσαλοὺς κατὰ τὴν ἄνω Μακεδονίην διὰ Περραιβῶν κατὰ Γόννον πόλιν, τῇ περ δὴ καὶ ἐσέβαλε ἡ στρατιὴ ἡ Ξέρξεω. καταβάντες δὲ οἱ Ἕλληνες ἐπὶ τὰς
174 νέας ὀπίσω ἐπορεύοντο ἐς τὸν Ἰσθμόν. αὕτη ἐγένετο ἡ ἐς Θεσσαλίην στρατίη, βασιλέος τε μέλλοντος διαβαίνειν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίης καὶ ἐόντος ἤδη ἐν Ἀβύδῳ. Θεσσαλοὶ δὲ ἐρημωθέντες συμμάχων οὕτω δὴ ἐμήδισαν προθύμως οὐδ' ἔτι ἐνδοιαστῶς, ὥστε ἐν τοῖσι πρήγμασι ἐφαίνοντο βασιλέϊ ἄνδρες ἐόντες χρησιμώτατοι.

175 οἱ δὲ Ἕλληνες ἐπείτε ἀπίκατο ἐς τὸν Ἰσθμόν, ἐβουλεύοντο πρὸς τὰ λεχθέντα ἐξ Ἀλεξάνδρου τῇ τε στήσονται

Ἄβυδος, -ου, ὁ: Abydus, 7
αἱρέω: to seize, take; *mid*. choose, 17
Ἀλέξανδρος, ὁ: Alexander, 1
Ἀμύντης, -εω, ὁ: Amyntas, 1
ἀπο-βαίνω: to turn out, result; disembark, 4
ἀρρωδίη, ἡ: terror, fright, fear, 1
Ἀσίη, ἡ: Asia, 17
βουλεύω: to deliberate, plan, take counsel, 19
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
Γόννος, -οῦ, ὁ: Gonnus river, 2
ἐνδοιαστός, -ή, -όν: doubtful, ambiguous, 1
ἐρημόω: to lay desolate; deprive of (gen) 3
ἐσ-βάλλω: throw or put into; put on board 11
ἐσ-βολή, ἡ: inroad, invasion, attack, 12
Εὐαίνετος, ὁ: Euaenetus (male) 1
Εὐρώπη, ἡ: Europe, 13
εὔνοος, -ή, -όν: well-disposed, well-minded, 2
Θεμιστοκλέης,, -έος, ὁ: Themistocles (male) 4
Θεσσαλίη, ἡ: Thessaly, 19
Θεσσαλοί, οἱ: the Thessalians, 12
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
ἵστημι: to make stand; set up, stop, 18
Καρήνος, ὁ: Carenus (male) 1
κατα-βαίνω: to step, come down, 4
κατα-λείπω: to leave behind, 9
καταπατέω: to trample under foot, 2
κάτω: down, below, 18
Μακεδονίη, ἡ: Macedonia, 4
Μακεδών, -όνος, ο, ἡ: a Macedonian, 6
μέντοι: however, nevertheless; certainly, 13
μεταξύ: between, among 12
μη-δέ: and not, but not, nor, 18
μηδίζω: to side with Medes; make a Mede, 8
Νεοκλής, -έος, ὁ: Neocles (male) 2
Ὀλύμπος, ὁ: Olympus, 4
ὁπλίτης, -ου ὁ: hoplite, armed soldier, 4
Ὄσσα, ἡ: Mount Ossa, 3
Περραιβοί, οἱ: Perraebians, 5
Πηνειός, ὁ: Peneus river, 9
πολέμαρχος, ὁ: Polemarch (high official), 1
πρό-θυμος, -ον: eager, zealous; ready, 6
σημαίνω: to show, indicate, declare, 9
στρατοπεδεύω: to encamp, take a position, 12
συλ-λέγω: to collect, gather, 10
συμ-βουλεύω: advise, deliberate together, 16
Τέμπεα, τά: Tempe (valley) (Τέμπη, τά), 1
χρήσιμος, -η, -ον: useful, serviceable; fit 3
χρηστός, -ή, -όν: good, worthy, 19
ὥστε: so that, that, so as to, 18

---

1 ἀποβὰς: nom. sg. aor. pple ἀποβαίνω
αὐτοῦ: *there*
2 ἀπίκετο: aor. ἀπικνέομαι
ἐσβολὴν: *pass*
ἥ περ: *which very one…*; relative
3 Μακεδονίης…κάτω: *lower Macedonia*
4 ὄρεος: *mountain*; gen. sg. ὄρος
5 κατὰ: *about*; for approximate numbers
ἔσχε: *held (back);* i.e. prevented, aor. ἔχω
6 συλλεγένετες: aor. pass. pple συλλέγω
προσῆν: *was at hand;* impf. πρόσ-ειμί
7 ἐστρατήγεε: impf. στρατηγέω
8 ἀραιρημένος: *chosen*; pf. pass. pple αἱρέω
γένεος…βασιληίου: *not of royal lineage*
10 ἔμειναν: 3rd pl. 1st aor. μένω
ὀλίγας ἡμέρας: *for…*; acc. of duration
12 ἀπαλλάσσεσθαι: *to depart*; mid. inf.
13 καταπατηθῆσαι: aor. pass. inf.
ἐπιόντος: *coming*; gen. pple ἐπέρχομαι
14 ὡς: *when, after*; temporal
16 ἐφαίνετο ἐὼν: *appeared to be*; pple εἰμί
ἐπείθοντο: impf. pass. πείθω
δοκέειν δὲ μοι: *it seeming to me*; inf. abs.
17 ἦν: 3rd sg impf. ἔχω
τὸ πεῖθον: *the thing persuading*; pres. pple
καὶ ἄλλην…ἐσβολὴν: *that there was also another pass*; governed by ἐπύθοντο
18 κατὰ…: *along upper Macedonia*
19 τῇ περ δὴ: *by which way actually*
20 καταβάντες: aor. pple καταβαίνω
22 βασιλέος τε μέλλοντος…ἐόντος: gen. abs.
24 ἐρημωθέντες: aor. pass. pple ἐρημόω
συμμάχων: *from…*; gen. separation
27 ἐπείτε: *when*
ἀπίκατο: plpf. mid. ἀπικνέομαι
πρὸς: *in response to, with regard to*
λεχθέντα: aor. pass. pple λέγω
τῇ: *in what way the Persians will stand*; . fut. ἵστημι

τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. ἡ νικῶσα δὲ γνώμη ἐγίνετο τὴν ἐν Θερμοπύλῃσι ἐσβολὴν φυλάξαι· στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα τῆς ἐς Θεσσαλίην καὶ ἅμα ἀγχοτέρη τε τῆς ἑωυτῶν· τὴν δὲ ἀτραπόν, δι᾽ ἣν ἥλωσαν οἱ ἁλόντες Ἑλλήνων ἐν Θερμοπύλῃσι, οὐδὲ ᾔδεσαν ἐοῦσαν πρότερον ἤ περ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο Τρηχινίων. ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον, τὸν δὲ ναυτικὸν στρατὸν πλέειν γῆς τῆς Ἱστιαιώτιδος ἐπὶ Ἀρτεμίσιον. ταῦτα γὰρ ἀγχοῦ τε ἀλλήλων ἐστὶ ὥστε πυνθάνεσθαι τὰ κατὰ ἑκατέρους ἐόντα,
176 οἵ τε χῶροι οὕτω ἔχουσι. τοῦτο μὲν, τὸ Ἀρτεμίσιον, ἐκ τοῦ πελάγεος τοῦ Θρηικίου ἐξ εὐρέος συνάγεται ἐς στεινὸν ἐόντα τὸν πόρον τὸν μεταξὺ νήσου τε Σκιάθου καὶ ἠπείρου Μαγνησίης· ἐκ δὲ τοῦ στεινοῦ τῆς Εὐβοίης ἤδη τὸ Ἀρτεμίσιον δέκεται αἰγιαλός, ἐν δὲ Ἀρτέμιδος ἱρόν. ἡ δὲ αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα ἐστὶ τῇ στεινοτάτη ἡμίπλεθρον. οὐ μέντοι κατὰ τοῦτό γε ἐστὶ τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ᾽ ἔμπροσθέ τε Θερμοπυλέων καὶ ὄπισθε, κατὰ τε Ἀλπηνοὺς ὄπισθε ἐόντας ἐοῦσα ἁμαξιτὸς μούνη, καὶ ἔμπροσθε κατὰ Φοίνικα ποταμὸν ἀγχοῦ Ἀνθήλης πόλιος ἄλλη ἁμαξιτὸς μούνη. τῶν δὲ Θερμοπυλέων τὸ μὲν πρὸς ἑσπέρης ὄρος ἄβατόν τε καὶ ἀπόκρημνον, ὑψηλόν, ἀνατεῖνον ἐς τὴν Οἴτην· τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ θάλασσα ὑποδέκεται καὶ τενάγεα. ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρά, τὰ Χύτρους καλέουσι οἱ ἐπιχώριοι, καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ᾽ αὐτοῖσι. ἐδέδμητο δὲ τεῖχος κατὰ ταύτας τὰς ἐσβολάς, καὶ τό γε παλαιὸν πύλαι ἐπῆσαν. ἔδειμαν

ἄ-βατος, -όν: inpassible, inaccessible, 2
ἀγχοῦ: near, nearby (+ gen) 6
αἰγιαλος, ὁ: beach, shore 11
Αλπηνοί, οἱ: Alpeni (place) 3
ἀλλήλος, -η, -ον: one another, 8
ἁμάξιτος, -ον: a single wagon (road), 3
ἀνα-τείνω: to hold up, stretch up, extend, 3
᾽Ανθήλη, ἡ: Anthele (town) 2
ἀπό-κρημνος, -ον: sheer, steep, precipitous, 1
᾽Αρτεμις, -ιδος ἡ: Artemis (goddess) 1
᾽Αρτεμίσιον, τό: Artemisium (place) 8
ἀτραπός, ὁ: path, 11
αὖ: again; on the contrary, on the other hand, 6
βουλεύω: to deliberate, plan, take counsel, 19
βωμός, ὁ: a platform; altar, 2
δέκομαι: to receive, accept, take, 10
δέμω: to build, 11
ἑκάτερος, -α, -ον: each of two, either, 10
ἔμ-προσθεν: before, in front; earlier, 4
ἐσ-βολή, ἡ: inroad, invasion, attack, 12
ἔσ-οδος, ὁ: entrance, 12
ἑσπέρη, ἡ: evening, eve; west, 10
Εὔβοίη, ἡ: Euboea, 3
εὐρύς, -έα, -ύ: wide, broad, 8
ἡμίπλέθρον, τό: a half-plethron (= 50 feet), 1
᾽Ηρακλέης, -εος ὁ: Heracles, 5
ἠώς, ἡ: daybreak, dawn, 17
Θερμοπύλαι, αἱ: Thermopylae, 14
θερμός, ὁ: hot, warm, 13
Θεσσαλίη, ἡ: Thessaly, 19
Θρηίκιος, -η, -ον: Thracian, 7
ἱδρύω: to (make) sit, settle, establish, 4
ἱρός, -ή, -όν: holy, divine; temple (**ἱρός**) 48
᾽Ιστιαιώτις, -ιδος ἡ: Histiaeotis (~Perraebia) 1
λουτρόν, τό: bath, wash, 1
Μαγνησίη, ἡ: Magnesia (place) 4
μέντοι: however, nevertheless; certainly, 13
μεταξύ: between, among 12
νικάω: to conquer, defeat, win, 10
Οἴτη, ἡ: Mount Oeta, 1
ὄπισθεν: behind; in the future; as prep. (gen) 8
παλαιός, -ή, -όν: old in years, old, aged, 17
παρ-έρχομαι: to go by, pass by, pass, 7
πέλαγος, -εος, τό: the sea, 5
πόρος, ὁ: a way, path; means, plenty, 8
πύλη, ἡ: gate, gates, 2
Σκιάθος, ὁ: Sciathus (island) 3
συν-άγω: bring together, collect, gather, 4
τέναγος, τό: shallows, shoal, 1
Τρηχίνιοι, οἱ: Trachinian, people of Trachis, 4
Τρηχίς, -ῖνος, ἡ: Trachis (town) 6
ὑπο-δέκομαι: receive, undertake, promise, 6
ὑψηλός, -ή, -όν: high, lofty, high-raised, 7
Φοῖνιξ, -ικος, ἡ: Phoenix (stream), 5
Χύτρος, ὁ: the (Hot) Baths, Basins, 1
ὥστε: so that, that, so as to, 18

---

1 **ἐν οἵοισι χώροισι**: *on what sort of terrain*
νικῶσα: νικάουσα, nom. sg. pple νικάω
2 **φυλάξαι**: aor. inf. φυλάσσω
3 **τῆς**: *than that (pass)*; gen. of comparison
4 **τῆς ἑωυτῶν**: *to their (pass)*; comparative ἀγχοτέρη, 'nearer' governs a gen.
4 **ἕλωσαν**: 3rd. pl. aor. ἁλίσκομαι
ἁλόντες nom. pl. aor. pple ἁλίσκομαι
5 **ᾔδεσαν**: plpf. οἶδα, simple past in sense
πρότερον ἤ: *before at least*; 'earlier than'
6 **ἐπύθοντο**: aor. πυνθάνομαι
Τρηχινίων: *from the Trachinians*; source
ταύτην: modifies τὴν ἐσβολὴν
7 **παριέναι**: inf. παρ-ίημι, βάρβαρον is obj.
9 **γῆς..᾽Ιστιαιώτιδος**: *in in the land of Histiaea*; partitive gen (i.e. chorographic)
ταῦτα...ἐστὶ: *these (places) are…*; i.e forces at Thermopylae and Artemesium
10 **ὥστε**: *so as to learn*; result clause
τὰ...ἑόντα: *the affairs regarding each*
11 **οὕτω ἔχουσι**: *hold thus*; 'are thus'
τοῦτο μὲν...ἡ δὲ: *on one hand, but again*
τὸ ᾽Αρτεμίσιον: *as for Artemisium*; repect
12 **συνάγεται**: *it is drawn together*; impers.
δέκεται: *comes next, succeeds (to);* i.e.
15 **ἐν δὲ**: *and thereon (is)*
ἡ δὲ αὖ: contrast to τοῦτο μὲν above
τῇ στεινοτάτη: *where (it is) narrowest*
17 **ἡμίπλεθρον**: *half-plethron*; i.e. 50 ft.
κατὰ τοῦτο: *in this (respect)*
18 **τῆς χώρης τῆς ἄλλης**: *of (any) other region*
ἔμπροσθέ...ὄπισθε: *to the west and east of Thermpylae*; 'before and behind…'
19 **κατὰ ᾽Αλπηνοὺς**: *at Alpenoi*
20 **κατὰ Φοίνικα...**: *at the Phoenix river*
21 **τῶν Θερμοπυλέων**: *in…*; partitive gen.
τὸ μὲν..ἑσπέρης: *that (side) to the west (is)*
22 **τὸ δὲ**: *that (side)*; acc. obj. of 'receive'
26 **ἐδέδμητο**: plpf. pass. δέμω, 'to build'
27 **τό γε παλαιὸν**: *long ago*; adverbial acc.
ἐπῆσαν: 3rd pl. impf. ἐπ-ειμί

δὲ Φωκέες τὸ τεῖχος δείσαντες, ἐπεὶ Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν οἰκήσοντες γῆν τὴν Αἰολίδα τήν νῦν ἐκτέαται. ἅτε δὴ πειρωμένων τῶν Θεσσαλῶν καταστρέφεσθαι σφέας, τοῦτο προεφυλάξαντο οἱ Φωκέες, καὶ τὸ ὕδωρ τὸ θερμὸν τότε ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος, πᾶν μηχανώμενοι ὅκως μή σφι ἐσβάλοιεν οἱ Θεσσαλοὶ ἐπὶ τὴν χώρην. τὸ μέν νυν τεῖχος τὸ ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο καὶ τὸ πλέον αὐτοῦ ἤδη ὑπὸ χρόνου ἔκειτο· τοῖσι δὲ αὖτις ὀρθώσασι ἔδοξε ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρβαρον. κώμη δὲ ἐστὶ ἀγχοτάτω τῆς ὁδοῦ Ἀλπηνοὶ οὔνομα· ἐκ ταύτης δὲ ἐπισιτιεῖσθαι ἐλογί-
177 ζοντο οἱ Ἕλληνες. οἱ μέν νυν χῶροι οὗτοι τοῖσι Ἕλλησι εἶναι ἐφαίνοντο ἐπιτήδεοι· πάντα γὰρ προσκεψάμενοι καὶ ἐπιλογισθέντες ὅτι οὔτε πλήθεϊ ἕξουσι χρᾶσθαι οἱ βάρβαροι οὔτε ἵππῳ, ταύτῃ σφι ἔδοξε δέκεσθαι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα. ὡς δὲ ἐπύθοντο τὸν Πέρσην ἐόντα ἐν Πιερίῃ, διαλυθέντες ἐκ τοῦ Ἰσθμοῦ ἐστρατεύοντο αὐτῶν οἳ μὲν ἐς Θερμοπύλας πεζῇ, ἄλλοι δὲ κατὰ θάλασσαν ἐπ᾽ Ἀρτεμίσιον.

178 Οἱ μὲν δὴ Ἕλληνες κατὰ τάχος ἐβοήθεον διαταχθέντες, Δελφοὶ δ᾽ ἐν τούτῳ τῷ χρόνῳ ἐχρηστηριάζοντο τῷ θεῷ ὑπὲρ ἑωυτῶν καὶ τῆς Ἑλλάδος καταρρωδηκότες, καί σφι ἐχρήσθη ἀνέμοισι εὔχεσθαι· μεγάλους γὰρ τούτους ἔσεσθαι
2 τῇ Ἑλλάδι συμμάχους. Δελφοὶ δὲ δεξάμενοι τὸ μαντήιον πρῶτα μὲν Ἑλλήνων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι ἐξήγγειλαν τὰ χρησθέντα αὐτοῖσι, καί σφι δεινῶς καταρρωδέουσι τὸν βάρβαρον ἐξαγγείλαντες χάριν ἀθάνατον κατέθεντο· μετὰ δὲ ταῦτα οἱ Δελφοὶ τοῖσι ἀνέμοισι βωμόν τε ἀπέδεξαν ἐν Θυίῃ, τῇ περ τῆς Κηφισοῦ θυγατρὸς Θυίης τὸ

ἀγχοῦ: near, nearby, 6
Αἰολίς, -ίδος: *fem. adj.* Aeolian, 3
ἀ-θάνατος, -ον: immortal, undying, 10
Αλπηνοί, οἱ: Alpeni (place) 3
ἀπ-αμύνω: to ward off, keep away, 3
Ἀρτεμίσιον, τό: Artemisium (place) 8
ἀρχαῖος, -η, -ον: ancient, old, 7
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
αὖτις: back again, later, 8
βοηθέω: to come to aid, help, assist, (dat) 19
βωμός, ὁ: a platform; altar, 2
δείδω: to fear, 12
δέκομαι: to receive, accept, take, 10
Δελφοί, οἱ: Delphi (town) 12
δέμω: to build, 11
δια-λύω: to unloosen, route, 4
δια-τάσσω: to arrange, appoint, 6
ἐλεύθερος, -η, -ον: free, 14
ἐξ-αγγέλλω: to send out, 4
ἐπ-ίημι: to send to, permit, allow, 3
ἐπι-λογίζομαι: to conclude; reckon over, 1
ἐπι-σιτίζομαι: to obtain food or provision, 1
ἐπιτήδειος, -η, -ον: fitting, suitable, useful, 2
ἐσ-βάλλω: throw or put into; put on board 11
ἔσ-οδος, ὁ: entrance, 12
εὔχομαι: to pray, offer prayers, 4
θερμός, ὁ: hot, warm, 13
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσπρωτοί, οἱ: the Thesprotians, 1
Θεσσαλοί, οἱ: the Thessalians, 12
θυγάτηρ, ἡ: a daughter, 14
Θυίη, ἡ: Thyia, 2
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
κατα-ρρωδέω: to fear, dread, 14
κατα-στρέφω: overturn; *mid.* subdue, 16
κατα-τίθημι: to put down, deposit, settle, 4
κεῖμαι: to lie down, 15
Κηφισός, ὁ: Cephisus, 1
κώμη, ἡ: town, country town, 2
λογίζομαι: to consider, reckon, calculate, 8
μαντήιον, τό: an oracle, 8
μηχανάομαι: to contrive, devise well, 8
ὀρθόω: to set straight, set upright; 4
παλαιός, -ή, -όν: old in years, old, aged, 17
Πιερίη, ἡ: Pieria (town), 2
προ-σκέπτομαι: look over, examine, inspect 1
προ-φυλάσσω: guard, send advanced guard, 2
τάχος, τό: speed, swiftness, 8
ὕδωρ, ὕδατος, τό: water, 15
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
Φωκεύς, -έος, ὁ: a Phocian, 8
χάρις, χάριτος, ἡ: gratitude, thanks, favor, 4
χαραδρόομαι: to be broken into clefts by streams, be full of gullies, 1
χρηστηριάζω: give (*mid* consult) an oracle 11

---

1 **τὸ τεῖχος**: object of ἔδειμαν
ἦλθον: 3rd pl. aor. ἔρχομαι
2 **τήν**: *which…*; relative
3 **ἐκτέαται**: *possess*; 3rd pl. pf. pass. κτάομαι
ἅτε: *since…*; ἅτε + pple (here gen. abs.) is causal
4 **προεφυλάξαντο**: took this precaution; aor. mid. προφυλάσσω
5 **ἐπῆκαν**: *they sent*; aor. ἐπ-ίημι
ὡς ἂν χαραδρωθείη: *so that the region would be broken by clefts*; 3rd sg. aor. pass. potential opt.
6 **ὅκως μή**: *so that…might not attack*; purpose, aor. opt. in secondary sequence
8 **ἐδέδμητο**: plpf. pass. δέμω
τὸ πλέον αὐτοῦ: *most of it*; i.e. the wall
8 **ὑπὸ χρόνου**: *because of time*; gen. cause
9 **ἔκειτο**: *lay (in ruins)*; impf. κεῖμαι
ὀρθώσασι: *building it up*; dat. aor. pple
ταύτῃ: *in this way*
10 **ἀγχοτάτω**: *very closely*; superlative adv.
11 **οὔνομα**: *in name*; acc. of respect
14 **πλήθεϊ…ἵππῳ**: dat. object of inf. χράομαι
ἕξουσι: *will be able*; fut. ἔχω + inf.
15 **ταύτῃ**: *in this way*
ἐπιόντα: *the one coming*; pple ἐπέρχομαι
17 **διαλυθέντες**: aor. pass. pple διαλύω
αὐτῶν: *of them*; partitive gen.
οἱ μὲν…ἄλλοι δὲ: *some…others*
18 **πεζῇ**: *on foot*; dat fem. πεζός as adverb
κατὰ θάλασσαν: *by sea*
19 **κατὰ τάχος**: *speedily*; 'in speed'
διαταχθέντες: i.e. to posts in Thermopylae and Artemesium; aor. pass. διατάσσω
22 **ἐχρήσθη**: *it was proclaimed*; aor. χράω
ἀνέμοισι: *to the winds*; with εὔχεσθαι
ἔσεσθαι: fut. inf. εἰμί
25 **τὰ χρησθέντα**: *the things proclaimed*. Aor. pass. pple χράω
26 **κατέθεντο**: *offer everlasting gratitude*
28 **ἀπέδεξαν**: *offered*; aor. ἀποδείκνυμι
τῇ περ: *in which very place…*

τέμενος ἐστί, ἐπ᾽ ἧς καὶ ὁ χῶρος οὗτος τὴν ἐπωνυμίην ἔχει, καὶ θυσίῃσι σφέας μετήισαν. Δελφοὶ μὲν δὴ κατὰ τὸ χρηστήριον ἔτι καὶ νῦν τοὺς ἀνέμους ἱλάσκονται.

179 ὁ δὲ ναυτικὸς Ξέρξεω στρατὸς ὁρμώμενος ἐκ Θέρμης πόλιος παρέβαλε νηυσὶ τῇσι ἄριστα πλεούσῃσι δέκα ἰθὺ Σκιάθου, ἔνθα ἦσαν προφυλάσσουσαι νέες τρεῖς Ἑλληνίδες, Τροιζηνίη τε καὶ Αἰγιναίη καὶ Ἀττική. προϊδόντες δὲ οὗτοι τὰς νέας τῶν βαρβάρων ἐς φυγὴν ὥρμησαν. τὴν μὲν δὴ
180 Τροιζηνίην, τῆς ἦρχε Πρηξῖνος, αὐτίκα αἱρέουσι ἐπισπόμενοι οἱ βάρβαροι, καὶ ἔπειτα τῶν ἐπιβατέων αὐτῆς τὸν καλλιστεύοντα ἀγαγόντες ἐπὶ τὴν πρῴρην τῆς νεὸς ἔσφαξαν, διαδέξιον ποιεύμενοι τὸν εἶλον τῶν Ἑλλήνων πρῶτον καὶ κάλλιστον. τῷ δὲ σφαγιασθέντι τούτῳ οὔνομα ἦν Λέων·
181 τάχα δ᾽ ἄν τι καὶ τοῦ οὐνόματος ἐπαύροιτο. ἡ δὲ Αἰγιναίη, τῆς ἐτριηράρχεε Ἀσωνίδης, καὶ τινά σφι θόρυβον παρέσχε, Πυθέω τοῦ Ἰσχενόου ἐπιβατεύοντος, ἀνδρὸς ἀρίστου γενομένου ταύτην τὴν ἡμέρην· ὃς ἐπειδὴ ἡ νηῦς ἡλίσκετο ἐς
2 τοῦτο ἀντεῖχε μαχόμενος ἐς ὃ κατεκρεουργήθη ἅπας. ὡς δὲ πεσὼν οὐκ ἀπέθανε ἀλλ᾽ ἦν ἔμπνοος, οἱ Πέρσαι, οἵ περ ἐπεβάτευον ἐπὶ τῶν νεῶν, δι᾽ ἀρετὴν τὴν ἐκείνου περιποιησαί μιν περὶ πλείστου ἐποιήσαντο, σμύρνῃ τε ἰώμενοι τὰ ἕλκεα καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες·
3 καί μιν, ὡς ὀπίσω ἀπίκοντο ἐς τὸ ἑωυτῶν στρατόπεδον, ἐπεδείκνυσαν ἐκπαγλεόμενοι πάσῃ τῇ στρατιῇ περιέποντες εὖ. τοὺς δὲ ἄλλους τοὺς ἔλαβον ἐν τῇ νηὶ ταύτῃ περιεῖπον
182 ὡς ἀνδράποδα. αἱ μὲν δὴ δύο τῶν νεῶν οὕτω ἐχειρώθησαν· ἡ δὲ τρίτη, τῆς ἐτριηράρχεε Φόρμος ἀνὴρ Ἀθηναῖος, φεύγουσα

Αἰγιναίος, -η, -ον: Aeginetan, from Aegina, 1
αἱρέω: to seize, take; *mid.* choose, 17
Ασωνίδης, ὁ: Asonides, 1
ἀνδρά-ποδον, τό: a slave, 2
ἀντ-έχω: hold out against, stop; lay hold of, 5
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀρετή, ἡ: excellence, goodness, virtue, 15
Ἀττικός, -ή, -όν: Attic, 5
αὐτίκα: straightway, at once; presently, 11
βύσσινος, -η, -ον: of fine linen, 1
Δελφοί, οἱ: Delphi (town) 12
δια-δέξιος, -ον: of very good omen, 2
ἐκ-παγλέομαι: to be stuck with amazement, 1
Ἑλληνίς, -ίδος, ἡ: Greek (fem. adj.), 5
ἕλκος, -εος, ὁ: wound, sore, 2
ἔνθα: where; there, then, 9
ἐπ-αυρέω: reap reward, enjoy the benefit of 1
ἐπ-έπομαι: to pursue, attend to, follow after, 6
ἐπειδή: when, after, since, because, 10
ἔπειτα: thereupon, then, 8
ἐπι-βατεύω: be (a soldier) on board of ship, 4
ἐπι-βάτης, -ου ὁ: soldier (on board a ship) 8
ἐπι-δείκνυμι: to display, point out, prove, 2
ἐπ-ωνύμιος, -ον: named after (+gen), 1
ἔμ-πνοος, -ον: with breath in him, breathing, 1
εὖ: well, 20
Θέρμα, ἡ: Therma, 9
θόρυβος, ὁ: uproar, din, commotion, 1
θυσίη, ἡ: an offering, sacrifice, 1
ἰάομαι: to heal, cure, 5
ἰθύς, -εα, -ύ: straight, honest; immediately, 4
ἱλάσκομαι: to appease, propitiate, 1
Ἰσχενόος, ὁ: Ischenous, 1
καλλιστεύω: to be the most noble/beautiful, 1
κατα-κρεουργέω: to cut into mincemeat, 1
κατ-ελίσσω: to wrap up, swathe, 2
λέων, -οντος, ὁ: a lion, 12
μετ-έρχομαι: to go after, pursue, approach, 1
παρα-βάλλω: to cross over, compare, 2
περι-έπομαι: to treat (with care), handle 3
περι-ποιέω: to preserve, keep safe, 2
πίπτω: to fall, fall down, 18
πλεῖστος, -η, -ον: most, greatest, largest, 6
Πρηξῖνος, ὁ: Prexinus, 1
προ-εἶδον: to look forward, catch sight of, 3
προ-φυλάσσω: guard, send advanced guard, 2
πρῷρη, ἡ: prow, 9
Πυθέας, -εω, ὁ: Pytheas, 2
σινδών, ἡ: sindon, linen cloth, 1
Σκιάθος, ὁ: Sciathus (island) 3
σμύρνη, ἡ: myrrh, 1
στρατόπεδον, τό: camp, encampment, 10
σφαγιάζομαι: to sacrifice, slay as victim, 1
σφάζω: to slit the throat; slaughter, kill, 3
τάχα: perhaps, possibly, 3
τελαμών, -ῶνος, ὁ: bandage; strap, belt, 1
τέμενος, τό: a sacred district, temple, 2
τριηραρχέω: to command a trireme (gen) 2
τρίτος, -η, -ον: the third, 18
Τροιζηνίος, -η, -ον: Troezenian, 2
φεύγω: to flee, escape; 18
Φόρμος, ὁ: Phormus, 1
φυγή, ἡ: flight, 6
χειρόω: to bring into hand; manage, subdue, 2

---

1 **ἐπ᾽ ἧς**: *for whom…has its name*
2 **θυσίῃσι**: dat. of means
σφέας: *them*; i.e. the winds
3 **μετήισαν**: *pursued*; impf. μετ-έρχομαι
4 **Ξέρξεω**: gen. sg.
5 **νηυσὶ**: *with ships*; dat. pl. of means
ἄριστα: superlative adverb
πλεούσῃσι: dat .sg. pres. pple πλέω
ἰθὺ: adverb governing a gen.
7 **προϊδόντες**: nom. pl. pple προ-εἶδον
ὥρμησαν: aor. ὁρμάω
9 **τῆς**: *which*; impf. ἄρχω governs a gen.
ἐπισπόμενοι: aor. pple. ἐπ-έπομαι
11 **ἀγαγόντες**: aor. pple ἄγω
τῆς νεὸς: *of the ship*
12 **ποιεύμενοι**: *considering*; double acc.
τὸν: *the one whom*; relative
εἷλον: *they caught*; 3rd pl. aor. αἱρέω
13 **σφαγιασθέντι**: dat. of possession, aor. pass. pple σφαγιάζομαι
14 **ἄν…ἐπαύροιτο**: *he may have reaped the benefit from* + gen., potential opt.
ἡ δὲ Αἰγιναίη: *the Aeginetan ship*
15 **παρέσχε**: aor. παρ-έχω
Πυθέω…ἐπιβατεύοντος: gen. abs.
17 **ἡλίσκετο**: impf. ἁλίσκομαι
18 **ἐς τοῦτο…ἐς ὅ**: up *to this time…up to*
19 **πεσὼν**: nom. sg. aor. pple πίπτω
ἀπέθανε: aor. ἀπο-θνήσκω
20 **περιποιῆσαι**: aor. inf. περι-ποιέω
21 **περὶ πλείστου ἐποιήσαντο**: *considered of greatest importance*; common idiom
25 **περιεῖπον**: impf. περι-έπω
26 **ἐχειρώθησαν**: *were subdued*; χειρόω

ἐξοκέλλει ἐς τὰς ἐκβολὰς τοῦ Πηνειοῦ, καὶ τοῦ μὲν σκάφεος ἐκράτησαν οἱ βάρβαροι, τῶν δὲ ἀνδρῶν οὔ· ὡς γὰρ δὴ τάχιστα ἐπώκειλαν τὴν νέα οἱ Ἀθηναῖοι, ἀποθορόντες κατὰ
183 Θεσσαλίην πορευόμενοι ἐκομίσθησαν ἐς Ἀθήνας. ταῦτα οἱ Ἕλληνες οἱ ἐπ᾽ Ἀρτεμισίῳ στρατοπεδευόμενοι πυνθάνονται διὰ πυρσῶν ἐκ Σκιάθου· πυθόμενοι δὲ καὶ καταρρωδήσαντες ἀπὸ τοῦ Ἀρτεμισίου μετορμίζοντο ἐς Χαλκίδα, φυλάξοντες μὲν τὸν Εὔριπον, λείποντες δὲ ἡμεροσκόπους περὶ τὰ ὑψηλὰ
2 τῆς Εὐβοίης. τῶν δὲ δέκα νεῶν τῶν βαρβάρων τρεῖς ἐπήλασαν περὶ τὸ ἕρμα τὸ μεταξὺ ἐὸν Σκιάθου τε καὶ Μαγνησίης, καλεόμενον δὲ Μύρμηκα. ἐνθαῦτα οἱ βάρβαροι ἐπειδὴ στήλην λίθου ἐπέθηκαν κομίσαντες ἐπὶ τὸ ἕρμα, ὁρμηθέντες αὐτοὶ ἐκ Θέρμης, ὥς σφι τὸ ἐμποδὼν ἐγεγόνεε καθαρόν, ἐπέπλεον πάσῃσι τῇσι νηυσί, ἕνδεκα ἡμέρας
3 παρέντες μετὰ τὴν βασιλέος ἐξέλασιν ἐκ Θέρμης. τὸ δὲ ἕρμα σφι κατηγήσατο ἐὸν ἐν πόρῳ μάλιστα Πάμμων Σκύριος. πανημερὸν δὲ πλέοντες οἱ βάρβαροι ἐξανύουσι τῆς Μαγνησίης χώρης ἐπὶ Σηπιάδα τε καὶ τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς.

184 μέχρι μέν νυν τούτου τοῦ χώρου καὶ Θερμοπυλέων ἀπαθής τε κακῶν ἦν ὁ στρατός, καὶ πλῆθος ἦν τηνικαῦτα ἔτι, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, τῶν μὲν ἐκ τῶν νεῶν τῶν ἐκ τῆς Ἀσίης, ἐουσέων ἑπτὰ καὶ διηκοσιέων καὶ χιλιέων, τὸν μὲν ἀρχαῖον ἑκάστων τῶν ἐθνέων ἐόντα ὅμιλον τέσσερας καὶ εἴκοσι μυριάδας καὶ πρὸς χιλιάδα τε καὶ τετρακοσίους, ὡς ἀνὰ διηκοσίους ἄνδρας λογιζομένοισι ἐν

Ἀθῆναι, αἱ: Athens, 13
αἰγιαλος, ὁ: beach, shore 11
ἀκτή, ἡ: headland, promontory, 6
ἀ-παθής, -ές: without experience of, 2
ἀπο-θρῴσκω: to spring away, bound away, 1
Ἀρτεμίσιον, τό: Artemisium (place) 8
ἀρχαῖος, -η, -ον: ancient, old, 7
Ἀσίη, ἡ: Asia, 17
διηκόσιοι, -αι, -α: two hundred, 10
ἐκ-βολή, ἡ: outlet, throwing out; mouth, 5
ἐμ-ποδών: in the way, in one's path, 9
ἕν-δεκα: eleven, 6
ἐξ-ανύω: accomplish, reach, finish travel to, 1
ἐξ-ελαύνω: to march out, drive out, 10
ἐξοκέλλω: to run ashore, beach (**ἐκ-**) 1
ἐπειδή: when, after, since, because, 10
ἐπ-ελαύνω: to drive on, 3
ἐπι-πλέω: to sail against or to, 5
ἐπι-τίθημι: to assail, attack, set upon, put on, 5
ἐποκέλλω: to run ashore, beach (**ἐπι-**) 1
ἕρμα, -ατος, τό: reef; mound of stones, prop 3
Εὔβοίη, ἡ: Euboea, 3
Εὔριπος, ὁ: Euripus (water), 2
εὑρίσκω: to find, discover, devise, invent, 19
ἡμεροσκόπος, ὁ: day-watch, day-guard, 3
Θέρμα, ἡ: Therma, 9
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσσαλίη, ἡ: Thessaly, 19
καθαρός, -ά, -όν: clean, pure, spotless, 1
Κασθαναίη, ἡ: Casthanaea (town) 3
κατ-άγω: to bring back or down, 3
κατα-ρρωδέω: to fear, dread, 14
κατ-ηγέομαι: to lead the way, guide; explain 4
κομίζω: to carry, convey; travel, journey, 6
κρατέω: to gain control, overpower (gen) 3
λίθος, ὁ: a stone, 8
λογίζομαι: to consider, reckon, calculate, 8
Μαγνησίη, ἡ: Magnesia (place) 4
μεταξύ: between, among 12
μετ-ορμίζω: to change one's anchorage, 1
μέχρι: up to; until, as long as (+ gen.), 16
Μυρμηξ, -μηκος, ὁ: Myrmax (~Ant) 1
ὅμιλος, ὁ: crowd, 5
Πάμμων, ὁ: Pammon, 1
πανήμερον: all day long, all day, 1
παρ-ίημι: to allow, permit; pass, skip over, 7
Πηνειός, ὁ: Peneus river, 9
πόρος, ὁ: a way, path; means, plenty, 8
πυρσός, ὁ: signal-fire, beacon, 1
Σηπιάς, -άδος, ἡ: Sepias, 7
σκάφος, -εος ὁ: a hull of a ship, 2
Σκιάθος, ὁ: Sciathus (island) 3
στήλη, ἡ: a block of stone, slab, 3
στρατοπεδεύω: to encamp, take a position, 12
συμ-βάλλω: contribute; guess, join battle, 11
Σχύριος -η, -ον: Scyrian, of Scyrus, 1
τέσσερες, -α: four, 12
τετρακόσιοι, -αι, -α: four hundred, 10
τηνικαῦτα: at that time, then, 2
ὑψηλός, -ή, -όν: high, lofty, high-raised, 7
Χαλκίς, -ίδος, ἡ: Chalcis, 2
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14

---

1 **ἐκβολὰς**: *outlets*; i.e. mouths of the river
2 **ὡς τάχιστα**: *as soon as*; ὡς + superlative
3 **ἐπώκειλαν**: 3rd pl. aor. ἐποκέλλω
ἀποθορόντες: aor. pple ἀποθρῴσκω
κατὰ Θεσσαλίην: *in Thessaly*
4 **ἐκομίσθησαν**: aor. pass. κομίζω, mid. sense
πυθόμενοι: aor. mid. pple πυνθάνομαι
7 **φυλάξοντες**: fut. pple φυλάσσω
8 **τὰ ὑψηλὰ**: *the heights*; i.e. highlands
ἐπήλασαν: aor. ἐπελαύνω; object τρεῖς
10 **ἕρμα**: *reef*
τὸ...ἐὸν: *being*; neut. sg. pple εἰμί
καλεόμενον: *called*; 'named'
12 **ἐπέθηκαν**: *set up*; 3rd pl. aor. ἐπι-τίθημι
13 **ὁρμηθέντες**: aor. pass. dep. pple ὁρμάω
ὥς: *when*
τὸ ἐμποδὼν: *the course*; 'that on the way'
ἐγεγόνεε: 3rd sg. plpf. γίγνομαι
15 **παρέντες**: *setting sail*; aor. pple. παρ-ίημι
τὸ δὲ ἕρμα: acc. direct object
16 **κατεηγήσατο**: aor. κατ-ηγέομαι
ἐὸν ἐν πόρῳ: *being in the strait*; neut. pple
18 **ἐξανύουσι...ἐπὶ**: *arrived at Sepias*
τὸν...ἐόντα: being; modifies αἰγιαλὸν
21 **κακῶν**: governed by predicate ἀπαθής
ἦν: 3rd sg. impf. εἰμί
22 **ὡς**: *as*
συμβαλλόμενος: *concluding, conjecturing*
τῶν...ἐουσέων: *those being...;* gen. abs.
24 **τὸν μεν ἀρχαῖον**: *the original*
25 **τέσσερας καὶ εἴκοσι μυριάδας**: 240,000; 'four and twenty 10,000'
πρὸς: *up to, about*; an approximation
26 **ὡς ἀνα...λογιζομένοισι**: *on the grounds of counting over 200 men in each ship*

2 ἑκάστῃ νηί. ἐπεβάτευον δὲ ἐπὶ τουτέων τῶν νεῶν, χωρὶς 1
ἑκάστων τῶν ἐπιχωρίων ἐπιβατέων, Περσέων τε καὶ Μήδων
καὶ Σακέων τριήκοντα ἄνδρες. οὗτος ἄλλος ὅμιλος γίνεται
τρισμύριοι καὶ ἑξακισχίλιοι καὶ πρὸς διηκόσιοί τε καὶ δέκα.
3 προσθήσω δ᾽ ἔτι τούτῳ καὶ τῷ προτέρῳ ἀριθμῷ τοὺς ἐκ τῶν 5
πεντηκοντέρων, ποιήσας, ὅ τι πλέον ἦν αὐτῶν ἢ ἔλασσον,
ἀν᾽ ὀγδώκοντα ἄνδρας ἐνεῖναι. συνελέχθη δὲ ταῦτα τὰ πλοῖα,
ὡς καὶ πρότερον εἰρέθη, τρισχίλια. ἤδη ὧν ἄνδρες ἂν εἶεν
4 ἐν αὐτοῖσι τέσσερες μυριάδες καὶ εἴκοσι. τοῦτο μὲν δὴ τό ἐκ
τῆς Ἀσίης ναυτικὸν ἦν, σύμπαν ἐὸν πεντήκοντα μυριάδες καὶ 10
μία, χιλιάδες δὲ ἔπεισι ἐπὶ ταύτῃσι ἑπτὰ καὶ πρὸς ἑκατον-
τάδες ἓξ καὶ δεκάς. τοῦ δὲ πεζοῦ ἑβδομήκοντα καὶ ἑκατὸν
μυριάδες ἐγένοντο, τῶν δὲ ἱππέων ὀκτὼ μυριάδες. προσθήσω
δ᾽ ἔτι τούτοισι τὰς καμήλους τοὺς ἐλαύνοντας Ἀραβίους καὶ
τοὺς τὰ ἅρματα Λίβυας, πλῆθος ποιήσας δισμυρίους ἄνδρας. 15
5 καὶ δὴ τό τε ἐκ τῶν νεῶν καὶ τοῦ πεζοῦ πλῆθος συντιθέ-
μενον γίνεται διηκόσιαί τε μυριάδες καὶ τριήκοντα καὶ μία,
καὶ πρὸς χιλιάδες ἑπτὰ καὶ ἑκατοντάδες ἓξ καὶ δεκάς. τοῦτο
μὲν τὸ ἐξ αὐτῆς τῆς Ἀσίης στράτευμα ἐξαναχθὲν εἴρηται,
ἄνευ τε τῆς θεραπηίης τῆς ἑπομένης καὶ τῶν σιταγωγῶν 20
185 πλοίων καὶ ὅσοι ἐνέπλεον τούτοισι. τὸ δὲ δὴ ἐκ τῆς
Εὐρώπης ἀγόμενον στράτευμα ἔτι προσλογιστέα τούτῳ παντὶ
τῷ ἐξηριθμημένῳ· δόκησιν δὲ δεῖ λέγειν. νέας μέν νυν οἱ
ἀπὸ Θρηίκης Ἕλληνες καὶ ἐκ τῶν νήσων τῶν ἐπικειμενέων τῇ
Θρηίκῃ παρείχοντο εἴκοσι καὶ ἑκατόν· ἐκ μέν νυν τουτέων 25
τῶν νεῶν ἄνδρες τετρακισχίλιοι καὶ δισμύριοι γίνονται.
25 πεζοῦ δὲ τὸν Θρήικες παρείχοντο καὶ Παίονες καὶ Ἐορδοὶ

Ἀράβιοι, οἱ: Arabians, 5
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἀσίη, ἡ: Asia, 17
δεκάς: company of ten, 4
διηκόσιοι, -αι, -α: two hundred, 10
δισ-μύριοι, -αι, -α: twenty thousand, 4
δόκισις, ἡ: opinion, belief, suspicion, 1
ἑβδομήκοντα: seventy, 6
ἑκατόν: a hundred, 16
ἑκατοντάς, άδος: a hundred, 4
ἐμ-πλέω: to sail in, 1
ἔν-ειμι: be in, on, among, 3
ἕξ: six, 3
ἑξα-κισ-χίλιοι, -αι, -α: six thousand, 2
ἐξ-αν-αγω: to bring out, set sail, 2
ἐξ-αριθμέω: to count out, number, 5
Ἐορδοί, οἱ: the Eordians, 1
ἐπι-βατεύω: be (a soldier) on board of ship, 4
ἐπι-βάτης, -ου ὁ: soldier (on board a ship) 8
ἐπί-κειμαι: to lie on or near, set to, 4
ἕπομαι: follow, accompany, escort (+ dat) 12
Εὐρώπη, ἡ: Europe, 13
θεραπηίη, ἡ: service, train of servants, 8
Θρήικη, ἡ: Thrace, 6
Θρήιξ, Θρηίκος, ὁ: Thracian, 5
ἱππεύς, ὁ: a horseman, charioteer 4
κάμηλος, ὁ: a camel, 10
Λιβῦς, -ῦος, - ὁ: a Libyan, 6
Μῆδος, ὁ: Mede, Median, 13
ὀγδοήκοντα: eighty, 2
ὀκτώ: eight, 5
ὅμιλος, ὁ: crowd, 5
Παίονες, οἱ: the Paeonians, 2
πεντήκοντα: fifty, 6
πεντηκόντορος, ὁ: a ship with fifty oars. 10
πλοῖον τό: ship, vessel, 11
προσ-λογιστέος, -ον: to be taken in account 1
προσ-τίθημι: to add, attribute, impose, give, 9
Σάκαι, αἱ: Sacae, 6
σιτο-αγωγός, -ον: grain-carrying, 4
στράτευμα, τό: an expedition, campaign, 8
σύμ-πας, -πασα, -παν: every, all, whole, 7
συλ-λέγω: to collect, gather, 10
συν-τίθημι: to put together; agree, 5
τέσσερες, -α: four, 12
τετρα-κισ-χίλιοι: four thousand, 1
τριήκοντα: thirty, 9
τρισ-μύριοι: thrice ten thousand, 1
τρισ-χίλιοι: three thousand, 3
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14
χωρίς: separately; apart from, without (gen) 5

---

1 **ἐπὶ**: *upon*
4 **πρὸς**: *up to, near*
5 **προσθήσω**: fut. προστίθημι 'add'
τούτῳ…ἀριθμῷ: *to…*; dat. compound
τοὺς: *those (men)*
6 **ποιήσας**: *putting it at*; 'making' 'counting
ὅ τι…ἦν: *which was something…*
πλέον ἢ ἔλασσον: neuter comparative
αὐτῶν: *than these*; gen. comparative
7 **ἀν' ὀγδώκοντα ἄνδρας**: *over 80 men*
ἐνεῖναι: *to be within (the boat);* inf. ἔν-ειμι
συνελέχθη: 3rd sg. aor. pass. συλλέγω
8 **ὡς**: *as*
εἰρέθη: 3rd sg. aor. pass. λέγω (stem ερ-)
ἂν εἶεν: *would be*; 3rd pl. potential opt. εἰμί
10 **ἐὸν**: *being*; neuter pple εἰμί
11 **ἔπεισι ἐπὶ ταύτῃσι**: *are above these*; i.e. those on the deck instead of rowing
12 **τοῦ δὲ πεζοῦ**: *of the infantry*; partitive gen.
13 **τῶν δὲ ἱππέων**: *of the cavalry*; partitive
14 **προσθήσω**: fut. προστίθημι 'add'
τούτοισι: *to…*; dat. of compound verb
ἐλαύνοντας: *driving*; καμήλους is obj.
τοὺς…Λίβυας: supply ἐλαύνοντας
πλῆθος: *in number*; acc. of respect
ποιήσας: *putting it at*; 'making, counting'
16 **τὸ…πλῆθος συντιθέμενον**: *the number putting together*; pres. pple συντίθημι
18 **καὶ πρὸς**: *and in addition*
19 **τοῦτο μὲν**: *as for this; in respect to this*; acc. of respect often, 'on the one hand'
ἐξαναχθὲν: neut. sg. aor. pple ἐξ-αν-αγω
εἴρηται: pf. pass. λέγω (stem ερ)
21 **τούτοισι**: *in these*; dat. of compound verb
22 **ἀγόμενον**: *being led*; pres. pass. pple
προσλογιστέα: *(is) to be counted in addition*; verbal adj. + εἰμί (missing) expresses necessity or obligation
τούτῳ παντὶ: *to this total*; dat. compound
23 **τῷ ἐξηριθμημένῳ**: *(by me) counting out*; verbal adjective governs a dat. of agent
τῇ Θρήικῃ: *near Thrace*; dat. compound
25 **παρείχοντο**: impf. παρέχω
27 **πεζοῦ δὲ**: *in the infantry*; partitive gen.

καὶ Βοττιαῖοι καὶ τὸ Χαλκιδικὸν γένος καὶ Βρύγοι καὶ Πίερες καὶ Μακεδόνες καὶ Περραιβοὶ καὶ Ἐνιῆνες καὶ Δόλοπες καὶ Μάγνητες καὶ Ἀχαιοὶ καὶ ὅσοι τῆς Θρηίκης τὴν παραλίην νέμονται, τούτων τῶν ἐθνέων τριήκοντα μυριάδας δοκέω
3 γενέσθαι. αὗται ὦν αἱ μυριάδες ἐκείνῃσι προστεθεῖσαι τῇσι ἐκ τῆς Ἀσίης γίνονται αἱ πᾶσαι ἀνδρῶν αἱ μάχιμοι μυριάδες διηκόσιαι καὶ ἑξήκοντα καὶ τέσσερες, ἔπεισι δὲ
186 ταύτῃσι ἑκατοντάδες ἑκκαίδεκα καὶ δεκάς. τοῦ μαχίμου δὲ τούτου ἐόντος ἀριθμὸν τοσούτου τὴν θεραπηίην τὴν ἑπομένην τούτοισι καὶ τοὺς ἐν τοῖσι σιταγωγοῖσι ἀκάτοισι ἐόντας καὶ μάλα ἐν τοῖσι ἄλλοισι πλοίοισι τοῖσι ἅμα πλέουσι τῇ στρατιῇ, τούτους τῶν μαχίμων ἀνδρῶν οὐ δοκέω εἶναι ἐλάσσονας ἀλλὰ
2 πλεῦνας. καὶ δή σφεας ποιέω ἴσους ἐκείνοισι εἶναι καὶ οὔτε πλεῦνας οὔτε ἐλάσσονας οὐδέν· ἐξισούμενοι δὲ οὗτοι τῷ μαχίμῳ ἐκπληροῦσι τὰς ἴσας μυριάδας ἐκείνοισι. οὕτω πεντακοσίας τε μυριάδας καὶ εἴκοσι καὶ ὀκτὼ καὶ χιλιάδας τρεῖς καὶ ἑκατοντάδας δύο καὶ δεκάδας δύο ἀνδρῶν ἤγαγε
187 Ξέρξης ὁ Δαρείου μέχρι Σηπιάδος καὶ Θερμοπυλέων. οὗτος μὲν δὴ τοῦ συνάπαντος τοῦ Ξέρξεω στρατεύματος ἀριθμός, γυναικῶν δὲ σιτοποιῶν καὶ παλλακέων καὶ εὐνούχων οὐδεὶς ἂν εἴποι ἀτρεκέα ἀριθμόν· οὐδ᾽ αὖ ὑποζυγίων τε καὶ τῶν ἄλλων κτηνέων τῶν ἀχθοφόρων καὶ κυνῶν Ἰνδικῶν τῶν ἑπομένων, οὐδ᾽ ἂν τούτων ὑπὸ πλήθεος οὐδεὶς ἂν εἴποι ἀριθμόν. ὥστε οὐδέν μοι θῶμα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἔστι ὦν, ἀλλὰ μᾶλλον ὅκως τὰ σιτία ἀντέχρησε
2 θῶμά μοι μυριάσι τοσαύτῃσι. εὑρίσκω γὰρ συμβαλλόμενος, εἰ χοίνικα πυρῶν ἕκαστος τῆς ἡμέρης ἐλάμβανε καὶ μηδὲν πλέον, ἕνδεκα μυριάδας μεδίμνων τελεομένας ἐπ᾽ ἡμέρῃ ἑκά-

ἄκατος, ὁ: light vessel, boat, 1
ἀντι-χράω: be sufficient, 2
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἀσίη, ἡ: Asia, 17
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
ἀχθο-φόρος, -η, -ον: bearing burdens, 1
αὖ: again; on the contrary, on the other hand, 6
Ἀχαίοι, οἱ: the Achaeans, 6
Βοττιαῖοι, οἱ: the Bottiaei, 1
Βρύγοι, οἱ: the Brygians, 1
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
δεκάς: company of ten, 4
διηκόσιοι, -αι, -α: two hundred, 10
Δόλοπες, οἱ: the Dolopes, 2
ἑκατοντάς, άδος: a hundred, 4
ἑκ-καί-δεκα: sixteen, 2
ἐκ-πληρόω: to fill (quite) up, 1
ἕν-δεκα: eleven, 6
Ἐνιῆνες, οἱ: the Enienes, 3
ἑξήκοντα: sixty, 4
ἐξ-ισόω: to make equal to (dat) 2
ἕπομαι: follow, accompany, escort (+ dat) 12
εὐνοῦχος, ὁ: a eunuch, 2
εὑρίσκω: to find, discover, devise, invent, 19
θεραπήιη, ἡ: service, train of servants, 8
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θρήικη, ἡ: Thrace, 6
θῶμα, -ατος, τό: wonder, amazement, 11
Ἰνδικός, -ή, -όν: Indian, Indic, 1
ἴσος, -η, -ον: equal, like; balanced, 15
κτῆνος, εος, τό: *pl*. herds, flocks, cattle, 3
κύων, κυνός, ὁ, ἡ: a dog, 15
Μάγνης, -νητος, ὁ: a Magnesian, 3
Μακεδών, -όνος, ο, ἡ: a Macedonian, 6
μάχιμος, -ον: fit for battle, warlike, 4
μέδιμνος, ὁ: medimnus. 2
μέχρι: up to; until, as long as (+ gen.), 16
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
νέμω: to distribute, assign; inhabit, 10
ὀκτώ: eight, 5
παλλακή, ἡ: concubine, 3
παρ-άλιος, -η, -ον: coastal, by the sea, 1
παρ-ίστημι: to set before the mind, stand, 2
πεντα-κοσιοι, -αι, -α: five hundred, 1
Περραιβοί, οἱ: Perraebians, 5
Πίερες, οἱ: the Pierians, 3
πλοῖον τό: ship, vessel, 11
προ-δίδωμι: to betray; give up, 4
προσ-τίθημι: to add, attribute, impose, give, 9
πυρός, ὁ: wheat, 2
ῥέεθρον, τό: river, stream, channel, 7
Σηπιάς, -άδος, ἡ: Sepias, 7
σιτίον, τό: grain; made of grain, food, bread, 3
σιτο-αγωγός, -ον: grain-carrying, 4
σιτο-ποιέω: to make bread, prepare grain, 2
στρατεύμα, τό: an expedition, campaign, 8
συμ-βάλλω: contribute; guess, join battle, 11
συν-άπας, -απασα, -άπαν: all together, 2
τέσσερες, -α: four, 12
τελέω: to end, complete, fulfill; pay, 13
τριήκοντα: thirty, 9
ὑπο-ζύγιον, τό: yoked beasts, 11
Χαλκιδικός, -ή, -όν: Chalcidian, of Chalcis, 1
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14
χοῖνιξ, ἡ: a choenix (dry measure of unit), 2
ὥστε: so that, that, so as to, 18

---

1 **παραλίην (γῆν)**: coast; coastal (land)
4 **δοκέω**: *I suppose*
5 **προστεθεῖσαι** *being added*; aor. pass. pple προστίθημι + dat. of compound
6 **αἱ πᾶσαι ἀνδρῶν αἱ μάχιμοι**: *the sum of men fighting*; nom. predicate
7 **ἔπεισι δὲ ταύτῃσι**: *and (there) are upon these (ships)*; 3rd pl. ἔπειμι + dat. compound
6 **τοῦ μαχίμου…τοσούτου**: gen. abs.
9 **ἀριθμὸν**: *in number*; acc. of respect
και μάλα: *and indeed*; assertive
11 **πλέουσι**: dat. pl. pres. pple πλέω
τῇ στρατιῇ: object of ἅμα
12 **ἐλάσσονας ἀλλὰ πλεῦνας**: acc. predicate of the εἶναι inf. of εἰμί
15 **ἐκείνοισι**: dat. with special adj. ἴσας
17 **ἤγαγε**: 3rd sg. aor. ἄγω
18 **ὁ Δαρείου**: *(son) of Darius*; patronymic
οὗτος: *this (is)*; supply linking verb
20 **γυναικῶν…εὐνούχων**: partitive gen. with ἀριθμόν
21 **ἂν εἴποι**: *could tell*; potential opt. εἶπον
ὑπὸ: *because of…*; gen. of cause
23 **ἂν…ἂν εἴποι**: see above, duplicated ἄν
24 **ουδὲν μοι θῶμα παρίσταται**: *it is no wonder to be*; 'no wonder is set before me'
προδοῦναι: *give up*; i.e. run dry, aor. inf.
25 **ἀλλὰ μᾶλλον**: *but rather (I wonder) how...*
26 **μυριάσι τοσαύτῃσι**: *for…*; dat. interest
συμβαλλόμενος: *conjecturing, guessing*
27 **τῆς ἡμέρης**: *per day*
28 **ἐπ᾽ ἡμέρῃ ἑκάστῃ**: *for each day*

στῃ καὶ πρὸς τριηκοσίους τε ἄλλους μεδίμνους καὶ τεσσεράκοντα· γυναιξὶ δὲ καὶ εὐνούχοισι καὶ ὑποζυγίοισι καὶ κυσὶ οὐ λογίζομαι. ἀνδρῶν δὲ ἐουσέων τοσουτέων μυριάδων, κάλλεός τε εἵνεκα καὶ μεγάθεος οὐδεὶς αὐτῶν ἀξιονικότερος ἦν αὐτοῦ Ξέρξεω ἔχειν τοῦτο τὸ κράτος.

188 Ὁ δὲ δὴ ναυτικὸς στρατὸς ἐπείτε ὁρμηθεὶς ἔπλεε καὶ κατέσχε τῆς Μαγνησίης χώρης ἐς τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς, αἱ μὲν δὴ πρῶται τῶν νεῶν ὅρμεον πρὸς γῇ, ἄλλαι δ' ἐπ' ἐκείνῃσι ἐπ' ἀγκυρέων· ἅτε γὰρ τοῦ αἰγιαλοῦ ἐόντος οὐ μεγάλου, πρό-
2 κρossαι ὁρμέον το ἐς πόντον καὶ ἐπὶ ὀκτὼ νέας. ταύτην μὲν τὴν εὐφρόνην οὕτω, ἅμα δὲ ὄρθρῳ ἐξ αἰθρίης τε καὶ νηνεμίης τῆς θαλάσσης ζεσάσης ἐπέπεσέ σφι χειμών τε μέγας καὶ πολλὸς ἄνεμος ἀπηλιώτης, τὸν δὴ Ἑλλησπον-
3 τίην καλέουσι οἱ περὶ ταῦτα τὰ χωρία οἰκημένοι. ὅσοι μέν νυν αὐτῶν αὐξόμενον ἔμαθον τὸν ἄνεμον καὶ τοῖσι οὕτω εἶχε ὅρμου, οἳ δ' ἔφθησαν τὸν χειμῶνα ἀνασπάσαντες τὰς νέας, καὶ αὐτοί τε περιῆσαν καὶ αἱ νέες αὐτῶν· ὅσας δὲ τῶν νεῶν μεταρσίας ἔλαβε, τὰς μὲν ἐξέφερε πρὸς Ἴπνους καλεομένους τοὺς ἐν Πηλίῳ, τὰς δὲ ἐς τὸν αἰγιαλόν· αἳ δὲ περὶ αὐτὴν τὴν Σηπιάδα περιέπιπτον, αἳ δὲ ἐς Μελίβοιαν πόλιν, αἳ δὲ ἐς Κασθαναίην ἐξεβράσσοντο· ἦν τε τοῦ χειμῶνος χρῆμα
189 ἀφόρητον. λέγεται δὲ λόγος ὡς Ἀθηναῖοι τὸν Βορῆν ἐκ θεοπροπίου ἐπεκαλέσαντο, ἐλθόντος σφι ἄλλου χρηστηρίου τὸν γαμβρὸν ἐπίκουρον καλέσασθαι. Βορῆς δὲ κατὰ τὸν Ἑλλήνων λόγον ἔχει γυναῖκα Ἀττικήν, Ὠρειθυίαν τὴν
2 Ἐρεχθέος. κατὰ δὴ τὸ κῆδος τοῦτο οἱ Ἀθηναῖοι, ὡς φάτις

ἄγκυρη, ἡ, ὁ: anchor, 2
Ἀθηναῖος, -α, -ον: Athenian, of Athens, 41
αἰγιαλος, ὁ: beach, shore 11
αἰθρίη, ἡ: clear sky, clear weather, 4
ἀκτή, ἡ: headland, promontory, 6
ἀνα-σπάω: to pull up (on shore), drag back, 2
ἀξιό-νικος, -ον: worthy, worthy of victory, 1
ἀπηλιώτης, -ου, ὁ: an east (wind), 1
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
Ἀττικός, -ή, -όν: Attic, 5
αὐξάνω: to increase, augment, 3
Ἑλλησπόντιος, -η, -ον: of the Hellespont, 3
Ἑλλήσποντος, ὁ: the Hellespont, 17
ἀ-φόρητος, -ον: unbearable, insufferable, 1
βορέης, -εω, ὁ: North wind, 8
γαμβρός, ὁ: son-in-law, 2
εἵνεκα: for the sake or because of, (gen.), 18
ἐκ-βράσσω: to throw out, cast out, 2
ἐκ-φέρω: to carry out, bring forth, produce, 2
ἐπι-καλέω: to call upon, summon, 5
ἐπί-κουρος, ὁ: a helper, assistant, ally, 1
ἐπι-πίπτω: to fall upon, attack, assail, 2
Ἐρεχθεύς, -έος, ὁ: Erechtheus, 1
εὐνοῦχος, ὁ: a eunuch, 2
εὐ-φρόνη, ἡ: night, kindly (time), 3
ζέω: to boil, seethe, bubble up, 3
θεοπρόπιον, τό: prophecy, oracle, 4
Ἰπνός, ὁ: Oven, 1
κάλλος, -εος, τό: beauty, 2
Κασθαναίη, ἡ: Casthanaea (town) 3
κατ-έχω: to hold fast, hold back; possess, 4
κῆδος, -εος τό: connection by marriage, care 1
κράτος, -εος, τό: strength, power, 12
κύων, κυνός, ὁ, ἡ: a dog, 15
λογίζομαι: to consider, reckon, calculate, 8
Μαγνησίη, ἡ: Magnesia (place) 4
μανθάνω: to learn, understand, 18
μέγαθος, τό: size, magnitude, size, height, 8
μέδιμνος, ὁ: medimnus. 2
Μελίβοιη, ἡ: Meliboea, 1
μεταξύ: between, among 12
μέταρσίος, -η, -ον: on the high seas, high up 1
νηνεμίη, ἡ: stillness in the air, calm weather, 2
ὀκτώ: eight, 5
ὄρθρος, ὁ: dawn, day-break, 1
ὅρμος, ὁ: anchorage, mooring-place, 2
περί-ειμι: to survive; surpass, be superior, 11
περι-πίπτω: to fall on, be wrecked, 2
Πήλιον, τό: Mount Pelion, 2
πόντος, ὁ: sea, 5
πρόκροσσοι -αι, -α: beaks turned out, 1
Σηπιάς, -άδος, ἡ: Sepias, 7
τεσσεράκοντα: forty, 1
τριηκόσιοι, -αι, -α: three hundred, 3
ὑπο-ζύγιον, τό: yoked beasts, 11
φάτις, ἡ: report, rumor, 2
φθάνω: to be first, anticipate, 4
χειμών, -ῶνος τό: storm, winter, 15
χωρίον, τό: place, spot, region, 14
Ὠρειθυίη, ἡ: Orithyia, 2

---

1 γυναιξὶ...κυσὶ: *(the provisions) for…*; dat. pl. of interest, γυνή, κύων
3 ἀνδρῶν...μυριάδων: gen. abs., pple εἰμί
κάλλεός...μεγάθεος *as far as regards beauty and stature*; 'for the sake of…'
4 ἀξιονικότερος: *more worthy*; comparative
αὐτοῦ Ξέρξεω: *than…*; gen. comparison
6 ἐπείτε: *when*
ὁρμηθεὶς: *setting out*; aor. pple ὁρμάω
ἔπλεε: impf. πλέω
7 κατέσχε: *reached*; 'took' + partitive gen.
9 ὅρμεον: *anchored, moored*; impf. ὁρμέω
ἄλλαι: *other (ships moored)*
ἐπ' ἐκείνῃσι: *behind those (ships)*
10 ἐπ' ἀγκυρέων: *at anchor*
ἅτε: *since…*; ἅτε + pple is causal
τὸ ἐς πόντον: *toward the sea*
11 ἐπὶ ὀκτὼ νέας: *eight ships deep*
13 νηνεμίης...ζεσάσης: gen. abs.; aor. pple
ἐπέπεσε: 3rd sg. aor. ἐπι-πίπτω + dat.
14 τὸν δὴ: *which in fact*; relative
οἰκημένοι: pf. mid. pple οἰκέω
16 αὐτῶν: *of them*; partitive, i.e. οἰκημένοι
αὐξόμενον: aor. pple αὐξάνω
ἔμαθον: 3rd pl. aor. μανθάνω
τοῖσι: *and for whom*; parallel to ὅσοι; dat. of interest or possession
οὕτω εἶχε: *it was thus*; impf. ἔχω + adv. equivallent to impf. εἰμί + adj.
ὅρμου: *for a mooring-place*; partitive
17 οἳ δ': *and who…*
ἔφθησαν: *anticipated*; aor. φθάνω
ἀνασπάσαντες: i.e. pulling up on shore
18 περιῆσαν: 3rd pl. impf. περί-ειμι
ἔλαβε: aor. λαμβάνω ; χειμῶν is subject
19 τὰς μὲν...τὰς δὲ: *some…others*
25 κατὰ τὸν...λόγον: *according to…account*
27 κατὰ...κῆδος: *by exactly this connection*

ὅρμηται, συμβαλλόμενοι σφίσι τὸν Βορῆν γαμβρὸν εἶναι, ναυλοχέοντες τῆς Εὐβοίης ἐν Χαλκίδι ὡς ἔμαθον αὐξόμενον τὸν χειμῶνα ἢ καὶ πρὸ τούτου, ἐθύοντό τε καὶ ἐπεκαλέοντο τόν τε Βορῆν καὶ τὴν Ὠρειθυίαν τιμωρῆσαι σφίσι καὶ διαφθεῖραι τῶν βαρβάρων τὰς νέας, ὡς καὶ πρότερον περὶ
3 Ἄθων. εἰ μέν νυν διὰ ταῦτα τοῖσι βαρβάροισι ὁρμέουσι ὁ Βορῆς ἐπέπεσε, οὐκ ἔχω εἰπεῖν· οἱ δ' ὧν Ἀθηναῖοι σφίσι λέγουσι βοηθήσαντα τὸν Βορέην πρότερον καὶ τότε ἐκεῖνα κατεργάσασθαι, καὶ ἱρὸν ἀπελθόντες Βορέω ἱδρύσαντο παρὰ
190 ποταμὸν Ἰλισσόν. ἐν τούτῳ τῷ πόνῳ νέας, οἳ ἐλαχίστας, λέγουσι διαφθαρῆναι τετρακοσιέων οὐκ ἐλάσσονας, ἄνδρας τε ἀναριθμήτους χρημάτων τε πλῆθος ἄφθονον. ὥστε Ἀμεινοκλέϊ τῷ Κρητίνεω ἀνδρὶ Μάγνητι γηοχέοντι περὶ Σηπιάδα μεγάλως ἡ ναυηγίη αὕτη ἐγένετο χρηστή· ὃς πολλὰ μὲν χρύσεα ποτήρια ὑστέρῳ χρόνῳ ἐκβρασσόμενα ἀνείλετο πολλὰ δὲ ἀργύρεα, θησαυρούς τε τῶν Περσέων εὗρε, ἄλλα τε [χρύσεα] ἄφατα χρήματα περιεβάλετο. ἀλλ' ὃ μὲν τἆλλα οὐκ εὐτυχέων εὑρήμασι μέγα πλούσιος ἐγένετο· ἦν γάρ τις
191 καὶ τοῦτον ἄχαρις συμφορὴ λυπεῦσα παιδοφόνος. σιταγωγῶν δὲ ὁλκάδων καὶ τῶν ἄλλων πλοίων διαφθειρομένων οὐκ ἐπῆν ἀριθμός. ὥστε δείσαντες οἱ στρατηγοὶ τοῦ ναυτικοῦ στρατοῦ μή σφι κεκακωμένοισι ἐπιθέωνται οἱ Θεσσαλοί,
2 ἕρκος ὑψηλὸν ἐκ τῶν ναυηγίων περιεβάλοντο· ἡμέρας γὰρ δὴ ἐχείμαζε τρεῖς. τέλος δὲ ἔντομά τε ποιεῦντες καὶ καταεί-

Ἄθως, -ω ὁ: Mt. Athos, 6
Ἀμεινοκλής, -έος ὁ: Ameinocles, 1
ἀν-αιρέω: take up, pick up; *mid*. choose, 5
ἀν-αρίθμητοι, -α: countless, innumerable, 2
ἀπ-έρχομαι: to go away, depart, 4
ἀργύρεος, -η, -ον: silver, of silver, 4
ἀριθμός, ὁ: number, amount, quantity, 17
αὐξάνω: to increase, augment, 3
ἄ-φατος, -όν: untold, unspeakable, 1
ἄ-φθονος, ον: without envy; abundant, 2
ἄ-χαρις, -χαρι: unpleasant, disagreeable, 5
βοηθέω: to come to aid, help, assist, (dat) 19
βορέης, -εω, ὁ: North wind, 8
γαμβρός, ὁ: son-in-law, 2
γη-οχέω: to own land, hold land, 1
δείδω: to fear, 12
δια-φθείρω: to destroy, corrupt, kill, 11
ἐκ-βράσσω: to throw out, cast out, 2
ἐλάχιστος, -η, -ον: the smallest, least, 7
ἔν-τομα, τά: sacrificial victims; cut in pieces 1
ἐπι-καλέω: to call upon, summon, 5
ἐπι-πίπτω: to fall upon, attack, assail, 2
ἐπι-τίθημι: to assail, attack, set upon, put on, 5
ἕρκος, τό: fence, wall; coils (of whips) 2
εὐ-τυχέω: prosper, be well off, successful, 4
Εὐβοίη, ἡ: Euboea, 3
εὕρημα -ατος, τό: discovery, piece of luck, 3
Θεσσαλοί, οἱ: the Thessalians, 12
θησαυρός, ὁ: treasure; treasury, 1
ἱδρύω: to (make) sit, settle, establish, 4
Ἰλισσός, ὁ: Ilissus river, 1
κακόω: to maltreat, afflict, cause distress, 2
κατ-αείδω: to sing charms, sing incantations 1
κατ-εργάζομαι: to make, achieve; overcome 7
κατ-οράω: to look down, perceive, 4
Κρητίνης, -εω, ὁ: Cretines, 2
λυπέω: to cause pain, distress, grief, 5
Μάγνης, -νητος, ὁ: a Magnesian, 3
μανθάνω: to learn, understand, 18
ναυ-αγίη, ἡ: shipwreck, 5
ναυ-ήγιον, τό: wreckage, 1
ναυλοχέω: to station, lie in harbor, 2
ὁλκάς, -αδος, ἡ: freight ship, cargo ship, 4
παιδο-φόνος, ὁ: of a child's murder, 1
περι-βάλλω: to throw round, enclose; clothe 4
πλοῖον τό: ship, vessel, 11
πλούσιος, -η, -ον: rich, wealthy, opulent, 1
πόνος, ὁ: work, toil, labor, 6
ποτήριον, τό: drinking-cup, wine-cup, 2
Σηπιάς, -άδος, ἡ: Sepias, 7
συμ-βάλλω: contribute; guess, join battle, 11
τέλος, -εος, τό: end, result; assigned (unit) 18
τετρακόσιοι, -αι, -α: four hundred, 10
τιμωρέω: to help; avenge, seek vengeance, 17
ὑψηλός, -ή, -όν: high, lofty, high-raised, 7
Χαλκίς, -ίδος, ἡ: Chalcis, 2
χειμάζω: to pass the winter, 1
χειμών, -ῶνος τό: storm, winter, 15
χρηστός, -ή, -όν: good, worthy, 19
χρύσεος, -η, -ον: golden, 15
Ὠρειθυίη, ἡ: Orithyia, 2
ὥστε: so that, that, so as to, 18

---

1 ὅρμηται: *so the story goes on (to say)*
συμβαλλόμενοι: *conjecturing, concluding*
2 ὡς: *when…*
ἔμαθον: aor. μανθάνω
αὐξόμενον: aor. pple αὐξάνω
3 ἢ καὶ πρὸ τούτου: *or even before this*
4 τιμωρῆσαι, διαφθεῖραι: aor. inf. διαφθέρω
5 ὡς καὶ πρότερον: *just as also previously*
περὶ: *around Mt. Athos*; see Book 6.43-45
6 ὁρμέουσι: dat. pl. pple ὁρμέω
7 ἐπέπεσε: aor. ἐπιπίπτω
ἔχω: *I am able*; + inf.
σφίσι: dat. object of. βοηθήσαντα
9 ἀπελθόντες: aor. pple ἀπ-έρχομαι
ἱρὸν…Βορέω: *sanctuary of Boreas*
παρὰ: *beside*
10 ἐν…πόνῳ: *in this labor*; i.e the storm
οἳ ἐλαχίστας (λέγουσι): *(those) who say the least*; i.e. give the lowest estimate
11 διαφθαρῆναι: aor. pass. inf. διαφθείρω
τετρακοσιέων: *than…*; gen. comparison
12 Ἀμεινοκλέϊ: *for Ameinocles*; dat. interest
14 μεγάλως…ἐγένετο χρηστή: *was particularly beneficial*; 'useful'
15 ὑστέρῳ χρόνῳ: *at…*; dat. time when
ἐκβρασσόμενα: pres. pass. pple
ἀνείλετο: aor. mid. ἀν-αιρέω
εὗρε: aor. εὑρίσκω
17 περιεβάλετο: *encompassed*; 'possessed'
ὃ μὲν: *this one*; demonstrative
τἆλλα: *in other respects*; acc. respect
19 καὶ τοῦτον λυπεῦσα: *causing this one also pain*; i.e. misfortune comes to everyone
21 ἐπῆν: *was*; impf. ἔπειμι
22 μή…ἐπιθέωνται: *lest…attack*; fearing
23 ἡμέρας τρεῖς: *for…*; acc. of duration

δοντες βοῇσι οἱ Μάγοι τῷ ἀνέμῳ, πρός τε τούτοισι καὶ τῇ Θέτι καὶ τῇσι Νηρηίσι θύοντες, ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε. τῇ δὲ Θέτι ἔθυον πυθόμενοι παρὰ τῶν Ἰώνων τὸν λόγον ὡς ἐκ τοῦ χώρου τούτου ἁρπασθείη ὑπὸ Πηλέος, εἴη τε ἅπασα ἡ ἀκτὴ ἡ Σηπιὰς
192 ἐκείνης τε καὶ τῶν ἀλλέων Νηρηίδων. ὃ μὲν δὴ τετάρτῃ ἡμέρῃ ἐπέπαυτο· τοῖσι δὲ Ἕλλησι οἱ ἡμεροσκόποι ἀπὸ τῶν ἄκρων τῶν Εὐβοϊκῶν καταδραμόντες δευτέρῃ ἡμέρῃ ἀπ᾽ ἧς ὁ χειμὼν ὁ πρῶτος ἐγένετο, ἐσήμαινον πάντα τὰ γενόμενα
2 περὶ τὴν ναυηγίην. οἳ δὲ ὡς ἐπύθοντο, Ποσειδέωνι σωτῆρι εὐξάμενοι καὶ σπονδὰς προχέαντες τὴν ταχίστην ὀπίσω ἠπείγοντο ἐπὶ τὸ Ἀρτεμίσιον, ἐλπίσαντες ὀλίγας τινάς σφι ἀντιξόους ἔσεσθαι νέας. οἳ μὲν δὴ τὸ δεύτερον ἐλθόντες περὶ τὸ Ἀρτεμίσιον ἐναυλόχεον, Ποσειδέωνος σωτῆρος ἐπω-
193 νυμίην ἀπὸ τούτου ἔτι καὶ ἐς τόδε νομίζοντες. οἱ δὲ βάρβαροι, ὡς ἐπαύσατό τε ὁ ἄνεμος καὶ τὸ κῦμα ἔστρωτο, κατασπάσαντες τὰς νέας ἔπλεον παρὰ τὴν ἤπειρον, κάμψαντες δὲ τὴν ἄκρην τῆς Μαγνησίης ἰθέαν ἔπλεον ἐς τὸν κόλπον
2 τὸν ἐπὶ Παγασέων φέροντα. ἔστι δὲ χῶρος ἐν τῷ κόλπῳ τούτῳ τῆς Μαγνησίης, ἔνθα λέγεται τὸν Ἡρακλέα καταλειφθῆναι ὑπὸ Ἰήσονος τε καὶ τῶν συνεταίρων ἐκ τῆς Ἀργοῦς ἐπ᾽ ὕδωρ πεμφθέντα, εὖτ᾽ ἐπὶ τὸ κῶας ἔπλεον ἐς Αἶαν [τὴν Κολχίδα]· ἐνθεῦτεν γὰρ ἔμελλον ὑδρευσάμενοι ἐς τὸ πέλαγος ἀφήσειν. ἐπὶ τούτου δὲ τῷ χώρῳ οὔνομα γέγονε Ἀφέται.
194 ἐν τούτῳ ὦν ὅρμον οἱ Ξέρξεω ἐποιεῦντο. πεντεκαίδεκα δὲ τῶν νεῶν τουτέων ἔτυχόν τε ὕσταται πολλὸν ἐξαναχθεῖσαι καί κως κατεῖδον τὰς ἐπ᾽ Ἀρτεμισίῳ τῶν Ἑλλήνων νέας. ἔδοξάν τε δὴ τὰς σφετέρας εἶναι οἱ βάρβαροι καὶ πλέοντες

Αἶα, ἡ: Aea (place) 2
ἀκτή, ἡ: headland, promontory, 6
ἄλλως: otherwise, in another way, 9
ἀντί-ξοος, -ον: opposing, adverse, 4
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
ἀπ-ίημι: send forth, let go, release, 16
Ἀργώ, -οῦς, ὁ: Argo (the ship), 1
ἁρπάζω: seize, carry off, kidnap, 2
Ἀρτεμίσιον, τό: Artemisium (place) 8
Ἀφέται, αἱ: Aphetae, 2
βοή, ἡ: shout, 6
ἐλπίζω: to hope for, look for, expect, 7
ἔνθα: where; there, then, 9
ἐνθεῦτεν: from here, from there (**ἐντεῦθεν**) 12
ἐξ-αν-αγω: to bring out, set sail, 2
ἐπείγω: to urge on, hasten; *mid*. hurry, 3
ἐπωνυμίη, ἡ: name, a nickname, surname, 16
Εὐβοικός, -ή, -όν: Euboean, 1
εὖτε: when, at the time when, 2
εὔχομαι: to pray, offer prayers, 4
ἡμεροσκόπος, ὁ: day-watch, day-guard, 3
Ἡρακλέης, -εος ὁ: Heracles, 5
Θέτις, ἡ: Thetis (goddess), 1
θύω: to sacrifice, 33
Ἰήσων, Ἰήσονος, ὁ: Jason, 1
ἰθύς, -εα, -ύ: straight, honest; immediately, 4
Ἴων, Ἴωνος, ὁ: Ionian, 9
κάμπτω: to bend, to round (the bend), 3
κατα-λείπω: to leave behind, 9
κατα-σπάω: to pull down, draw down, 1
κατα-τρέχω: to run down, 2
κατ-οράω: to look down, perceive, 4
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
Κολχίς, -ίδος, ἡ: Colchis (place) 3
κοπάζω: to abate, die down, 1
κῦμα, -ατος, τό: wave, swell, surge, 2
κῶας, τό: fleece, 1
κως: somehow, in any way (Att. **πως**) 3
μάγοι, οἱ: magi (dream-interpreters) 7
Μαγνησίη, ἡ: Magnesia (place) 4
ναυ-αγίη, ἡ: shipwreck, 5
ναυλοχέω: to station, lie in harbor, 2
Νηρηίς, -ίδος, ἡ: Nereid, 2
νομίζω: believe, consider; be accustomed, 16
ὅρμος, ὁ: anchorage, mooring-place, 2
Παγασαί, αἱ: Pagasae, 1
πέλαγος, -εος, τό: the sea, 5
πεντε-καί-δεκα: fifteen, 3
Πηλεύς, -έος, ὁ: Peleus, 1
Ποσειδέων, -έωνος ὁ: Poseidon, (Att. **-δῶν**) 4
προ-χέω: to pour out, pour forth, 1
σημαίνω: to show, indicate, declare, 9
Σηπιάς, -άδος, ἡ: Sepias, 7
σπονδή, ἡ: libation, treaty for peace, 5
στόρνυμι: to spread, lay low (**στορέννυμι**) 2
συν-έταιρος, ὁ: companion, comrade, 1
σφέτερος, -η, -ον: their own, their, 9
σωτήρ, ὁ: deliverer, preserver, 3
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τέταρτος, -η, -ον: fourth, 5
ὑδρεύω: to draw water, 1
ὕδωρ, ὕδατος, τό: water, 15
ὕστατος, -η, -ον: last, latter, 4
χειμών, -ῶνος τό: storm, winter, 15

---

1 **βοῇσι**: *with shouting*; dat. of means
ἀνέμῳ: *to the wind*; dat. interest
2 **πρὸς**: *in addition to…*; + dat.
τῇ Θέτι: *to…*; dat. interest
ἔπαυσαν: aor. παύω
τετάρτῃ ἡμέρῃ: *on…*; dat. of time when
3 **ἄλλως κως**: *somehow otherwise*
4 **λόγον ὡς**: *account (namely) that*
5 **ἁρπασθείη**: aor. pass. opt. in ind. discourse
εἴη: *were*; 3rd sg. opt. εἰμί, ind. discourse
ἐκείνης τε καὶ: *both hers and…;* predicate
6 **ὃ μὲν**: *it*; i.e. the storm, neuter sg. χειμῶν
7 **ἐπέπαυτο**: plpf. mid. παύω
8 **καταδραμόντες**: aor. pple κατατρέχω
ἀπ᾽ ἧς: *from which (day)*
9 **τὰ γενόμενα**: *things having occurred*; pf.
περὶ: *regarding, about*
10 **οἱ δὲ ὡς**: *and when these…*
11 **τὴν ταχίστην**: *very quickly*
12 **ἠπείγοντο**: *hastened*; impf. mid. ἐπείγω
13 **ἔσεσθαι**: fut. inf. εἰμί
τὸ δεύτερον: *a second time*; adverbial acc.
ἐλθόντες: aor. pple ἔρχομαι
15 **ἀπὸ τούτου**: *from this event*
ἔτι καὶ ἐς τόδε: *still in fact to this (time)*
16 **ὡς**: *when*
ἔστρωτο: plpf. mid. στόρνυμι
ἰθέαν: *straight*; assume fem. sg. ὁδόν
20 **καταλειφθῆναι**: aor. pass. inf. καταλείπω
22 **ἐπ᾽ ὕδωρ πεμφθέντα**: *sent for water*; aor.
24 **ἀφήσειν**: *to set sail*; fut. inf. ἀπ-ίημι
ἐπὶ τούτου: *for this reason*
26 **ἔτυχον ἐξαναχθεῖσαι**: *happened to have…*
πολλὸν: *far, much*; acc. extent of degree

ἐσέπεσον ἐς τοὺς πολεμίους· τῶν ἐστρατήγεε ὁ ἀπὸ Κύμης τῆς Αἰολίδος ὕπαρχος Σανδώκης ὁ Θαμασίου τὸν δὴ πρότερον τούτων βασιλεὺς Δαρεῖος ἐπ᾽ αἰτίῃ τοιῇδε λαβὼν ἀνεσταύρωσε ἐόντα τῶν βασιληίων δικαστέων. ὁ Σανδώκης
2 ἐπὶ χρήμασι ἄδικον δίκην ἐδίκασε. ἀνακρεμασθέντος ὦν αὐτοῦ λογιζόμενος ὁ Δαρεῖος εὗρέ οἱ πλέω ἀγαθὰ τῶν ἁμαρτημάτων πεποιημένα ἐς οἶκον τὸν βασιλήιον· εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος, καὶ γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργα-
3 σμένος εἴη, ἔλυσε. βασιλέα μὲν δὴ Δαρεῖον οὕτω διαφυγὼν μὴ ἀπολέσθαι περιῆν, τότε δὲ ἐς τοὺς Ἕλληνας καταπλώσας ἔμελλε οὐ τὸ δεύτερον διαφυγὼν ἔσεσθαι· ὡς γὰρ σφέας εἶδον προσπλέοντας οἱ Ἕλληνες, μαθόντες αὐτῶν τὴν γινο-
195 μένην ἁμαρτάδα ἐπαναχθέντες εὐπετέως σφέας εἷλον. ἐν τουτέων μιῇ Ἀρίδωλις πλέων ἥλω, τύραννος Ἀλαβάνδων τῶν ἐν Καρίῃ, ἐν ἑτέρῃ δὲ ὁ Πάφιος στρατηγὸς Πενθύλος ὁ Δημονόου, ὃς ἦγε μὲν δυώδεκα νέας ἐκ Πάφου, ἀποβαλὼν δὲ σφέων τὰς ἕνδεκα τῷ χειμῶνι τῷ γενομένῳ κατὰ Σηπιάδα, μιῇ τῇ περιγενομένῃ καταπλέων ἐπ᾽ Ἀρτεμίσιον ἥλω. τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες τὰ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξεω στρατιῆς, ἀποπέμπουσι δεδεμένους ἐς τὸν Κορινθίων ἰσθμόν.

196 ὁ μὲν δὴ ναυτικὸς [ὁ] τῶν βαρβάρων στρατός, πάρεξ τῶν πεντεκαίδεκα νεῶν τῶν εἶπον Σανδώκεα στρατηγέειν, ἀπίκοντο ἐς Ἀφέτας. Ξέρξης δὲ καὶ ὁ πεζὸς πορευθεὶς διὰ Θεσσαλίης καὶ Ἀχαιίης ἐσβεβληκὼς ἦν καὶ δὴ τριταῖος ἐς Μηλιέας, ἐν Θεσσαλίῃ μὲν ἅμιλλαν ποιησάμενος ἵππων τῶν ἑωυτοῦ ἀποπειρώμενος καὶ τῆς Θεσσαλίης ἵππου, πυθόμενος ὡς ἀρίστη εἴη τῶν ἐν Ἕλλησι· ἔνθα δὴ αἱ Ἑλληνίδες ἵπποι

ἄ-δικος, -ον: unjust, unrighteous, 5
Αἰολίς, -ίδος: *fem. adj.* Aeolian, 3
αἱρέω: to seize, take; *mid.* choose, 17
αἰτίη, ἡ: cause, responsibility, blame, 13
Ἀλάβανδα, τά: Alabanda (town), 1
ἁμαρτάς, -άδος ἡ: mistake, error, 2
ἁμάρτημα, -ατος, τό: offense, fault, failure, 1
ἅμιλλα, -ης, ἡ: race, competition, conflict, 2
ἀνα-κρεμάννυμι: to hang up, suspend, 3
ἀνα-σταυρόω: to crucify, impale, 2
ἀπο-βάλλω: to throw off, or away, 2
ἀπο-πειράομαι: to test, to make trial, 2
Ἀρίδωλις, ὁ: Aridolis, 1
Ἀρτεμίσιον, τό: Artemisium (place) 8
Ἀφέται, αἱ: Aphetae, 2
Ἀχαίοι, οἱ: the Achaeans, 6
γιγνώσκω: come to know, to learn, realize, 5
δέω: to bind, fasten down, 1
Δημόνοος, -ου, ὁ: Demonous (male) 1
δια-φεύγω: to flee, get away from, escape, 5
δικάζω: give judgment, pass judgment, 1
δικαστής, οῦ, ὁ: a juror, judge, 2
δίκη, ἡ: justice, penalty; lawsuit, trial, 15
δυώ-δεκα: twelve, 6
Ἑλληνίς, -ίδος, ἡ: Greek (fem. adj.), 5
ἕν-δεκα: eleven, 6
ἔνθα: where; there, then, 9
ἐξ-ιστορέω: to search out, inquire into, 1
ἐπαν-άγω: to stir up; lead back to sea, 2
ἐργάζομαι: to work, labor, toil, 6
ἐσ-βαίνω: to go into, enter, 3
ἐσ-βάλλω: throw or put into; put on board 11
ἐσ-πίπτω: to fall into, 4
εὐ-πετέως: easily, without difficulty, 2
εὑρίσκω: to find, discover, devise, invent, 19
Θαμάσιος, -ου, ὁ: Thamasius (male) 1
Θεσσαλίη, ἡ: Thessaly, 19
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
Καρίη, ἡ: Caria, 2
κατα-πλέω: to sail (down), sail to shore, 4
Κορίνθιοι, οἱ: the Corinthians, 2
Κύμη, ἡ: Cyme, 1
λογίζομαι: to consider, reckon, calculate, 8
λύω: to loosen, unloose, set free, 4
μανθάνω: to learn, understand, 18
Μηλιέες, οἱ: the Malians, 7
πάρ-εξ: adv. besides; except; outside (gen.) 3
Πάφιος, -α, -ον: Paphian, 1
Πάφος, ὁ: Paphus (town) 1
Πενθύλος, ὁ: Penthulus, 1
πεντε-καί-δεκα: fifteen, 3
περι-γίγνομαι: be superior to, prevail over, 4
περί-ειμι: to survive; surpass, be superior, 11
προσ-πλέω: to sail towards, 1
Σανδώκης, -εος, ὁ: Sandoces (male), 2
Σηπιάς, -άδος, ἡ: Sepias, 7
σοφός, -ή, -όν: wise, skilled, 4
ταχύς, εῖα, ύ: quick, swift, hastily, 14
τριταῖος, -η, -ον: on the third day, 1
τύραννος, ὁ: a sovereign, 8
ὕπ-αρχος, ὁ: commander (under another), 12
χειμών, -ῶνος τό: storm, winter, 15

---

1 ἐσέπεσον: 3rd pl. aor. ἐσ-πίπτω
τῶν: *whom*; relative, obj. of ἐστρατήγεε
2 τὸν: *whom…*; relative
πρότερον: *before these things*; comparison
3 ἐπ᾽ αἰτίῃ τοιῇδε: *for this accusation*
λαβὼν: nom. sg. aor. pple λαμβάνω
4 τῶν…δικαστέων: *among the royal judges*;
5 ἐπὶ χρήμασι: *for money*; i.e. for a bribe
ἀνακρεμασθέντος…αὐτοῦ: gen. abs., aor.
6 εὗρε: aor. εὑρίσκω
οἱ: *by him*; dat. agent with pf. pass. pple
πλέω: *more*; πλέο(ν)α; neut. pl.
τῶν ἁμαρτημάτων: *than..*; gen comparison
7 πεποιημένα: pf. pass. pple ποιέω
οἶκον τὸν βασιλήιον: *to the royal house*
εὑρὼν: aor. pple. εὑρίσκω
8 γνοὺς: nom. sg. aor. pple. γι(γ)νώσκω
ὡς ταχύτερα…ἢ σοφώτερα: *how more hastily than more wisely*; comparative adv.
ἐργασμένος εἴη: *he had acted*; periphrastic plpf. (pf. pple + εἰμί) opt. in ind. discourse
9 ἔλυσε: *freed (him)*; aor. λύω; add. object
10 μὴ ἀπολέσθαι: *from dying*; redundant μή + inf. follows verb negative in sense
περιῆν: 3rd sg. impf. περί-ειμι
11 τὸ δεύτερον: *a second time*; adverbial acc.
ἔσεσθαι: *to be*; fut. inf. εἰμί
13 ἐπαναχθέντες: *setting out to sea*; aor. dep.
εἷλον: 3rd pl. aor. αἱρέω (stem ἑλ)
ἥλω: *was caught*; aor. act. ἁλίσκομαι
18 μιῇ περιγενομένῃ: *with one surviving ship*
23 τῶν: *which…*; gen. obj. of στρατηγέειν
24 πορευθεὶς: nom. aor. dep. pple πορεύομαι
25 ἐσβεβληκὼς ἦν: periphrastic plpf., see l. 8
καὶ δὴ τριταῖος: *on the third day already*
27 πυθόμενος ὡς: *having heard that it was*

ἐλείποντο πολλόν. τῶν μέν νυν ἐν Θεσσαλίῃ ποταμῶν Ὀνόχωνος μοῦνος οὐκ ἀπέχρησε τῇ στρατιῇ τὸ ῥέεθρον πινόμενος· τῶν δὲ ἐν Ἀχαιίῃ ποταμῶν ῥεόντων οὐδὲ ὅστις μέγιστος αὐτῶν
197 ἐστι Ἠπιδανός, οὐδὲ οὗτος ἀντέσχε εἰ μὴ φλαύρως. ἐς Ἅλον δὲ τῆς Ἀχαιίης ἀπικομένῳ Ξέρξῃ οἱ κατηγεμόνες τῆς ὁδοῦ βουλόμενοι τὸ πᾶν ἐξηγέεσθαι ἔλεγόν οἱ ἐπιχώριον λόγον, τὰ περὶ τὸ ἱρὸν τοῦ Λαφυστίου Διός, ὡς Ἀθάμας ὁ Αἰόλου ἐμηχανήσατο Φρίξῳ μόρον σὺν Ἰνοῖ βουλεύσας, μετέπειτα δὲ ὡς ἐκ θεοπροπίου Ἀχαιοὶ προτιθεῖσι τοῖσι ἐκείνου ἀπο-
2 γόνοισι ἀέθλους τοιούσδε· ὃς ἂν ᾖ τοῦ γένεος τούτου πρεσβύτατος, τούτῳ ἐπιτάξαντες ἔργεσθαι τοῦ ληίτου αὐτοὶ φυλακὰς ἔχουσι. (ληίτον δὲ καλέουσι τὸ πρυτανήιον οἱ Ἀχαιοί)· ἢν δὲ ἐσέλθῃ, οὐκ ἔστι ὅκως ἔξεισι πρὶν ἢ θύσεσθαι μέλλῃ· ὥς τ᾽ ἔτι πρὸς τούτοισι πολλοὶ ἤδη [τούτων] τῶν μελλόντων θύσεσθαι δείσαντες οἴχοντο ἀποδράντες ἐς ἄλλην χώρην, χρόνου δὲ προϊόντος ὀπίσω κατελθόντες ἣν ἁλίσκωνται ἐσελθόντες ἐς τὸ πρυτανήιον· ὡς θύεταί τε ἐξηγέοντο στέμμασι πᾶς πυκασθεὶς καὶ ὡς σὺν πομπῇ ἐξαχθείς.
3 ταῦτα δὲ πάσχουσι οἱ Κυτισσώρου τοῦ Φρίξου παιδὸς ἀπόγονοι, διότι καθαρμὸν τῆς χώρης ποιευμένων Ἀχαιῶν ἐκ θεοπροπίου Ἀθάμαντα τὸν Αἰόλου καὶ μελλόντων μιν θύειν ἀπικόμενος οὗτος ὁ Κυτίσσωρος ἐξ Αἴης τῆς Κολχίδος ἐρρύσατο, ποιήσας δὲ τοῦτο τοῖσι ἐπιγενομέ-
4 νοισι ἐξ ἑωυτοῦ μῆνιν τοῦ θεοῦ ἐνέβαλε. Ξέρξης δὲ ταῦτα ἀκούσας ὡς κατὰ τὸ ἄλσος ἐγίνετο, αὐτός τε ἔργετο αὐτοῦ καὶ τῇ στρατιῇ πάσῃ παρήγγειλε, τῶν τε

ἄεθλος, ὁ: task, toil, ordeal; contest, 2
Ἄθαμας, -άντος, ὁ: Athamas (male), 3
Αἶα, ἡ: Aea (place) 2
Αἴολος, ὁ: Aeolus, 2
ἄλσος, τό: grove, sacred grove, 3
Ἄλος, ὁ: Alus (place) 2
ἀντ-έχω: hold out against, stop; lay hold of, 5
ἀπό-γονος, -ον: descendents, born from, 9
ἀπο-διδράσκω: to run away, flee, escape, 2
ἀπο-χράω: to suffice, use to full, 2
Ἀχαιΐη, ἡ: Achaea (place) 6
Ἀχαίοι, οἱ: the Achaeans, 6
βουλεύω: to deliberate, plan, take counsel, 19
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
δείδω: to fear, 12
διότι: because, on account of which, 2
ἐμ-βάλλω: to throw in, put in, 4
ἐξ-άγω: to lead out, draw out, 4
ἐξ-έρχομαι: to go out, come out, 3
ἐξ-ηγέομαι: to lead out, explain, command, 6
ἐπι-γίνομαι: to be born after, come after, 6
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
ἔργνυμι: to confine, 2
ἐσ-έρχομαι: to go in, enter, 3
Ἠπιδανός, ὁ: Apidanus river, 2
θεοπρόπιον, τό: prophecy, oracle, 4
Θεσσαλίη, ἡ: Thessaly, 19
Ἰνώ, -όος, ἡ: Ino, 1
καθαρμός ὁ: expiation, scapegoat 1
κατ-έρχομαι: to return; descend, 2
κατ-ηγεμών, -όνος, ὁ: guide, leader, 2
Κολχίς, -ίδος, ἡ: Colchis (place) 3
Κυτίσσωρος, ὁ: Cytissorus, 2
Λαφύστιος, -η, -ον: Laphystian, 1
λήιτον, -ου, τό: town-hall, 2
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μετ-έπειτα: thereafter, 5
μῆνις, ἡ: wrath (often of the gods), 8
μηχανάομαι: to contrive, devise well, 8
μόρος, ὁ: death, doom, fate, destiny, 2
οἴχομαι: to go, go off, depart, 11
Ὀνόχωνος, ὁ: Onochonus river, 2
παρ-αγγέλλω: to pass word, give orders, 2
πάσχω: to suffer, experience, 19
πίνω: to drink, 4
πομπή, ἡ: escort, guidance, 4
πρέσβυς, -εως, ὁ: old, old (man), 10
πρίν: until, before, 10
προ-έρχομαι: to go forth, advance, 3
προ-τίθημι: to set out, appoint, propose, 4
πρυτανήϊον, -ου, τό: prytaneum, 2
πυκάζω: to cover thickly, 1
ῥέεθρον, τό: river, stream, channel, 7
ῥύομαι: to draw to oneself, rescue, 9
στέμμα, στέμματος, τό: wreath, garland, 1
φλαῦρος, -η, -ον: inferior, trivial, petty, 4
Φρίξος, ὁ: Phrixus, 2
φύλαξ, -κος, ὁ: a watcher, guard, sentinel, 10

---

1 **ἐλείποντο πολλόν**: *were left far behind*; i.e. in a race; acc. of extent of degree
2 **τῇ στρατιῇ**: *for the army*; dat. of interest
3 **οὐδὲ ὅστις…οὐδὲ οὗτος**: *not even the greatest of them, which is Apidanos, not even this one…*; repetition gives emphasis
4 **ἀντέσχε**: *endured*; 'held out,' i.e. sufficed
5 **τῆς Ἀχαιίης**: *in Achaea*, as often, partitive
6 **τὸ πᾶν**: *everything*; 'the whole' acc. d.o.
οἱ: *to him*; dat. ind. obj. repeating Ξέρξῃ
τὰ περὶ: *in respect to affairs regarding…*; τὰ is acc. of respect
7 **τοῦ Λαφυστίου Διός**: Laphustian Zeus
ὡς: (*namely) that…*
9 **προτιθεῖσι**: 3rd pl. pres.
10 **ὃς ἂν ᾖ**: *whoever is*; ἂν + 3rd sg. pres. subj. εἰμί; relative clause of characteristic, general relative clause, antecedent τούτῳ
11 **ἔργεσθαι**: *to keep from*; + gen. separation
13 **ἢν δὲ ἐσέλθῃ**: *if…*; pres. general condition (ἐάν + subj., pres. ind.). 3rd sg. aor. subj. ἐσέρχομαι
οὐκ ἔστι ὅκως: *it is not possible that*; + fut
ἔξεισι: 3rd sg. fut. ἐξέρχομαι
14 **μέλλῃ**: *he is going*; 3rd sg. subj. indefinite (general) temporal
ὥς τ': *and (they say) how…*
πρὸς τούτοισι: *in addition to these things*
15 **θύσεσθαι**: μέλλω governs fut. inf. as above
ἀποδράντες: aor. pple ἀποτρέχω
16 **προϊόντος**: gen. abs., pple προέρχομαι
κατελθόντες: i.e. the ones having fled, aor. pple κατέρχομαι, subject of ἁλίσκωνται
ἢν ἁλίσκωνται…ὡς θύεται…: *(they say) that if…*; pres. general condition (ἐάν + subj., pres. ind.) that should follow ὡς
18 **ἐξαχθείς**: nom. sg. aor. pple. ἐξ-άγω
20 **ποιευμένων**: *making Athamas a scapegoat*
25 **ὡς…ἐγίνετο**: *as he came to the grove*
26 **ἔργετο αὐτοῦ**: *he kept from it*; separation

Ἀθάμαντος ἀπογόνων τὴν οἰκίην ὁμοίως καὶ τὸ τέμενος ἐσέβετο.

198 Ταῦτα μὲν τὰ ἐν Θεσσαλίῃ καὶ τὰ ἐν Ἀχαιίῃ· ἀπὸ δὲ τούτων τῶν χώρων ἤιε ἐς τὴν Μηλίδα παρὰ κόλπον θαλάσσης, ἐν τῷ ἄμπωτίς τε καὶ ῥηχίη ἀνὰ πᾶσαν ἡμέρην γίνεται. περὶ δὲ τὸν κόλπον τοῦτον ἐστὶ χῶρος πεδιεινός, τῇ μὲν εὐρὺς, τῇ δὲ καὶ κάρτα στεινός· περὶ δὲ τὸν χῶρον ὄρεα ὑψηλὰ καὶ ἄβατα περικληίει πᾶσαν τὴν Μηλίδα γῆν, Τρη-
2 χίνιαι πέτραι καλεόμεναι. πρώτη μέν νυν πόλις ἐστὶ ἐν τῷ κόλπῳ ἰόντι ἀπὸ Ἀχαιίης Ἀντικύρη, παρ᾽ ἣν Σπερχειὸς ποταμὸς ῥέων ἐξ Ἐνιήνων ἐς θάλασσαν ἐκδιδοῖ. ἀπὸ δὲ τούτου διὰ εἴκοσί κου σταδίων ἄλλος ποταμὸς τῷ οὔνομα κεῖται Δύρας, τὸν βοηθέοντα τῷ Ἡρακλέι καιομένῳ λόγος ἐστὶ ἀναφανῆναι. ἀπὸ δὲ τούτου δι᾽ ἄλλων εἴκοσι σταδίων
199 ἄλλος ποταμός ἐστι ὃς καλέεται Μέλας. Τρηχὶς δὲ πόλις ἀπὸ τοῦ Μέλανος τούτου ποταμοῦ πέντε στάδια ἀπέχει. ταύτῃ δὲ καὶ εὐρύτατον ἐστὶ πάσης τῆς χώρης ταύτης ἐκ τῶν ὀρέων ἐς θάλασσαν, κατ᾽ ἃ Τρηχὶς πεπόλισται· δισχίλιά τε γὰρ καὶ δισμύρια πλέθρα τοῦ πεδίου ἐστί. τοῦ δὲ ὄρεος τὸ περικληίει τὴν γῆν τὴν Τρηχινίην ἐστὶ διασφὰξ πρὸς μεσαμβρίην Τρηχῖνος, διὰ δὲ τῆς διασφάγος Ἀσωπὸς
200 ποταμὸς ῥέει παρὰ τὴν ὑπωρείαν τοῦ ὄρεος. ἔστι δὲ ἄλλος Φοῖνιξ ποταμὸς οὐ μέγας πρὸς μεσαμβρίην τοῦ Ἀσωποῦ, ὃς ἐκ τῶν ὀρέων τούτων ῥέων ἐς τὸν Ἀσωπὸν ἐκδιδοῖ. κατὰ δὲ τὸν Φοίνικα ποταμὸν στεινότατον ἐστί· ἁμαξιτὸς γὰρ μούνη [μία] δέδμηται. ἀπὸ δὲ τοῦ Φοίνικος ποταμοῦ
2 πεντεκαίδεκα στάδια ἐστὶ ἐς Θερμοπύλας. ἐν δὲ τῷ μεταξὺ Φοίνικος ⟨τε⟩ ποταμοῦ καὶ Θερμοπυλέων κώμη τε ἐστὶ τῇ

ἄ-βατος, -όν: inpassible, inaccessible, 2
Ἄθαμας, -άντος, ὁ: Athamas (male), 3
ἁμάξιτος, -ον: a single wagon (road), 3
ἄμπωτις, ἡ: ebb-tide, 1
ἀνα-φαίνω: to reveal, show forth, display, 2
Ἀντικύρη, ἡ: Anticyra, 2
ἀπ-έχω: to be absent, distant, keep from, 4
ἀπό-γονος, -ον: descendents, born from, 9
Ἀσωπός, ὁ: Asopus river, 6
Ἀχαιΐη, ἡ: Achaea (place) 6
βοηθέω: to come to aid, help, assist, (dat) 19
δέμω: to build, 11
διασφάξ, -φάγος, ἡ: ravine, gorge, 3
δισ-μύριοι, -αι, -α: twenty thousand, 4
δισ-χίλιοι, -αι, -α: two thousand, 6
Δύρας, ὁ: Dryas river, 1
ἐκ-δίδωμι: to give up, surrender, render, 7
Ἐνιῆνες, οἱ: the Enienes, 3
εὐρύς, -έα, -ύ: wide, broad, 8
Ἡρακλέης, -εος ὁ: Heracles, 5
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσσαλίη, ἡ: Thessaly, 19
καίω: to light, kindle, burn, 1
κάρτα: very, extremely, strongly, 5
κεῖμαι: to lie down, 15
κόλπος, ὁ: bay; curve, lap, bosom, 14
κώμη, ἡ: town, country town, 2
Μέλας, Μέλανος, ὁ: Black river, 2
μεσημβρίη, ἡ: mid-day, noon; south, 6
μεταξύ: between, among 12
Μηλίς, ίδος, ἡ: Malis, 2
οἰκίη, ἡ: a house, home, dwelling, 2
πεδεινός, -ή, -όν: flat, level, 1
πέντε: five, 8
πεντε-καί-δεκα: fifteen, 3
πέτρη, ἡ: rock, ledge, cliff, 1
περι-κλήίω: to shut in around, 3
πλέθρον, τό: a plethron (=100 feet), 2
πολίζω: to build (a city), found, 3
ῥηχίη, ἡ: surf, break of the waves, 2
σέβομαι: to worship, revere, 2
Σπερχειός, ὁ: Spercheus river, 2
τέμενος, τό: a sacred district, temple, 2
Τρηχίνιος, -η, -ον: Trachinian, of Trachis, 8
Τρηχίς, -ῖνος, ἡ: Trachis (town) 6
ὕπ-ώρειη, ἡ: base or foot (of a mountain), 2
ὑψηλός, -ή, -όν: high, lofty, high-raised, 7
Φοῖνιξ, -ικος, ἡ: Phoenix (stream), 5

---

3 Ταῦτα: *these (are) the affairs…*; i..e in sum i.e. in a race; acc. of extent of degree
4 ἤιε: 3rd sg. impf. ἔρχομαι
ἐν τῷ: *in which…*; relative
5 ἀνὰ πᾶσαν ἡμέρην: *day by day*; distributive
6 τῇ μὲν…τῇ δὲ: *here (it is)…and there (it is);* 'in this place….in that place'
7 καὶ: *actually, in fact*; adverbial
ὄρεα: neuter pl. ὄρος is subj. of 3rd sg. verb
10 ἰόντι: *for one going*; dat. sg. pple ἔρχομαι
παρ᾽ ἣν: *beside which…*; relative
11 ῥέων: nom. sg. pres. pple ῥέω
ἐκδιδοῖ: *discharges*; 3rd sg. pres. ἐκδίδωμι
12 ἄλλος ποταμὸς: *(there is) another river*
τῷ: *to which*; 'to which' dat. of possession
13 κεῖται: *is given*; 'is placed' pres. pass.
τὸν βοηθέοντα: *which helping…*; relative + pres. pple governing a dat. object; the acc. is subject of inf. ἀναφανῆναι
καιομένῳ: *(while) being burned (alive)*
λόγος ἐστὶ: *there is a story that...*
14 ἀναφανήναι: *to have appeared*; aor. pass.
16 πέντε στάδια ἀπέχει: *is 5 stades from..*; acc. of extent
17 ταύτῃ: *in this place, here*
πάσης…χώρης ταύτης: partitive gen.
18 κατ᾽ ἃ: *on which, over which*
πεπόλισται: pf. pass. πολίζω
20 τὸ: *which…*; relative
21 μεσαμβρίην: *south*; directional
24 ὃς: *which…*; relative
25 κατὰ δὲ τὸν Φοίνικα: *near…*
ἐστί: *it is*
26 δέδμηται: pf. pass. δέμω
27 ἐν δὲ τῷ: *and within which*; relative
28 τῇ: *to which…*

οὔνομα Ἀνθήλη κεῖται, παρ᾽ ἣν δὴ παραρρέων ὁ Ἀσωπὸς ἐς θάλασσαν ἐκδιδοῖ, καὶ χῶρος περὶ αὐτὴν εὐρύς, ἐν τῷ Δήμητρός τε ἱρὸν Ἀμφικτυονίδος ἵδρυται καὶ ἕδραι εἰσὶ Ἀμφικτύοσι καὶ αὐτοῦ τοῦ Ἀμφικτύονος ἱρόν.

201 Βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ, οἱ δὲ [δὴ] Ἕλληνες ἐν τῇ διόδῳ. καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων Θερμοπύλαι, ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοίκων Πύλαι. ἐστρατοπεδεύοντο μέν νυν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι, ἐπεκράτεε δὲ ὃ μὲν τῶν πρὸς βορῆν ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος, οἳ δὲ τῶν πρὸς νότον <τε> καὶ μεσαμβρίην
202 φερόντων τὸ ἐπὶ ταύτης τῆς ἠπείρου. ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ, Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων, ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης εἴκοσι καὶ ἑκατόν, καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης χίλιοι· τοσοῦτοι μὲν Ἀρκάδων, ἀπὸ δὲ Κορίνθου τετρακόσιοι καὶ ἀπὸ Φλειοῦντος διηκόσιοι καὶ Μυκηναίων ὀγδώκοντα. οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν, ἀπὸ δὲ Βοιωτῶν
202 Θεσπιέων τε ἑπτακόσιοι καὶ Θηβαίων τετρακόσιοι. πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ καὶ Φωκέων χίλιοι. αὐτοὶ γὰρ σφέας οἱ Ἕλληνες ἐπεκαλέσαντο, λέγοντες δι᾽ ἀγγέλων ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἶεν ἡμέρην, ἡ θάλασσά τέ σφι εἴη ἐν φυλακῇ ὑπ᾽ Ἀθηναίων τε φρουρεομένη καὶ Αἰγινητέων καὶ τῶν ἐς τὸν
2 ναυτικὸν στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα ἀλλ᾽ ἄνθρωπον, εἶναι δὲ θνητὸν οὐδένα οὐδὲ ἔσεσθαι τῷ κακὸν ἐξ ἀρχῆς

Αἰγινήτης, ὁ: an Aeginetan, from Aegina, 3
Ἀμφικτυονίς, -νίδος: (f. adj.) Amphictyonid, 1
Ἀμφικτύων, -τύνος, τό: Amphictyon, 4
Ἀνθήλη, ἡ: Anthele (town) 2
Ἀρκαδίη, ὁ: Arcadia, 2
Ἀρκάς, Ἀρκάδος, ὁ: Arcadian, 2
Ἀσωπός, ὁ: Asopus river, 6
Βοιωτοί οἱ: the Boeotians, 2
βορέης, -εω, ὁ: North wind, 8
Δημήτηρ, -τρος, ἡ: Demeter; grain, 2
διηκόσιοι, -αι, -α: two hundred, 10
δι-οδος, ὁ: passageway, pass, way through, 1
ἑκάτερος, -α, -ον: each of two, either, 10
ἑκατόν: a hundred, 16
ἕδρη, ἡ: setting, seat; dwelling, 3
ἐκ-δίδωμι: to give up, surrender, render, 7
ἐπι-καλέω: to call upon, summon, 5
ἐπί-κλητος, -ον: called upon (as allies), 1
ἐπι-κρατέω: to rule over, overpower, 7
ἑπτα-κόσιοι, -αι, -α: seven hundred, 1
εὐρύς, -έα, -ύ: wide, broad, 8
ἥκω: to have come, be present, 10
ἥμισυς, -υ: half, 8
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσπιέες, οἱ: the Thespians, 6
Θηβαῖοι, οἱ: the Theban, 6
θνητός, -ή, -όν: liable to death, mortal, 3
ἱδρύω: to (make) sit, settle, establish, 4
κεῖμαι: to lie down, 15
Κόρινθος, ὁ: Corinth, 1
λοιπός, -ή, -όν: remaining, the rest, 15
Λοκροί, οἱ: the Locrians, 3
Μαντίνης ὁ: man of Mantinea, a Mantinean 1
μεσημβρίη, ἡ: mid-day, noon; south, 6
μέχρι: up to; until, as long as (+ gen.), 16
Μηλίς, ίδος, ἡ: Malis, 2
Μυκηναῖοι, οἱ: Mycenaeans, 1
νότος, ὁ: south wind, south, 7
ὀγδοήκοντα: eighty, 2
ὁπλίτης, -ου ὁ: hoplite, armed soldier, 4
Ὀπούντιος –η, -ον: Opuntian, 1
Ὀρχομενός, ὁ: Orchomenus, 1
παν-στατιή, ἡ: in full force, all the army 1
παρα-ρρέω: to flow beside, 1
Πελοποννήσος, ὁ: Peloponnesus, 9
περί-οικος, -ον: neighboring, living round, 2
πρό-δρομοι, οἱ: advance-guard, 2
προσ-δόκιμος, -ον: expected, looked for, 1
Πύλαι, αἱ: Pylae ("the Gates"), 2
Σπαρτιήτης, ὁ: a Spartan, 19
στρατοπεδεύω: to encamp, take a position, 12
Τεγεήτης, ὁ: man from Tegea, a Tegean, 1
τετρακόσιοι, -αι, -α: four hundred, 10
Τρηχίνιος, -η, -ον: Trachinian, of Trachis, 8
Τρηχίς, -ῖνος, ἡ: Trachis (town) 6
τριηκόσιοι, -αι, -α: three hundred, 3
ὑπο-μένω: to await, remain; withstand, 9
Φλειούς, -οῦντος, ὁ: Phleus, 1
φρουρέω: to guard, keep watch, 4
Φωκεύς, -έος, ὁ: a Phocian, 8
χωρίον, τό: place, spot, region, 14

---

1 **κεῖται**: *is given*; 'is placed' pres. pass.
παρ' ἣν: beside which
2 **ἐν τῷ**: *in which*; relative
3 **ἕδραι εἰσὶ Ἀμφικτύοσι**: *Amphictyons have seats*; dat. of possession
4 **αὐτοῦ…ἱρόν**: *temple of Amphictyon himself*
5 **τῆς Μηλίδος**: *in Malis*; partitive gen.
7 **ὑπὸ τῶν πλεόνων Ἑλλήνων**: *by most of the Greeks*; gen. agent
10 **ἐπεκράτεε**: *controlled*; impf. ἐπικρατέω
ὃ μὲν: *he…*; i.e. Xerxes
πάντων: *everything*; gen. obj.
11 **οἳ δὲ**: *they (controlled)* + gen. object
12 **τὸ ἐπὶ ταύτης τῆς ἠπείρου**: *upon this mainland*; adverbial
ἦσαν: 3rd pl. impf. εἰμί
13 **ὑπομένοντες**: waiting
19 **παρῆσαν**: 3rd pl. impf. πάρ-ειμι
πρὸς τούτοισι: *in addition to these*
21 **πανστρατιῇ**: *in full force*
23 **ἐπεκαλέσαντο**: aor. mid. ἐπικαλέω
ὡς…ἥκοιεν: *that…have come*; 3rd pl. pres. opt. ἥκω in ind. discourse, secondary seq.
25 **πᾶσαν ἡμέρην**: *for…*; acc. duration
εἶεν…εἴη: 3rd pl. and sg. opt. εἰμί ind. disc.
σφι: *for them*; dat. of interest
26 **ὑπ'**: *by…*; gen. of agent
27 **ταχθέντων**: aor. pass. pple τάσσω
σφι…οὐδέν: *for them there was nothing fearful;* i.e. nothing to be feared
28 **εἶναι**: *that…*; τὸν ἐπιόντα is acc. subj.
ἐπιόντα: pple ἐπέρχομαι is acc. subject
ἐπὶ: *against*
29 **εἶναι**: *that there is…;* + fut. inf. εἰμί
τῷ…γινομένῳ: *with whom…born from the beginning*; dat. of compound verb

γινομένῳ οὐ συνεμίχθη, τοῖσι δὲ μεγίστοισι αὐτῶν μέγιστα. ὀφείλειν ὧν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητόν, ἀπὸ τῆς δόξης πεσεῖν [ἄν]. οἳ δὲ ταῦτα πυνθανόμενοι ἐβοήθεον ἐς
204 τὴν Τρηχῖνα. τούτοισι ἦσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλιας ἑκάστων, ὁ δὲ θωμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν Λεωνίδης ὁ Ἀναξανδρίδεω τοῦ Λέοντος τοῦ Εὐρυκρατίδεω τοῦ Ἀναξάνδρου τοῦ Εὐρυκράτεος τοῦ Πολυδώρου τοῦ Ἀλκαμένεος τοῦ Τηλέκλου τοῦ Ἀρχέλεω τοῦ Ἡγησίλεω τοῦ Δορύσσου τοῦ Λεωβώτεω τοῦ Ἐχεστράτου τοῦ Ἤγιος τοῦ Εὐρυσθένεος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, κτησάμενος τὴν βασιληίην ἐν Σπάρτῃ
202 ἐξ ἀπροσδοκήτου. διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος περὶ τῆς βασιληίης. ἀποθανόντος δὲ Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληίη, καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου (οὗτος γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς) καὶ δὴ καὶ εἶχε Κλεομένεος
2 θυγατέρα. ὃς τότε ἤιε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας τριηκοσίους καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες· παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεοντιάδης ὁ
3 Εὐρυμάχου. τοῦδε δὲ εἵνεκα τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν· παρεκάλεε ὧν ἐς τὸν πόλεμον, θέλων εἰδέναι εἴτε συμπέμψουσι εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. οἳ δὲ ἄλλα φρονέοντες ἔπεμπον.

ἀδελφεός, ὁ: a brother, 17
Ἀλκαμένης, -εος, ὁ: Alcamenes, 1
ἀνα-βαίνω: to go up, climb, mount, 12
Ἀναξανδρίδης -εος, ἡ: Anaxandrides, 3
Ἀνάξανδρος -ου, ἡ: Anaxandrus, 1
ἄ-παις, -αιδος, ὁ, ἡ: childless, 2
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπο-λέγω: to pick out, choose; decline, 5
ἀ-προσ-δόκητος, -ον: unexpected, 1
ἀριθμός, ὁ: number, amount, quantity, 17
Ἀριστοδήμος, ὁ: Aristodemus, 5
Ἀριστομάχος, ὁ: Aristomachus, 1
Ἀρχέλεως, -εω, ὁ: Archelaus (male) 1
γόνος, ὁ: offspring, a child, 6
βοηθέω: to come to aid, help, assist, (dat) 19
διξός, -ή, -όν: twofold, double (Att. διττός), 3
διότι: because, on account of which, 2
δόξα, ἡ: opinion, reputation, honor, glory, 4
Δορύσσος, ὁ: Doryssus, 1
Δωριεύς, -έος, ὁ: Dorieus (male) 5
εἵνεκα: for the sake or because of, (gen.), 18
εἴτε: either...or; whether...or, 14
ἐμ-φανής, -ες: open, public, visible, 1
ἐπ-ελαύνω: to drive upon, 3
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἔρσην, -ενος, ὁ: male, masculine, 4
Εὐρυκρατίδης, -ίδεω, ὁ: Eurycratides, 1
Εὐρυκράτης, -εος, ὁ: Eurycrates, 1
Εὐρύμαχος, ὁ: Eurymachus, 2
Εὐρύσθενης, -εος, ὁ: Eurysthenes, 1
Ἐχέστρατος, -ου, ὁ: Echestratus, 1
ἡγέομαι: to lead; consider, think, believe, 11
Ἡγησίλεως, -εω, ὁ: Hegesilaus (male) 1
Ἤγις, -ιος, ὁ: Agis (male) 1
Ἡρακλέης, -εος ὁ: Heracles, 5
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θηβαῖοι, οἱ: the Theban, 6
θνητός, -ή, -όν: liable to death, mortal, 3
θυγάτηρ, ἡ: a daughter, 14
θωμάζω: wonder, marvel, (Att. θαυμάζω) 12
κατ-ηγορέω: to accuse, speak against, 2
κατ-ίστημι: set down; appoint, establish, 18
Κλεόδαιος, -ου ὁ: Cleodaeus, 1
Κλεομβρότος, -ου ὁ: Cleombrotus, 1
Κλεομένης, -εος, ὁ: Cleomenes, 4
Λεοντιάδης, -εω, ὁ: Leontiades (male) 3
Λεωβώης, -εω, ὁ: Leobotes, 1
Λέων, -οντος, ὁ: Leon (male) 1
Λεωνίδης, ὁ: Leonidas, 20
λογίζομαι: to consider, reckon, calculate, 8
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μηδίζω: to side with Medes; make a Mede, 8
νεώτατος, -α, -ον: youngest, 2
οὐκ-έτι: no more, no longer, no further, 2
παρα-καλέω: to summon, call to, 2
παρα-λαμβάνω: to receive, undertake, 16
πίπτω: to fall, fall down, 18
Πολύδωρος, ὁ: Polydorus, 1
πρέσβυς, -εως, ὁ: old, old (man), 10
Σικελίη, ἡ: Sicily, 14
Σπάρτη, ἡ: Sparta, 16
σπουδή, ἡ: earnestness, effort, enthusiasm, 2
στράτευμα, τό: an expedition, campaign, 8
συμ-μαχίη, ἡ: an alliance, 4
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
συμ-πέμπω: to send along with, 1
τελευτάω: to end, complete, finish; die, 18
Τηλέκλος, ὁ: Teleclus, 1
Τρηχίς, -ῖνος, ἡ: Trachis (town) 6
τριηκόσιοι, -αι, -α: three hundred, 3
Ὕλλος, ὁ: Hyllus, 1
φρονέω: to think, to be wise, prudent, 7
φροντίς, -ιδός, ἡ: deliberation, thought, 1

---

1 τοῖσι δὲ μεγίστοι αὐτῶν μέγιστα: *with the greatest of them the greatest evils are mixed*
2 ὀφείλειν: *ought*; + inf., elsewhere 'owe,'
τὸν ἐπελαύνοντα: *the one…*; acc. subject
3 ὡς…θνητόν: *since he is…*; ὡς is causal
πεσεῖν ἄν aor. inf. πίπτω with ὀφείλειν
ἐβοήθεον ἐς: *came to…to help*
4 τούτοισι ἦσαν: *to these were;* dat. poss.
5 κατὰ πόλιας ἑκάστων: *according to each one's cities*; κατά distributive: 'city by city'
μάλιστα: *in particular*; superlative adv.
παντὸς…στρατεύματος: obj. ἡγεόμενος
6 ὁ…τοῦ…τοῦ…: *son of …son of…son of…*
12 ἐξ ἀπροσδοκήτου: *unexpectedly*
13 διξῶν…ἀδελφεῶν…: gen. absolute
14 ἀπελήλατο: aor. mid., Leonidas subject
τῆς φροντίδος: *from…*; abl. separation
18 ἐγεγόνεε: plpf. γίνομαι
19 καὶ δὴ καὶ: *in particular*; 'and indeed also'
20 ἤιε: impf.. ἔρχομαι
21 κατεστεῶτας: *being appointed*; pf. pple
τοῖσι: *to whom*; relative, dat. of possession
27 εἰδέναι: inf. οἶδα
ἀπ-ερέουσι: dat. pl. fut. pple προλέγω

206 τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέπεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες οἱ ἄλλοι σύμμαχοι στρατεύωνται μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δέ, Κάρνεια γάρ σφι ἦν ἐμποδών, ἔμελλον ὁρτάσαντες καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ κατὰ
2 τάχος βοηθέειν πανδημεί. ὡς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα· οὐκ ὦν δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον ἔπεμπον τοὺς προδρόμους.

207 Οὗτοι μὲν δὴ οὕτω διενένωντο ποιήσειν· οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταρρωδέοντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· Λεωνίδης δέ, Φωκέων καὶ Λοκρῶν περισπερχεόντων τῇ γνώμῃ ταύτῃ αὐτοῦ τε μένειν ἐψηφίζετο πέμπειν τε ἀγγέλους ἐς τὰς πόλιας κελεύοντάς σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτῶν ὀλίγων
208 στρατὸν τὸν Μήδων ἀλέξασθαι. ταῦτα βουλευομένων σφέων ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα ἰδέσθαι ὁκόσοι εἰσὶ καὶ ὅ τι ποιέοιεν. ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ ὡς ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης ἐὼν γένος Ἡρακλείδης.
2 ὡς δὲ προσήλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὖ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι

ἀλέξω: to keep off, ward off, defend, 2
ἁλίζω: to collect, gather together, 13
ἀμφί: on both sides, 6
ἀν-ορθόω : rebuild, set upright, 1
ἀπ-αλλαγή, -ής: departure, release, relief, 1
βοηθέω: to come to aid, help, assist, (dat) 19
βουλεύω: to deliberate, plan, take counsel, 19
γένος, -εος, ὁ: race, family, lineage, stock, 7
δια-κρίνω: divide, decide, settle; distinguish 5
δια-νοέομαι: to intend, think, consider, 1
ἐμ-ποδών: in the way, in one's path, 9
ἐπειδή: when, after, since, because, 10
ἐπι-βοηθέω: to come to help, come to aid, 1
ἐσ-βολή, ἡ: inroad, invasion, `attack, 12
ἔσω: inwards, inside (+ gen.) 4
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
Ἡρακλείδη, ἡ: a Heraclid, 1
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσσαλίη, ἡ: Thessaly, 19
ἱππεύς, ὁ: a horseman, charioteer 4
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
Κάρνεια, τά: Carneia (festival for Apollo), 1
κατα-ρρωδέω: to fear, dread, 14
κατά-σκοπος, ὁ: spy; scout, look-out, 7
κατ-οράω: to look down, perceive, 4
λοιπός, -ή, -όν: remaining, the rest, 15
Λοκροί, οἱ: the Locrians, 3
μανθάνω: to learn, understand, 18
μη-δέ: and not, but not, nor, 18
μηδίζω: to side with Medes; make a Mede, 8
Μῆδος, ὁ: Mede, Median, 13
νοέω: to think, have in mind, suppose, 4
ὁκόσος, -η, -ον: how much, many, or great, 4
Ὀλυμπιάς, -άδος ἡ: Olympic games, 1
ὁρτάζω: to celebrate a festval (**ἑορτάζω**) 1
παν-δημεί: in a mass, with the whole people, 3
πέλας: near, close to (gen); neighbor, other, 2
Πελοποννήσιος, -η, -ον: Peloponnesian, 4
Πελοποννήσος, ὁ: Peloponnesus, 9
περι-σπερχέω: to be greatly angered, 1
πρό-δρομοι, οἱ: advance-guard, 2
προσ-ελαύνω: to drive to, ride to, 1
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 19
στρατόπεδον, τό: camp, encampment, 10
συμ-πίπτω: to come to blows, happen, 3
τάχος, τό: speed, swiftness, 8
ὑπερ-βάλλω: to surpass, outdo, overshoot, 5
Φωκεύς, -έος, ὁ: a Phocian, 8
ψηφίζομαι: to vote, 1

---

1 **ἵνα…στρατεύωνται…μηδίσωσι**: *so that…may march*; purpose clause, 3rd pl. pres. subjunctive στρατεύομαι, μηδίζω
2 **ὁρῶντες**: ὁράοντες; pres. pple ὁράω
ἤν: *if…*
3 **ὑπερβαλλομένους**: *postponing*; 'surpassing'
4 **μετὰ δέ**: *then, next*
4 **σφι…ἐμποδών**: *in their way*; dat. interest
5 **ὁρτάσαντες**: aor. pple (ἑ)ορτάζω
λιπόντες: aor. pple λείπω
κατὰ τάχος: *quickly*; 'in speed'
7 **ἐνένωντο**: *had intended*; plpf. mid. νοέω
ἦν…συμπεσοῦσα: *the Olympiad had happened*; + dat. periphrastic plpf. (impf. εἰμί + aor. συμπίπτω)
8 **κατὰ τὠυτὸ**: *in the same manner*; τὸ αὐτὸ
διακριθήσεσθαι: fut. pass. inf. διακρίνω
τὸν…πόλεμον: acc. subject
11 **διενένωντο**: plpf. mid. διανοέω
12 **πέλας**: *near* + gen.
14 **ἐδόκεε**: *it seemed good*; + dat. reference
ἐλθοῦσι: dat. pl. aor. pple ἔρχομαι
15 **Φωκέων…περισπερχεόντων**: gen. abs.
16 **τῇ γνώμῃ ταύτῃ**: *by…*; dat. of cause
αὐτοῦ: *there*
17 **τὰς πόλιας**: acc., Att. τὰς πόλεις
18 **ὡς…ὀλίγων**: *since…*; ὡς + pple is causal in sense
19 **ἀλέξασθαι**: *to ward off*; inf. of purpose
20 **κατάσκοπον ἱππέα**: *mounted scout*
ἰδέσθαι: *to see*; inf. of purpose
εἰσὶ: *there are*; pres. εἰμί retaining its tense for vividness in ind. quest., secondary seq.
21 **ποιέοιεν**: *they were doing*; opt. replacing an impf. ind.; ind. quest., secondary seq.
ἀκηκόεε: plpf. ἀκούω
ἐὼν: *(while) being…*; i.e. Xerxes
ὡς: *that*
21 **ἁλισμένη εἴη**: periphrastic pf. pass. opt. (pf. pass. ἁλίζω + opt. εἰμί), ind. disc.
εἴησαν: *quickly*; 'in speed'
22 **ἡγεμόνας…εἴησαν**: *that the leaders were*
γένος: *in lineage*; acc. of respect
24 **ἐθηεῖτο, κατώρα**: impf θηέομαι κατόράω
26 **τεταγμένους**: pf. pass. pple τάσσω
τὸ: *which…*; relative
27 **οἷα τε ἦν**: *it was not possible*; κατόράω
τοὺς ἔξω…τοῖσι: *those outside…whose*

πρὸ τοῦ τείχεος τὰ ὅπλα ἔκειτο· ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. ταῦτα δὴ θεώμενος ἐθώμαζε καὶ τὸ πλῆθος ἐμάνθανε. μαθὼν δὲ πάντα ἀτρεκέως ἀπήλαυνε ὀπίσω κατ᾽ ἡσυχίην· οὔτε γάρ τις ἐδίωκε ἀλογίης τε ἐκύρησε πολλῆς· ἀπελθών τε ἔλεγε
209 πρὸς Ξέρξην τά περ ὀπώπεε πάντα. ἀκούων δὲ Ξέρξης οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν, ὅτι παρασκευάζοιντο ὡς ἀπολεόμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ᾽ αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρί-
2 στωνος ἐόντα ἐν τῷ στρατοπέδῳ· ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τούτων, ἐθέλων μαθεῖν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. ὁ δὲ εἶπε "Ἤκουσας μὲν καὶ πρότερόν μευ, εὖτε ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τούτων, ἀκούσας δὲ γέλωτά με ἔθευ λέγοντα τῇ περ ὥρων ἐκβησόμενα πρήγματα ταῦτα. ἐμοὶ γὰρ τὴν ἀληθείην ἀσκέειν
3 ἀντία σεῦ, ὦ βασιλεῦ, ἀγὼν μέγιστος ἐστί. ἄκουσον δὲ καὶ νῦν· οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχησόμενοι ἡμῖν περὶ τῆς ἐσόδου καὶ ταῦτα παρασκευάζονται. νόμος γάρ σφι ἔχων οὕτω ἐστί· ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ, τότε
4 τὰς κεφαλὰς κοσμέονται. ἐπίστασο δέ, εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων τὸ σέ, βασιλεῦ, ὑπομενέει χεῖρας ἀνταειρόμενον· νῦν γὰρ πρὸς βασιληίην τε καλλίστην πόλιν τῶν ἐν
5 Ἕλλησι προσφέρεαι καὶ ἄνδρας ἀρίστους.᾽ κάρτα τε δὴ Ξέρξῃ ἄπιστα ἐφαίνετο τὰ λεγόμενα [εἶναι] καὶ δεύτερα

ἀγών, ὁ: competition, struggle; assembly 2
ἀλήθειη, ἡ: truth, 7
ἀλογίη, ἡ: disregard, lack of attention, 2
ἀντ-αείρω: to raise/rise against (Att. **-αίρω**) 4
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπ-έρχομαι: to go away, depart, 4
ἄ-πιστος, -ον:, ὁ: untrustworthy, distrustful, 2
Ἀρίστων, -ωνος, ὁ: Ariston, 4
ἀσκέω: to exercise, practice; fashion, adorn, 1
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
βασιληίη, -ης, ἡ: a kingship, rule, kingdom 33
γελοῖος, -η, -ον: laughable, ridiculous, 1
γέλως, -ωτος, ὁ: laughter, 4
γυμνάζω: to train naked, exercise 1
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
διώκω: to pursue, follow; prosecute, 3
δύναμις, -ιος, ἡ: power, wealth, strength, 10
εἰρωτάω: ask, inquire, question (**ἐρωτάω**) 4
ἐκ-βαίνω: to step out; come to pass, turn out, 5
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἔσ-οδος, ὁ: entrance, 12
εὖτε: when, at the time when, 2
ἡσυχίη, ἡ: idle, silence, quiet, stillness, rest, 5
θωμάζω: wonder, marvel, (Att. **θαυμάζω**) 12
κάρτα: very, extremely, strongly, 5
κατα-στρέφω: overturn; *mid*. subdue, 16
κεῖμαι: to lie down, 15
κινδυνεύω: to risk, venture; *imp*. it is likely, 1
κόμη, ἡ: hair, 2
κοσμέω: to order, arrange, adorn, 3
κτενίζω: to comb (one's hair), 1
κύρω: attain, gain, meet with +gen (**κυρέω**) 1
μανθάνω: to learn, understand, 18
μέγιστος, -η, -ον: greatest, best, longest, 16
μετα-πέμπω: to send after or for, summon, 3
ὁράω: to see, look, behold, 37
παρα-σκευάζω: to prepare, get ready, 15
προσ-φέρω: to bring to, apply to, 4
Σπάρτη, ἡ: Sparta, 16
στρατοπεδεύω: to encamp, take a position, 12
συμ-βάλλω: contribute; guess, join battle, 11
ὑπο-μένω: to await, remain; withstand, 9
ψυχή, ἡ: breath, life, spirit, soul, 12

---

1 **ἔκειτο**: *were placed*; impf. κεῖμαι
ἔτυχον…τεταγμένοι: *happened to have been posted*; aor. τύγκάνω + pf. pple
τοῦτον…χρόνον: *during…*; acc. duration
2 **τοὺς μὲν…τοὺς δὲ**: *some…others*
ὥρα: 1st sg. impf. ὁράω
4 **μαθὼν**: aor. pple μανθάνω
5 **ἀπήλαυνε**: *rode away*
κατ᾽ ἡσυχίην: *in silence*
7 **τά**: *the (things) which…*; relative
ὀπώπεε: 3rd sg. plpf. ὁράω
8 **εἶχε**: *was able*; impf. ἔχω + inf.
συμβαλέσθαι: *to understand*; aor. inf.
τὸ ἐόν: *what was the case*; i.e. the truth
ὅτι: *(namely) that*
παρασκευάζοιντο: pres. opt. in ind. disc.
ὡς: *so as…;* ὡς+ fut. pple, purpose
9 **ἀπολέομενοι, ἀπολέοντες**: pass. and act. fut. pple ἀπόλλυμι
κατὰ δύναμιν: *within their power*; i.e. insofar as they were able
9 **αὐτῷ**: *to him*; dat. of reference
γελοῖα: neuter pl. acc. direct object
10 **ἐφαίνοντο**: supply Spartans as subject
11 **εἰρώτα**: 3rd sg. impf. εἰρωτάω
12 **ἕκαστα**: neut. pl. acc. direct object
μαθεῖν: aor. inf. μανθάνω
τὸ ποιεύμενον: *the thing being done*; pass.
πρὸς: *by…*; 'from' gen. of agent as source
13 **ὁ δὲ**: *and he…*; i.e. Demaratus
εἶπε: 3rd sg. aor. λέγω
Ἤκουσας: 2nd sg. aor. ἀκούω
μευ: *me*; gen. of source, obj. with ἀκούω
14 **ὁρμῶμεν**: ὁρμάομεν, 1st pl. pres. ὁρμάω
ἐπὶ: *against*
γέλωτα: *a joke, laughingstock*; acc. sg.
15 **ἔθευ**: *you made*; + double acc γέλωτα με; ἔθε(σ)ο → Att. ἔθου, 2nd aor. mid. τίθημι
γέλωτα: acc. sg. object of λείπω
15 **λέγοντα τῇ**: *saying (the way) in which…*
ὥρων: εὔραον, 1st sg. impf. ὁράω
16 **ἐκβησόμενα**: fut. pple ἐκβαίνω
ἐμοὶ: *for me*; dat. of interest
ἀσκέειν: i.e. to tell the truth, predicate
17 **ἀντία σεῦ**: *in front of you*; adv. acc. + gen.
ἀγὼν μέγιστος: *(my) greatest task is…*
ἄκουσον: aor. imperative
18 **ἀπίκαται**: pf. ἀπικνέομαι
20 **ἔχων οὕτω**: *is so (disposed);* ἔχω + adv.
τῇ ψυχῇ: *their lives*; obj. of κινδυνεύειν
21 **ἐπίστασο**: imperative sg. ἐπίσταμαι
22 **τὸ ὑπομένον**: *the (rest) awaiting*; pple
καταστέψε(σ)αι: 2nd sg. fut. mid.
25 **προσφέρε(σ)αι**: *you are attacking*; 2nd sg.

ἐπειρώτα ὅντινα τρόπον τοσοῦτοι ἐόντες τῇ ἑωυτοῦ στρατιῇ μαχήσονται. ὁ δὲ εἶπε· ‘Ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι ταύτῃ ἐκβῇ τῇ ἐγὼ λέγω.’
210 ταῦτα λέγων οὐκ ἔπειθε τὸν Ξέρξην. τέσσερας μὲν δὴ παρῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι· πέμπτῃ δέ, ὡς οὐκ ἀπαλλάσσοντο ἀλλά οἱ ἐφαίνοντο ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεώμενοι μένειν, πέμπει ἐπ᾽ αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθείς, ἐντειλάμενος σφέας ζωγρήσαντας
2 ἄγειν ἐς ὄψιν τὴν ἑωυτοῦ. ὡς δ᾽ ἐσέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί, ἄλλοι δ᾽ ἐπεσήισαν, καὶ οὐκ ἀπήλαυνον, καίπερ μεγάλως προσπταίοντες. δῆλον δ᾽ ἐποίευν παντί τεῳ καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. ἐγίνετο δὲ ἡ συμβολὴ
211 δι᾽ ἡμέρης. ἐπείτε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήισαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήισαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεύς, τῶν ἦρχε Ὑδάρ-
2 νης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς ἀλλὰ τὰ αὐτά, ἅτε ἐν στεινοπόρῳ τε [χώρῳ] μαχόμενοι καὶ δόρασι βραχυτέροισι χρεώμενοι ἤ περ
3 οἱ Ἕλληνες, καὶ οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἁλέες φεύγεσκον δῆθεν, οἱ δὲ βάρβαροι ὁρῶντες φεύγοντας βοῇ τε καὶ πατάγῳ ἐπήισαν, οἳ δ᾽ ἂν καταλαμβανόμενοι ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι, μεταστρεφόμενοι δὲ κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν

ἀ-βουλίη, ἡ: poor advise, thoughtlessness, 2
ἀ-θάνατος, -ον: immortal, undying, 10
αἰεί: always, forever, in every case, 17
ἁλής, -ές: all together, all at once, 13
ἀν-αίδείη, ἡ: shamelessness, lack of respect, 1
ἀν-αρίθμητοι, -α: countless, 2
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπο-διδράσκω: to run away, flee, escape, 2
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
βοή, ἡ: shout, 6
βραχύς, -έα, -ύ: short, brief, 9
δῆθεν: really, (implies falsity of speech), 2
δῆλος, -η, -ον: clear, evident, conspicuous, 6
δια-χράομαι: use constantly; destroy (dat) 5
δόρυ, δόρατος, τό: shaft of a spear, spear, 5
ἐκ-βαίνω: to step out; come to pass, turn out, 5
ἐκ-δέκομαι: to receive from, take up, 3
ἐλπίζω: to hope for, look for, expect, 7
ἐν-τέλλομαι: to command, enjoin, 10
ἐν-τρέπω: to turn (about); turn towards, 1
ἐξ-επίσταμαι: to know thoroughly, 5
ἐπ-ειρωτάω: inquire of, question, consult, 4
ἐπ-εσ-έρχομαι: to go out against or through, 1
ἐσ-πίπτω: to fall into, 4
εὐ-πετέως: easily, without difficulty, 2
ζωγρέω: to take alive, capture alive, 1
ἥκιστος, -η, -ον: least; not at all, 2
θυμόω: to make angry or impassioned, 4
καίπερ: although, albeit, 5
κατα-βάλλω: to store, throw down, 4
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κατ-εργάζομαι: to make, achieve; overcome 7
Κίσσοι, οἱ: the Cissians, 4
μεγάλως: greatly, mightily, 10
μετα-στρέφω: to turn about, turn round, 1
Μηδικος, -η, -ον: Median, of the Mede, 9
Μῆδος, ὁ: Mede, Median, 13
νῶτον, τό: the back, 2
ὄψις, -εως, ἡ: dream, vision, sight, 15
πάταγος, ὁ: noise, clatter, rattle, 1
παρ-ίημι: to allow, permit; pass or skip over, 7
πέμπτος, -η, -ον: fifth, 6
περι-έπομαι: to treat (with care), handle 3
προσ-πταίω: strike against, stumble; lose, 3
στενό-πορος, ὁ: narrow, with a narrow pass, 2
συμ-βολή, ἡ: battle, a coming together, 6
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
τέσσερες, -α: four, 12
τρηχέως: roughly, harshly (Att. τραχέως), 1
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
ὑπ-εξ-έρχομαι: to go out secretly, withdraw, 3
ὑπο-στρέφω: turn round, return, come back, 1
φεύγω: to flee, escape; 18
ψεύστης, -ες: lying, cheating; *subst*. liar, 1

---

1 ἐπειρώτα: 3rd sg. impf. ἐπ-ειρωτάω
ὅντινα τρόπον: *in what way*; adv. acc.
2 εμοὶ χρᾶσθαι: *(you) treat me as…*
ὡς: *as*
3 ἢν: *if…*; 3rd sg. aor. subj. ἐκβαίνω
ἐκβῇ: *turns out*; 3rd sg. aor. subj. ἐκβαίνω
3 ταύτῃ…τῇ: *in which way…in which*
4 ἔπειθε: impf. πείθω
5 παρῆκε: *he let…go by*; aor. παρ-ίημι
ἀποδρήσεσθαι: fut. inf. ἀπο-διδράσκω
πέμπτῃ δὲ (ἡμέρῃ): *on…*; dat. time when
6 οἱ: *to him*; i.e. to Xerxes, dat. of referenc
7 ἐπ᾽ αὐτοὺς: *against them*
8 θυμωθείς: *becoming angry*; ingressive aor.
ἐντειλάμενος: aor. pple ἐντέλλομαι
9 ἐσέπεσον: 3rd pl. aor. ἐσπίπτω
10 ἐπεσήισαν: impf. ἐπ-εσ-έρχομαι
11 δῆλον δ᾽ ἐποίευν: *they made (this) clear*
12 παντί τεῳ: *to everyone else*; τῷ → τινί
13 εἶεν: 3rd pl. opt. εἰμί in indirect disc.
14 ἐπεὶτε: *when*; ἐπεί
15 ὑπεξήισαν: impf. ὑπ-εξ-έρχομαι
ἐκδεξάμενοι: *taking up from (the Medes)*
16 ἐπήισαν: impf. ἐπ-έρχομαι
τοὺς: *whom…*; relative
ἀθανάτους: *the "Immortals"*; acc. pred.
16 τῶν: *whom*; gen. obj.
17 ὡς…κατεργασόμενοι: *on the grounds that…*; ὡς + fut. pple for alleged cause
18 συνέμισγον: *clashed*; + dat. compound
οὐδὲν πλέον ἐφέροντο: *they achieved nothing better…*; 'carried out'
τῆς στρατιῆς…: *than…*; gen. comparison
19 τὰ αὐτά: *the same*
ἅτε: *inasmuch as, since*; + pple is causal
20 χρεώμενοι: employing; pple χράομαι
ἤ περ: *than…*; after comparative βραχύς
21 ἔχοντες: *being able*; + aor. inf.
22 ἀξίως λόγου: *worthily of mention*
ἀποδεικνύμενοι…ἐξεπιστάμενοι: *showing themselves being throughly skilled…*
23 ἐντρέψειαν: *whenever they turned*; aor. opt
25 φεύγεσκον: *would flee*; σκ iterative impf.
ἂν…ὑπέστρεφον: *would turn*; interative

Περσέων· ἔπιπτον δὲ καὶ αὐτῶν τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου πειρώμενοι καὶ κατὰ τέλεα καὶ παντοίως προσβάλ-
212 λοντες, ἀπήλαυνον ὀπίσω. ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεται βασιλέα θηεύμενον τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου δείσαντα περὶ τῇ στρατιῇ. τότε μὲν οὕτω ἠγωνίσαντο, τῇ δ᾽ ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον. ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντες σφέας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρασθαι συνέ-
2 βαλλον. οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἦσαν, καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ ὄρος ἐτάχθησαν φυλάξοντες τὴν ἀτραπόν. ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ
213 τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον. ἀπορέοντος δὲ βασιλέος ὅ τι χρήσηται τῷ παρεόντι πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου ἀνὴρ Μηλιεὺς ἦλθέ οἱ ἐς λόγους ὡς μέγα τι παρὰ βασιλέος δοκέων οἴσεσθαι ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ ὄρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ ὑπομείναντας Ἑλλήνων. ὕστερον δὲ δείσας Λακεδαιμονίους ἔφυγε
2 ἐς Θεσσαλίην, καί οἱ φυγόντι ὑπὸ τῶν Πυλαγόρων τῶν Ἀμφικτυόνων ἐς τὴν Πυλαίην συλλεγομένων ἀργύριον ἐπεκηρύχθη. χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ ἐς Ἀντικύρην,
3 ἀπέθανε ὑπὸ Ἀθηνάδεω ἀνδρὸς Τρηχινίου. ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι᾽ ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω, ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἧσσον. Ἐπιάλτης μὲν οὕτω ὕστερον
214 τούτων ἀπέθανε· ἔστι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης

ἀγωνίζομαι: to contend, compete, fight, 2
ἀεθλέω, ὁ: contend (in battle), struggle, 1
Ἀθηνάδης, -εω, ὁ: Athenades (male) 2
αἰτίη, ἡ: cause, responsibility, blame, 13
ἀλλοῖος, -η, -ον: different, of another sort, 1
ἀμείνων, -ον: better, nobler, braver, 12
Ἀμφικτύων, -τύνος, τό: Amphictyon, 4
ἀνα-τρέχω: to run up, leap up, 1
ἀντ-αείρω: to raise/rise against (Att. **-αίρω**) 4
Ἀντικύρη, ἡ: Anticyra, 2
ἀπ-ελαύνω: to drive away, expel from, 10
ἀπο-κτείνω: to kill, slay, 3
ἀ-πορέω: to be at a loss, bewildered, 4
ἀργύριον, τό: silver; piece of silver, 4
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
ἀτραπός, ὁ: path, 11
δείδω: to fear, 12
δια-φθείρω: to destroy, corrupt, kill, 11
δύναμαι: to be able, can, be capable, 13
ἐλπίζω: to hope for, look for, expect, 7
ἐν-οράω: to perceive in, foresee, 2
Ἐπιάλτης, ὁ: Ephialtes, 8
ἐπι-κηρύσσω: to issue (acc) on (**ἐπί**) 2
ἔσ-οδος, ὁ: entrance, 12
εὑρίσκω: to find, discover, devise, invent, 19
Εὐρύδημος, ὁ: Eurydemus, 1
ἥσσων, -ον: less, weaker, inferior, 5
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσσαλίη, ἡ: Thessaly, 19
θρόνος, ὁ: chair, seat, 12
κατα-τραυματίζω: to wound, disable, 1
κατ-έρχομαι: to return; descend, 2
κοσμέω: to order, arrange, adorn, 3
μέντοι: however, nevertheless; certainly, 13
μέρος, -έος, τό: a part, share, portion, 1
Μηλιέες, οἱ: the Malians, 7
Ὀνήτης, ὁ: Onetes (male), 4
ὄπισθεν: behind; in the future; as prep. (gen) 8
παντοῖος, -η, -ον: of all sorts, various, 9
παρα-λαμβάνω: to receive, undertake, 16
πίπτω: to fall, fall down, 18
προσ-βάλλω: to bring, cast upon, attack, 2
πρόσ-οδος, ἡ: advance, approach, 2
προτεραῖος, -η, -ον: on the day before, 1
Πυλαγόροι, οἱ: the Pylagorians, 2
Πύλαι, αἱ: Pylae ("the Gates"), 2
σημαίνω: to show, indicate, declare, 9
Σπαρτιήτης, ὁ: a Spartan, 19
συλ-λέγω: to collect, gather, 10
συμ-βάλλω: contribute; guess, join battle, 11
τάξις, ιος ἡ: placement, ordering, 5
τέλος, -εος, τό: end, result; assigned (unit) 18
τιμάω: to honour, value, esteem, 19
Τρηχίνιος, -η, -ον: Trachinian, of Trachis, 8
τρίς: thrice, three times, 1
ὑπο-μένω: to await, remain; withstand, 9
ὑστεραῖος, -η, -ον: (on) the next day, 4
φεύγω: to flee, escape; 18
φράζω: to point out, tell, indicate, 16
Φωκεύς, -έος, ὁ: a Phocian, 8

---

1 **ἐδυνέατο**: 3rd pl. impf. δύναμαι
2 **προσβάλλοντες**: *attacking*
3 **ἀπήλαυνον**: i.e. they withdrew
4 **λέγεται**: *it is said that…*; impersonal
βασιλέα: *that the king…*; acc. subject
5 **θηεύμενον**: acc. sg. pple, Att. θεώμενον
ἀναδραμεῖν: *leapt up*; aor. inf. ἀνα-τρέχω
6 **τῇ δ' ὑστεραίῃ**: *on…*; dat. time when
7 **ἄμεινον**: comparative adverb
ἀέθλεον: impf. ἀεθλέω
8 **ἅτε**: *inasmuch as, since…*; + pple is causal
σφέας: *that they…;* i.e. Spartans, acc. subj.
κατατετρωματίσθαι: pf. inf.
9 **οἵους τε ἔσεσθαι**: *will be able*; 'will be the sort that'. οἵος τε + εἰμί (fut. inf.)
10 **κατὰ τάξις…κατὰ ἔθνεα**: *unit by unit... people by people*; distributive, acc. τάξεις
11 **κεκοσμημένοι ἦσαν**: periphrastic pass. plpf. (pf. pass. pple κοσμέω + impf. εἰμί)
ἐν μέρεϊ: *in part*; in succession
12 **ἐτάχθησαν**: 3rd pl. aor. pass. τάσσω
φυλάξοντες: *to guard*; fut. pple of purpose
13 **ὡς**: *when*
14 **τῇ προτεραίῃ**: dat. of time when
ἐνώρων: 3rd pl. impf. ἐν-οράω
15 **ὅ τι χρήσηται…πρήγματι**: *what to make of the present situation*; ὅ τι is inner acc.; aor. subj. χράομαι 'use,' pple πάρειμι
16 **ἦλθε…ἐς λόγους**: *came into conversation*
ὡς…δοκέων: *since he expects*; causal
17 **οἴσεσθαι**: *that he will gain*; fut. φέρω
18 **ταύτῃ**: *there*; in this place
20 **οἱ φυγόντι**: *to him fleeing*; dat. aor. pple
22 **χρόνῳ ὕστερον**: *much later*; *'over time'*
23 **ἀπέθανε**: *died*; aor. ἀποθνήσκω
24 **τὴν**: *which…*; relative
25 **ἐτιμήθη**: *was honored*; aor. pass. τιμάω
26 **οὐδὲν ἧσσον**: *no less*; acc. extent; adv. acc

τε ὁ Φαναγόρεω ἀνὴρ Καρύστιος καὶ Κορυδαλλὸς Ἀντικυρεὺς εἰσὶ οἱ εἴπαντες πρὸς βασιλέα τούτους τοὺς λόγους καὶ περιηγησάμενοι τὸ ὄρος τοῖσι Πέρσῃσι, οὐδαμῶς ἔμοιγε
2 πιστός. τοῦτο μὲν γὰρ τῷδε χρὴ σταθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων Πυλαγόροι ἐπεκήρυξαν οὐκ ἐπὶ Ὀνήτῃ τε καὶ Κορυδαλλῷ ἀργύριον ἀλλ᾽ ἐπὶ Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως κου τὸ ἀτρεκέστατον πυθόμενοι· τοῦτο δὲ φεύγοντα
3 Ἐπιάλτην ταύτην τὴν αἰτίην οἴδαμεν. εἰδείη μὲν γὰρ ἂν καὶ ἐὼν μὴ Μηλιεὺς ταύτην τὴν ἀτραπὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ ὡμιληκὼς εἴη· ἀλλ᾽ Ἐπιάλτης γὰρ ἐστὶ ὁ περιηγησάμενος τὸ ὄρος [καὶ] κατὰ τὴν ἀτραπόν, τοῦτον
215 αἴτιον γράφω. Ξέρξης δέ, ἐπεὶ ἤρεσε τὰ ὑπέσχετο ὁ Ἐπιάλτης κατεργάσασθαι, αὐτίκα περιχαρὴς γενόμενος ἔπεμπε Ὑδάρνεα καὶ τῶν ἐστρατήγεε Ὑδάρνης· ὁρμέατο δὲ περὶ λύχνων ἁφὰς ἐκ τοῦ στρατοπέδου. τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες, ἐξευρόντες δὲ Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας, τότε ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν ἦσαν ἐν σκέπῃ τοῦ πολέμου· ἔκ τε τοσοῦδε κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι.
216 ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη· ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος, οὔνομα δὲ τῷ ὄρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τὠυτὸ κεῖται, Ἀνόπαια· τείνει δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ ὄρεος, λήγει δὲ κατά τε Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρίδων πρὸς Μηλιέων, καὶ κατὰ Μελαμπύγου τε καλεόμενον λίθον καὶ κατὰ Κερκώ-
217 πων ἕδρας, τῇ καὶ τὸ στεινότατον ἐστί. κατὰ ταύτην δὴ τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι, τὸν Ἀσωπὸν

αἰτίη, ἡ: cause, responsibility, blame, 13
Ἀλπηνός, ὁ: Alpenus (town), 1
Ἀνόπαια, τά: Anopaea (mountain, path) 1
Ἀντικυρεύς, ὁ: an Anticyrean, of Anticyra, 1
ἀργύριον, τό: silver; piece of silver, 4
ἀρέσκω: to please, satisfy, (+dat.), 3
Ἀσωπός, ὁ: Asopus river, 6
ἀτραπός, ὁ: path, 11
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
αὐτίκα: straightway, at once; presently, 11
ἁφή, ἡ: the lighting, kindling; touch, 1
γράφω: to write, 3
διασφάξ, -φάγος, ἡ: ravine, gorge, 3
ἔγωγε: I (for my part), 4
ἕδρη, ἡ: setting, seat; dwelling, 3
ἐξ-ευρίσκω: to find out, discover, 7
Ἐπιάλτης, ὁ: Ephialtes, 8
ἐπι-κηρύσσω: to issue (acc) on (ἐπί) 2
ἐσ-βολή, ἡ: inroad, invasion, attack, 12
Θεσσαλοί, οἱ: the Thessalians, 12
Καρύστιος, -η, -ον: Carystian, 1
κατα-δέκομαι: discover, admit the truth of 1
κατ-εργάζομαι: to make, achieve; overcome 7
κατ-ηγέομαι: to lead the way, guide; explain 4
κεῖμαι: to lie down, 15
Κέρκωψ, -ωπος, ὁ: Cecrops (male) 2
Κορυδαλλός, ὁ: Corydallus (male) 2
λήγω: to stop, cease, leave off, 7
λίθος, ὁ: a stone, 8
Λοκρίς, -ίδος: Locrian (fem. adj.), 1
λύχνος, ὁ: lamp, a portable light, 2
Μελάμ-πυγος, ὁ: Blackbottom, 1
Μηλιέες, οἱ: the Malians, 7
Ὀνήτης, ὁ: Onetes (male), 4
ὁμιλέω: to join, associate or converse with 2
πάντως: altogether, by all means, certainly, 7
περι-ηγέομαι:to lead around, 2
περι-χαρής, -ες: very pleased, 2
πιστός, -ή, -όν:: trustworthy, credible, 2
Πυλαγόροι, οἱ: the Pylagorians, 2
ῥαχις, -ιος, ἡ: backbone, spine; ridge, 1
σκέπη, ἡ: shelter, protection, 10
σταθμάομαι: to judge, estimate, conclude, 4
στρατόπεδον, τό: camp, encampment, 10
τείνω: to stretch out, extend, 3
Τρηχίνιος, -η, -ον: Trachinian, of Trachis, 8
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
ὑπ-ίσχομαι: to promise, 2
Φαναγόρης, -εω, ὁ: Phanagoras (male), 1
φεύγω: to flee, escape; 18
φράσσω: to fence, fence in, 2
Φωκεύς, -έος, ὁ: a Phocian, 8
χρηστός, -ή, -όν: good, worthy; useful, 19
ὧδε: in this way, so, thus, 17

---

1 ὡς Ὀνήτης: *(namely) that Onetes…*
ὁ Φαναγόρεω: *son of Phanagoras*
2 οἱ εἴπαντες: *those having spoken*; 1st aor. pple εἶπον; nom. predicate after 3rd pl. εἰμί
3 περιηγησάμενοι: *having led (dat) around*
ἔμοι-γε: *to me at least*; γε is restrictive
4 τοῦτο μὲν…τοῦτο δὲ: *on the one hand…on the other hand*
τῷδε…ὅτι: *by this...namely that*; dat. means
5 ἐπεκήρυξαν…ἐπὶ…ἀργύριον: *issued silver on (the head of)…*; i.e as a bounty
6 κου: *I suppose*; Att. που
8 ταύτην…αἰτίην: this charge; acc. object of pple φεύγοντα
οἴδαμεν: 1st pl. οἶδα, elsewhere ἴδμεν
εἰδείη…ἂν,…εἰ ὡμιληκὼς εἴη: *(Onetes) might have known…, if he had been acquainted with*; fut. less vivid with rare pf. optative οἶδα, pf. pple ὁμιλέω + opt. εἰμί
9 ἐὼν μὴ: *though not being…;* concessive
10 πολλὰ: *many times*; adverbial acc.
11 κατὰ: *along…*
τοῦτον αἴτιον γράφω: *I record this one as responsible*; double acc.
12 ἥρεσε: aor. ἀρέσκω
τὰ: *which…*; relative
ὑπέσχετο: aor. ὑπίσχομαι
14 τῶν: *(those) which*
ὁρμέατο: 3rd pl. plpf. ὁρμάω
15 περὶ…ἁφὰς: *around the lighting of lamps*
16 ἐξεῦρον: aor. ἐξευρίσκω
17 ἐπὶ Φωκέας: *to the Phocians*
18 φράξαντες…ἦσαν: periphrastic plpf. (aor. pple φράσσω + impf. εἰμί)
τείχεϊ: *with…*;dat. of means
ἐν σκέπῃ…: *under protection from the war*
19 ἔκ…τοσοῦδε: *ever since then;* 'for so long'
κατεδέδεκτο: "the path" is subject; plpf. pass. καταδέκομαι
Μηλιεῦσι: *by…*; dat. of agent
ἐοῦσα οὐδὲν χρηστὴ: *to be not at all useful*
22 οὔνομα τὠυτὸ: *the same name is given*
25 κατὰ λίθον: *near the rock called*
26 τῇ: *where…*; relative, 'in which place'

διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες ὄρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ τὰ Τρηχινίων. ἠώς τε δὴ διέφαινε καὶ οἳ ἐγένοντο ἐπ᾽ ἀκρωτηρίῳ τοῦ ὄρεος. κατὰ δὲ τοῦτο τοῦ ὄρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην καὶ φρουρέοντες τὴν ἀτραπόν. ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἴρηται· τὴν δὲ διὰ τοῦ ὄρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον.

218 ἔμαθον δὲ σφέας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ ὄρος πᾶν ἐὸν δρυῶν ἐπίπλεον. ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γινομένου πολλοῦ, ὡς οἰκὸς ἦν φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσί, ἀνά τε ἔδραμον οἱ Φωκέες καὶ ἐνέδυνον τὰ ὅπλα, καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θώματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδένα σφι φανήσεσθαι ἀντίξοον ἐνεκύρησαν στρατῷ. ἐνθαῦτα Ὑδάρνης καταρρωδήσας μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο Ἐπιάλτην ὁποδαπὸς εἴη ὁ στρατός, πυθόμενος δὲ ἀτρεκέως διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. οἱ δὲ Φωκέες ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ ὄρεος τὸν κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὁρμήθησαν ἀρχήν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον, οἱ δὲ ἀμφὶ Ἐπιάλτην καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἳ δὲ κατέ-

219 βαινον τὸ ὄρος κατὰ τάχος. τοῖσι δὲ ἐν Θερμοπύλῃσι Ἑλλήνων πρῶτον μὲν ὁ μάντις Μεγιστίης ἐσιδὼν ἐς τὰ ἱρὰ ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον,

ἀκρωτήριον, τό: peak, top, height 1
ἀμφί: on both sides, 6
ἀνα-βαίνω: to go up, climb, mount, 12
ἀντί-ξοος, -ον: opposing, adverse, 4
ἀριστερός, -ή, -όν: left, left side, 8
ἀτραπός, ὁ: path, 11
ἀτρεκής, -ές: exact, real, true; *adv*. exactly, 11
αὐτίκα: straightway, at once; presently, 11
βάλλω: to throw, pelt, hit, strike, 5
δηλόω: to make clear, show, reveal, 2
δια-τάσσω: to arrange, appoint, 6
δια-φαίνω: to shine, shine through, 2
δρῦς, δρυός, ἡ: oak tree, 3
ἐγ-κύρω: to meet with, fall upon (dat) 2
ἐθελοντής, ὁ: volunteer, 6
ἔλπομαι: to expect, hope, suppose, 2
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
Ἐπιάλτης, ὁ: Ephialtes, 8
ἐπί-πλεος, -ον: quite full, full up, 2
ἐσ-βολή, ἡ: inroad, invasion, attack, 12
ἐσ-εἶδον: to look at, examine, 1
ἠώς, ἡ: daybreak, dawn, 17
θάνατος, ὁ: death, 12
Θερμοπύλαι, αἱ: Thermopylae, 14
θῶμα, -ατος, τό: wonder, amazement, 11
κατα-βαίνω: to step, come down, 4
κατα-ρρωδέω: to fear, dread, 14
κάτω: down, below, 18
κόρυμβος, ὁ: topmost point, top, 1
λανθάνω: to escape notice of, be unnoticed, 1
μανθάνω: to learn, understand, 18
μάντις, ἡ: seer, prophet, 9
Μεγιστίης, ὁ: Megistias, 4
νηνεμίη, ἡ: stillness in the air, calm weather, 2
νύξ, νυκτός, ἡ: a night, 10
Οἰταῖος, -η, -ον: Oetaean, 1
οἴχομαι: to go, go off, depart, 11
ὁπλίτης, -ου ὁ: hoplite, armed soldier, 4
ὁποδαπός, -ή, -όν: from what country, 1
παρα-σκευάζω: to prepare, get ready, 15
πούς, ποδός, ὁ: a foot, 10
πυκνός, -η, -ον: close-packed, wise, shrewd, 2
ῥύομαι: to draw to oneself, rescue, 9
σφέτερος, -η, -ον: their own, their, 9
τάχος, τό: speed, swiftness, 8
τόξευμα, -ατος, τό: arrow, 2
τρέχω: to run, leap up, (aor. ἔδραμον) 4
Τρηχίνιος, -η, -ον: Trachinian, of Trachis, 8
Ὑδάρνης, -εος, ὁ: Hydarnes, 12
ὑπο-δέκομαι: receive, undertake, promise, 6
ὑπο-χέω: to spread under (foot), pour under, 1
φεύγω: to flee, escape; 18
φράζω: to point out, tell, indicate, 16
φρονέω: to think, to be wise, prudent, 7
φρουρέω: to guard, keep watch, 4
φύλλον, τό: a leaf, 3
Φωκεύς, -έος, ὁ: a Phocian, 8
ψόφος, ὁ: noise, sound, 2
ὧδε: in this way, so, thus, 17

---

1 **διαβάντες**: aor. pple διαβαίνω
ἐπορεύοντο: impf. πορεύομαι
πᾶσαν…νύκτα: acc. duration of time
2 **ὄρεα**: neuter. acc. pl. ὄρος
3 **οἱ**: *and they…*; 'and those' demonstrative
κατὰ…ὄρεος: *over this part of the mountain*
4 **ὡς**: *just as…*
μοι: *by me*; dat. of agent with pf. pass. verb
δεδήλωται: pf. pass. δηλόω
6 **ἡ κάτω ἐσβολὴ**: *the lower pass*; 'below'
7 **ὑπὸ τῶν**: *by those*; begins a relative clause, assume a missing antecedent, and a relative pronoun (acc. respect) assimiliates into gen.
εἴρηται: *it has been mentioned*; sg. pf. pass.
8 **ὑποδεξάμενοι**: *having promised*; + dat.
9 **ἔμαθον**: aor. μανθάνω
ἀναβεβηκότας: pf. pple. ἀναβαίνω
10 **ἐὸν**: neuter sg. pple. εἰμί
11 **ἦν**: *there was…*; impf. εἰμί
12 **οἰκὸς ἦν**: *it was likely*; Att. ἐοικός
ὑποκεχυμένων: pf. pass. ὑποχέω
ὑπὸ: *under…*; dat. of place where
ἀνά…ἔδραμον: *sprang up*, aor. τρέχω
13 **παρῆσαν**: impf. πάρ-ειμι
14 **ὡς δὲ**: *and when…*
εἶδον: 3rd pl. aor. ὁράω
15 **φανήσεσθαι**: fut. mid. φαίνομαι
17 **μὴ…ἔωσι**: *lest…are*; fearing, pl. subj. εἰμί
εἴρετο: impf. εἴρομαι (ἔρομαι)
18 **εἴη**: opt. εἰμί replaces impf. in ind. quest.
ὡς: *as if…*; ὡς suggests intent or purpose
19 **ἐβάλλοντο**: impf. passive βάλλω
22 **ὁρμήθησαν ἀρχήν**: *set out originally*; adv.
παρεσκευάδατο: plpf. παρασκευάζω
ὡς ἀπολεόμενοι: *as if*; fut. ἀπόλλυμι
24 **λόγον ἐποιεῦντο**: *paid no account*
26 **ἐσιδὼν**: *looking to the sacrifices*
27 **ἔσεσθαι** fut. εἰμί, as often after μέλλω

ἐπὶ δὲ καὶ αὐτόμολοι ἦσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον. οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν, τρίτοι δὲ οἱ ἡμεροσκόποι καταδραμόντες ἀπὸ τῶν ἄκρων ἤδη διαφαινούσης
2 ἡμέρης. ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι· οἳ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν, οἳ δὲ ἀντέτεινον. μετὰ δὲ τοῦτο διακριθέντες οἳ μὲν ἀπαλλάσσοντο καὶ διασκεδασθέντες κατὰ πόλις ἕκαστοι ἐτράποντο, οἳ δὲ αὐτῶν ἅμα Λεωνίδῃ μένειν αὐτοῦ παρεσκευάδατο.
220 λέγεται δὲ ⟨καὶ⟩ ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν ἐς τὴν
2 ἦλθον φυλάξοντες ἀρχήν. ταύτῃ καὶ μᾶλλον τὴν γνώμην πλεῖστος εἰμί, Λεωνίδην, ἐπείτε ᾔσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαι σφέας ἀπαλλάσσεσθαι, αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν· μένοντι δὲ αὐτοῦ κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης
3 εὐδαιμονίη οὐκ ἐξηλείφετο. ἐκέχρηστο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ᾽ ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων ἢ τὴν βασιλέα σφέων ἀπολέσθαι. ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισι χρᾷ λέγοντα ὧδε.

4 ὑμῖν δ᾽, ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ᾽ ἀνδράσι Περσείδῃσι
πέρθεται, ἢ τὸ μὲν οὐχί, ἀφ᾽ Ἡρακλέους δὲ γενέθλης
πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.

αἰσθάνομαι: to perceive, feel, learn, realize, 2
ἀνά-στατος, -ον: driven from home, ruined, 7
ἀντι-τείνω: to resist, strive against, 2
ἀπ-έρχομαι: to go away, depart, 4
ἀ-πρό-θυμος, -ον: not eager, not spirited, 1
ἄστυ, τὸ: a city, town, 15
αὐτίκα: straightway, at once; presently, 11
αὐτό-μολος, ὁ: deserter, 1
βουλεύω: to deliberate, plan, take counsel, 19
γενέθλη, ἡ: lineage, line, family, stock, 1
δια-κρίνω: divide, decide, settle; distinguish 5
δια-σκεδάννυμι: to scatter, disperse, disband, 2
δια-φαίνω: to shine, shine through, 2
ἐγείρω: to raise, awaken, wake up, rouse, 3
ἐθελοντής, ὁ: volunteer, 6
ἐκ-λείπω: to leave out, omit, pass over, 10
ἐξ-αγγέλλω: to send out, 4
ἐξ-αλείφω: to smear over, plaster over, 2
ἑξά-μετρος, -ον: hexameter, of six feet, 1
ἐρι-κυδής, -ές: glorious, famous, 1
εὐ-δαιμονίη, ἡ: happiness, prosperity, 1
εὐ-πρεπής, -ές: good-looking, decent 1
εὐρύ-χορος, -ον: with broad dancing-places, 1
ἡμεροσκόπος, ὁ: day-watch, day-guard, 3
Ἡρακλέης, -εος ὁ: Heracles, 5
κατα-τρέχω: to run down, 2
κήδομαι: to care about, be troubled, 2
κλέος, τό: glory, renown, fame; rumor, 2
Λακεδαίμων, -ονος, ἡ: Lacedaemon, 6
νύξ, νυκτός, ἡ: a night, 10
οἰκήτωρ, -τορος ὁ: an inhabitant, 4
οὖρος, τό: boundary, 5
παρα-σκευάζω: to prepare, get ready, 15
πενθέω: mourn, grieve, lament, 1
πέρθω: waste, sack, destroy, ravage, 2
περί-οδος, ὁ: circumference, journey around 8
Περσείδης, -ό: son of Perseus (i.e. Persian) 1
πλεῖστος, -η, -ον: most, greatest, largest, 6
Πυθίη, ἡ: the Pythia (priestess of Apollo), 6
σημαίνω: to show, indicate, declare, 9
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 19
συν-δια-κινδυνεύω: to share in the risks, 1
σχίζω: to split, cleave, 3
τάξις, ιος ἡ: placement, ordering, 5
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
τρίτος, -η, -ον: the third, 18
φθίω: to decay, waste away; die, 1
ὧδε: in this way, so, thus, 17

---

1 **ἐπὶ δὲ**: *and in addition*
ἦσαν: 3rd pl. impf. εἰμί
2 **νυκτὸς**: *during…*; gen. of time within
καταδραμόντες: aor. pple κατατρέχω
3 **ἤδη διαφαινούσης ἡμέρης**: gen. abs.
5 **οἳ μὲν…οἳ δὲ**: *some…others*
ἔων: ἔαον, 3rd pl. impf. ἐάω
ἐκλιπεῖν: aor. inf. ἐκλείπω
6 **μετὰ δὲ τοῦτο**: *after…*;
διακριθέντες: aor. pass. deponent pple
οἳ μὲν…οἳ δὲ: *some…others*
7 **διασκεδασθέντες**: aor. pass. deponent pple
κατὰ πόλις: *city by city*; acc pl. Att. πόλεις
8 **αὐτῶν**: *of them*; i.e. Greeks, partitive gen.
παρεσκευάδατο: plpf. mid. παρασκευάζω
αὐτοῦ: *there*
λέγεται: *it is said*
9 **μὴ ἀπόλωνται**: *lest…*; fearing clause, aor. mid. subj. ἀπόλλυμι governed by κήδομαι
10 **αὐτῷ…τοῖσι παρεοῦσι**: *that for him…;* dat interest with ἔχειν εὐπρεπέως
11 **παρεοῦσι**: dat. pple παρ-είμι
ἔχει εὐπρεπέως: *that it is not seemly*; ind. disc.; ἔχω + adv. is translated 'to be' adj
ἐς τὴν: *into which…*; relative
12 **φυλάξοντες**: fut. pple expressing purpose
ἀρχήν: *in the beginning*; adv. acc
ταύτῃ: *in this way*
τὴν γνώμμν πλεῖστος εἰμί: *I am very much in the opinion that…*; acc. respect
13 **Λεωνίδην**: acc. subject of aor. κελεῦσαι
ᾔσθετο: aor. αἰσθάνομαι
κελεῦσαι: aor. inf., λεωνίδην is acc. subj.
15 **αὐτῷ δὲ**: *but for him*; dat. interest
καλῶς ἔχειν: *it is good*; see line 11
16 **μένοντι…**: *(for him) remaining…;* dat. of interest, dat. sg. pple
αὐτοῦ: *there*
ἐλείπετο: *was left behind*; impf. pass.
17 **ἐξηλείφετο**: was not wiped out; impf. pass.
ἐκέχρηστο: impersonal plpf. pass. χράω
18 **τοῖσι Σπαρτιήτῃσι**: *to …*; dat. ind. object
χρεωμένοισι: *consulting…*; pres. χράω
19 **κατ᾽ ἀρχὰς**: *at the beginning*; 'during…'
21 **χρᾷ**: *proclaims;* χράει, 3rd sg. present
25 **ἢ τὸ μὲν οὐχί…δὲ**: *or not that, but*
ἀφ᾽: *from the stock of Heracles*; ἀπὸ
26 **οὖρος**: *the territory of Lacedaemon*; subj.

οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἑ φημί
σχήσεσθαι, πρὶν τῶνδ᾽ ἕτερον διὰ πάντα δάσηται.

ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλόμενον κλέος καταθέσθαι μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον ἢ γνώμῃ διενειχθέντας οὕτω ἀκόσμως οἴχεσθαι
221 τοὺς οἰχομένους. μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε, ὅτι καὶ τὸν μάντιν ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον <τὸν> εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. ὁ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπέλιπε, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μου-
222 νογενέα, ἀπέπεμψε. οἱ μέν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδῃ, Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι· (κατεῖχε γὰρ σφέας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος)· Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ᾽ αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος Διαδρόμεω.

223 Ξέρξης δὲ ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω· ἀπὸ γὰρ τοῦ ὄρεος ἡ κατάβασις συντομωτέρη τε ἐστὶ καὶ βραχύτερος
2 ὁ χῶρος πολλὸν ἤ περ ἡ περίοδός τε καὶ ἀνάβασις. οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσήισαν, καὶ οἱ ἀμφὶ

ἀγορή, ἡ: marketplace, an assembly, 5
ἀ-έκων, -ουσα, -ον: unwilling, unintending, 1
Ἀκαρνήν, -ῆνος, ὁ: an Acarnanian, 1
ἄ-κοσμως: in disorder, disorderly, 1
ἀμφί: on both sides, 6
ἀνά-βασις, -εως, ἡ: a way up, ascent, 1
ἀνα-τέλλω: to rise, spring up, 2
ἀνέκαθεν: from above, 2
ἀντι-βίην: *adv*. face to face, against, 1
ἀπ-έρχομαι: to go away, depart, 4
ἀπο-λείπω: to leave (off); lack, fail, 5
βραχύς, -έα, -ύ: short, brief, 9
δατέομαι: to divide, distribute, assign 5
Δημόφιλος, ὁ: Demophilus (male) 1
Διαδρόμης, -εω, ὁ: Diadromes (male) 1
δια-φέρω: to carry over; differ, surpass, 2
ἕ: him, her, it (3rd person pronoun acc. sg.), 1
ἐκ-βαίνω: to step out; come to pass, turn out, 5
ἑκών, ἑκοῦσα, ἑκόν: willing, intentionally, 4
ἐλάχιστος, -η, -ον: the smallest, least, 7
Ἐπιάλτης, ὁ: Ephialtes, 8
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐπι-στέλλω: to send to, send a message, 2
ἐπ-ίσχω: to wait; hold on, direct to (**ἐπ-έχω**) 6
Θεσπιέες, οἱ: the Thespians, 6
Θηβαῖοι, οἱ: the Theban, 6
κατά-βασις, -εως, ἡ: a way down, descent, 1
κατα-μένω: to stay behind, remain 5
κατα-τίθημι: to put down, deposit, settle, 4
κατ-έχω: to hold fast, hold back; possess, 4
κλέος, τό: glory, renown, fame; rumor, 2
λέων, -οντος, ὁ: a lion, 12
μάντις, ἡ: seer, prophet, 9
μαρτύριον, τό: a testimony, proof, 2
μένος, τό: might, force, strength, 2
Μεγιστίης, ὁ: Megistias, 4
Μελάμ-πους, -ποδος, ὁ: Melampus, 1
μουνο-γενής, -ές: only-begotten, single, 1
οἴχομαι: to go, go off, depart, 11
ὅμηρος, ὁ, ὁ: hostage, pledge, surety, 2
περί-οδος, ὁ: circumference, journey around 8
πληθώρη, ἡ: fullness, satiety, 2
πρίν: until, before, 10
προσ-έρχομαι: to come or go to, approach, 1
πρόσ-οδος, ἡ: advance, approach, 2
Σπαρτιήτης, ὁ: a Spartan, 19
σπονδή, ἡ: libation, treaty for peace, 6
συν-απ-όλλυμι: to destroy or ruin together, 1
συν-απο-θνήσκω: to die together, 1
σύν-τομος, -ον: a short, shortcut, 2
συστρατεύω: to (join/share in a) campaign, 7
ταῦρος, ὁ: bull, 4
φανερός, -ή, -όν: visible, clear, evident, 2

---

1 **τὸν**: *this one*; acc. sg. i.e. the king
σχήσει: *will restrain*; 'hold' fut. ἔχω
2 **Ζηνὸς**: gen. sg. Ζεύς
ἔχει: *he possesses*; supply king as subject
ἑ: *that he…*; 3rd pers. pronoun, acc. subj.
3 **σχήσεσθαι**: fut. inf., see line 1
πρὶν: *before*; + subjunctive (= future)
τῶνδ᾽ ἕτερον: *each of these*; acc. direct obj.
διὰ...δάσηται: *he tears apart*; aor subj δατέομαι, likely tmesis δια-δατέομαι
πάντα: *utterly, completely*; adverbial acc.
5 **καταθέσθαι**: *to establish*; aor. mid. inf.
ἀποπέμψαι: aor. act. inf. ἀποπέμπω
6 **γνώμῃ**: dat. of means with aor. pass. pple
διενειχθέντες: *drawn apart*; i.e. 'differing' aor. pass. pple διαφέρω
7 **μαρτύριον...ἐλάχιστον**: *this not the least proof*
8 **τούτου πέρι**: περὶ τούτου
γέγονε: *occurred*; 3rd sg. pf. γίνομαι
ὅτι: *(namely) that*
ὅς: *who…*; relative
εἵπετο: impf. ἕπομαι governs dat.
9 **τἀνέκαθεν**: *descended*; crasis τὸ ἀνέκαθεν
10 **τοῦτον εἴπαντα**: *this one having said…*; apposition, 1st aor. pple λέγω (εἶπον)
ἐκ τῶν ἱρῶν: *from the sacrifices*
12 **ἵνα**: *so that…;* purpose + aor. pass. subj.
σφι: *with them*; dat. of compound
13 **οἱ**: *to him*; i.e. to Megistias
15 **ἀπιόντες**: nom. pl. pple ἀπέρχομαι
ἐπείθοντο: impf. mid. πείθω
18 **κατεῖχε**: impf. κατ-έχω
ἐν...λογῷ: *in the manner of slaves*
ποιεύμενος: *treating (them)*
19 **οὐκ...ἔφασαν**: *said that they would not…*; 'denied that…,' 3rd pl. aor. φημί
ἀπολιπόντες: aor. pple ἀπολείπω
20 **τοὺς μετ᾽ αὐτοῦ**: *those…*; demonstrative
23 **ἡλίου ἀνατείλαντος**: gen. abs., aor. pple
24 **ἀγορῆς πληθώρην**: *mid-morning*; 'til the fullness of the marketplace'
27 **πολλὸν**: *far*; acc. of extent with adjectives
28 **προσήισαν**: 3rd pl. impf. προσέρχομαι

Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ᾽ ἀρχὰς ἐπεξήισαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο, οἳ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα
2 ἐμάχοντο. τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ᾽ ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ᾽ ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ
3 ἀπολλυμένου. ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντα σφίσι ἔσεσθαι θάνατον ἐκ τῶν περιιόντων τὸ ὄρος, ἀπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώ-
224 μενοί τε καὶ ἀτέοντες. δόρατα μέν νυν τοῖσι πλέοσι αὐτῶν τηνικαῦτα ἤδη ἐτύγχανε κατεηγότα, οἳ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος καὶ ἕτεροι μετ᾽ αὐτοῦ ὀνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα, ἐπυθόμην δὲ καὶ ἁπάντων
2 τῶν τριηκοσίων. καὶ δὴ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ ὀνομαστοί, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Δαρείῳ. ὁ δὲ Ἀρτάνης Δαρείου μὲν τοῦ βασιλέος ἦν ἀδελφεός, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεος παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ τὸν οἶκον πάντα τὸν ἑωυτοῦ ἐπέδωκε, ὡς μούνης οἱ ἐούσης ταύτης τέκνου.

Ἀβροκόμης, ὁ: Abrocomes, 1
ἀδελφεός, ὁ: a brother, 17
αἰεί: always, forever, in every case, 17
ἀλλήλος, -η, -ον: one another, 8
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
Ἀρσάμης, -εος ὁ: Arsames, 4
Ἀρτάνης, -εω, ἡ: Artanes, 2
ἅτε: inasmuch as, since, seeing that (+ part.), 8
ἀτέω: be reckless, be demented, 1
αὐχήν, -ένος, ὁ: the neck, throat, 1
δια-φθείρω: to destroy, corrupt, kill, 11
δι-εργάζομαι: to kill, destroy, 2
δόρυ, δόρατος, τό: shaft of a spear, spear, 5
ἐκ-δίδωμι: to give up, surrender, render, 7
ἔξ-οδος, ἡ: exit, way out, outlet, 4
ἐπ-εξ-έρχομαι: to go out against or through, 2
ἐπι-δίδωμι: give as dowry, give in addition 1
ἐπ-οτρύνω: to urge on, stir up, excite, 3
ἔρυμα, -ατος, τό: defense, protection, 2
ἐσ-πίπτω: to fall into, 4
εὐρύς, -έα, -ύ: wide, broad, 8
ζωός, -η, -ον: live, alive, living, 4
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
θάνατος, ὁ: death, 12
θυγάτηρ, ἡ: a daughter, 14
κατ-άγνυμι: to break to pieces, shatter, 1
καταπατέω: to trample under foot, 2
μάστιξ, -ιγος, ἡ: a whip, lash, 7
μέγιστος, -η, -ον: greatest, best, longest, 16
ξίφος, τό: a sword, 3
ὀνομαστός, -ή, -όν: notable, well-named, 10
ὄπισθεν: behind; in the future; as prep. (gen) 8
παρα-χράομαι: misuse, fight without regard 1
περι-έρχομαι: to come around, go around, 3
πίπτω: to fall, fall down, 18
πόνος, ὁ: work, toil, labor, 6
πρόσω: forwards, further, far, 15
ῥαπίζω: to strike with a stick, cudgel, flog, 2
ῥώμη, ἡ: bodily strength, might, 4
Σπαρτιήτης, ὁ: a Spartan, 19
στενό-πορος, ὁ: narrow, with a narrow pass, 2
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
τέκνον, τό: a child, 9
τέλος, -εος, τό: end, result; assigned (unit) 18
τηνικαῦτα: at that time, then, 2
τριήκοντα: thirty, 9
τριηκόσιοι, -αι, -α: three hundred, 3
ὑπ-εξ-έρχομαι: to go out secretly, withdraw, 3
Ὑπεράνθης, ὁ: Hyperanthes (male) 1
Ὑστάσπης, -εος ὁ: Hystaspes, 5
Φραταγούνης, ὁ: Phratagune (female) 1

---

1 **ὡς…ποιεύμενοι**: *on the grounds of making*; ὡς + pple suggests alleged cause
ἐπὶ θανάτῳ: *to death;* ἐπὶ + dat. of goal or purpose
2 **πολλῷ μᾶλλον ἢ κατ᾽ ἀρχάς**: *much farther than in the beginning*; degree of difference
ἐπεξήισαν: 3rd pl. impf. ἐπ-εξ-έρχομαι
3 **αὐχένος**: *pass*; 'throat'
4 **ἀνὰ**: *over…*
πλήθεϊ: *in mass*
7 **τῶν τελέων**: *of the assigned units*; τέλος
8 **ἐς τὸ πρόσω**: *to the front*; i.e. forward
πολλῷ: *far…*; dat. degree of difference
πλεῦνες: comparative, Att. πλέονες
10 **ζωοὶ**: *(while) alive*
ἦν: *there was…*; 3rd sg. impf. εἰμί
λόγος: *account, regard*
τοῦ ἀπολλυμένου: *of the one perishing*
11 **ἅτε**: *inasmuch as, since*; + pple is causal
ἔσεσθαι: fut. inf. εἰμί
12 **περιιόντων**: pple περι-έρχομαι
ῥώμης: partitive gen.
τοῖσι πλέοσι: dat. pl. of interest, πλέων
15 **ἐτύχανε κατεηγότα**: *were happening to have broken up*; neuter. pl. subject, impf. + pf. act. pple κατ-άγνυμι
τοῖσι ξίφεσι: *with…*; dat. of means
17 **πόνῳ**: *effort, struggle*; 'work'
18 **τῶν**: *whose…*; relative
ὡς…γενομένων: *since…*; causal gen. abs.
19 **ἐπυθόμην**: aor. πυνθάνομαι
ἁμάντων: supply τὰ οὐνόματα again
21 **ἐν δὲ**: *and therein*; i.e. and among them
23 **γεγονότες**: *being born*; pf. pple γίνομαι
Δαρείῳ: dat. of interest
24 **ἀδελφεός…παῖς**: *brother…and son*; both are predicate nominatives
25 **ὃς**: *who…*; relative
ἐκδιδοὺς: i.e in marriage; nom. sg. pres. pple ἐκδίδωμι
26 **τὸν ἑωυτοῦ**: *his own*; duplicated article
ἐπέδωκε: 3rd sg. aor. ἐπιδίδωμι
ὡς: *since…*; + pple (gen. abs.) is causal

225 Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχόμενοι, 1
<καὶ> ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακε-
δαιμονίων ὠθισμὸς ἐγίνετο πολλός, ἐς ὃ τοῦτόν τε ἀρετῇ
οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους
τετράκις. τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ 5
2 παρεγένοντο. ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες,
ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν
τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω καὶ παραμειψάμενοι τὸ τεῖχος
ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι
πλὴν Θηβαίων. ὁ δὲ κολωνὸς ἐστὶ ἐν τῇ ἐσόδῳ, ὅκου νῦν 10
3 ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. ἐν τούτῳ σφέας τῷ
χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτῶν ἐτύγχανον ἔτι
περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι
βάλλοντες, οἳ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα
τοῦ τείχεος συγχώσαντες, οἳ δὲ περιελθόντες πάντοθεν 15
περισταδόν.

226 Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων
ὅμως λέγεται ἀνὴρ ἄριστος γενέσθαι Σπαρτιήτης Διηνέκης·
τὸν τόδε φασὶ εἰπεῖν τὸ ἔπος πρὶν ἢ συμμῖξαι σφέας τοῖσι
Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων ὡς ἐπεὰν οἱ 20
βάρβαροι ἀπίωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος
2 τῶν ὀιστῶν ἀποκρύπτουσι· τοσοῦτο πλῆθος αὐτῶν εἶναι. τὸν
δὲ οὐκ ἐκπλαγέντα τούτοισι εἰπεῖν ἐν ἀλογίῃ ποιεύμενον τὸ
Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος
ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ σκιῇ 25
ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. ταῦτα μὲν

ἀδελφεός, ὁ: a brother, 17
ἀλέξομαι: to ward or keep off, resist, 2
ἀλογίη, ἡ: disregard, lack of attention, 2
ἁλής, -ές: all together, all at once, 13
ἀνα-χωρέω: to go back, withdraw, retreat, 2
ἀπ-ίημι: send forth, let go, release, 16
ἀπο-κρύπτω: to conceal, hide away, 4
ἀρετή, ἡ: excellence, goodness, virtue, 15
βάλλω: to throw, pelt, hit, strike, 5
Διηνέκης, ὁ: Dieneces (male) 2
ἐκ-πλήγνυμι: to strike out, drive out; amaze, 2
ἐναντίος, -α, -ον: opposite, contrary, 2
ἐνθεῦτεν: from here, from there (**ἐντεῦθεν**) 12
ἐπεάν, ἐπήν: when, after, whenever, 12
ἐπ-έπομαι: to pursue, attend to, follow after, 6
Ἐπιάλτης, ὁ: Ephialtes, 8
ἔρυμα, -ατος, τό: defense, protection, 2
ἔσ-οδος, ὁ: entrance, 12
ἑτεροιόω: to alter, turn, change, 1
ἥκω: to have come, be present, 10
Θεσπιέες, οἱ: the Thespians, 6
Θηβαῖοι, οἱ: the Theban, 6
ἵζω: to make sit, place, 8
ἵστημι: to make stand; set up, stop, 18
κατ-έχω: to hold fast, hold back; possess, 4
κολωνός, ὁ: a hill, 5
λέων, -οντος, ὁ: a lion, 12
λίθινος, -η, -ον,: made of stone, of stone, 1
μάχαιρα, ἡ: dagger, knife, 4
μέχρι: up to; until, as long as (+ gen.), 16
Μῆδος, ὁ: Mede, Median, 13
νεῖκος, τό: a quarrel, dispute, strife, 2
νεκρός, ὁ: corpse, dead body, 6
ξεῖνος, ὁ: guest, foreigner, stranger, 1
ὀϊστός, ὁ: arrow, 5
ὅκου: where, 3
πάντ-οθεν: from every side, from all sides, 2
παρα-γίνομαι: to be present; to arrive, 1
παρ-αμείβομαι: to pass by; leave aside, 10
περί-ειμι: to survive; surpass, be superior, 11
περι-έρχομαι: to come around, go around, 3
περι-σταδόν: standing around, on all sides, 1
πίπτω: to fall, fall down, 18
πρίν: until, before, 10
σκιή, ἡ: shadow, 3
Σπαρτιήτης, ὁ: a Spartan, 19
στόμα, -ατος, τό: mouth, 5
συγ-χώννυμι: to heap together, demolish, 1
συμ-μίσχω: mix together, meet (μίγνυμι), 11
συν-ίστημι: join battle; set together, arrange 8
τετρά-κις: four times, 1
τόξευμα, -ατος, τό: arrow, 2
τράπω: turn, direct; alter, change (**τρέπω**) 13
Τρηχίνιοι, οἱ: Trachinian, people of Trachis, 4
Τρηχίνιος, -η, -ον: Trachinian, of Trachis, 8
ὑπ-εξ-ερύω: to drag away (from under), 1
ὑπέρ: above, on behalf of *gen*; beyond (acc)10
ὠθισμός, ὁ: pushing, thrusting (of shields) 1

---

1 **Ξέρξεώ**: gen. sg.
2 **ὑπὲρ**: *over…*; + gen.
3 **ὠθισμός**: *pushing*
ἐς ὅ: *until*; 'up to which (time)'
τοῦτόν: *this one*; i.e. Leonidas
ἀρετῇ: *by courage*; 'by excellence'
4 **ὑπεξείρυσαν**: 3rd pl. aor. ὑπ-εξ-ερύω
ἐτρέψαντο: *routed*; 'turned'
5 **συνεστήκεε**: *had continued*; plpf. συνίστημι
μέχρι οὗ: *until which (time)*
οἱ σὺν Ἐπιάλτῃ: *those…*; demonstrative
6 **παρεγένοντο**: aor. περιγίγνομαι
ὡς: *when…*; aor. πυνθάνομαι
7 **ἑτεροιοῦτο**: unaugmented impf. ἑτεροιόω
ἀνεχώρεον: 3rd pl. impf. ἀναχωρέω
9 **ἐλθόντες**: aor. pple. ἔρχομαι
11 **ἕστηκε**: pf. ἵστημι
12 **μαχαίρῃσι**: dat. pl. of means
ἐτύγχανον: *happened to*; + pple περι-είμι
13 **καὶ χερσὶ καὶ στόμασι**: *with hands and teeth*; dat. means parallel with μαχαίρῃσι
14 **οἳ μὲν…οἳ δὲ**: *some…others*
ἐξ ἐναντίης: *from the front*
ἐπισπόμενοι: aor. pple ἐπέπομαι
15 **συγχώσαντες**: aor. pple συν-χώννυμι
περιελθόντες: aor. pple περι-έρχομαι
λέγεται: *is said…*; pres. passive
19 **τὸν**: *whom…*; acc. subject of εἰπεῖν
φασὶ: 3rd pl. pres. φημί
τόδε…τὸ ἔπος: *the following phrase*
πρὶν ἢ: *before…*; 'earlier than'
συμμίξαι: to clash; aor. inf. συμμίσχω
20 **πρός τευ**: *from one…*; τευ = τινός
21 **ἀπίωσι**: *shoot, discharge*; subj. ἀπ-ίημι
23 **ἐκπλαγέντα**: aor. pass. pple ἐκ-πλήγνυμι
τούτοισι: *by these things*; dat. means
24 **ὡς…ἀγγέλλοι**: *that…announced*; opt.
26 **ἔσοιτο**: *would be*; fut. opt. εἰμί replaces fut. ind. in secondary sequence
πρὸς αὐτοὺς: *against them*

καὶ ἄλλα τοιουτότροπα ἔπεα φασὶ Διηνέκεα τὸν Λακεδαι-
227 μόνιον λιπέσθαι μνημόσυνα· μετὰ δὲ τοῦτον ἀριστεῦσαι
λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων
Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα τῷ
228 οὔνομα ἦν Διθύραμβος Ἁρματίδεω. θαφθεῖσι δέ σφι αὐτοῦ
ταύτῃ τῇ περ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι ἢ
<τοὺς> ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται
γράμματα λέγοντα τάδε·

μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

2 ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι
ἰδίῃ.

ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

3 Λακεδαιμονίοισι μὲν δὴ τοῦτο, τῷ δὲ μάντι τόδε.

μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδώς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνα προλιπεῖν.

4 ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος
ἐπίγραμμα, Ἀμφικτύονες εἰσὶ σφέας οἱ ἐπικοσμήσαντες· τὸ
δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεος ἐστὶ
κατὰ ξεινίην ὁ ἐπιγράψας.

229 δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται Εὔρυτόν τε καὶ
Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι κοινῷ λόγῳ χρη-
σαμένοισι ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι
γε ἦσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω καὶ κατεκέατο ἐν

ἀδελφεός, ὁ: a brother, 17
Ἀλφεός, ὁ: Alpheus (male) 1
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
Ἀμφικτύων, -τύνος, τό: Amphictyon, 4
ἀπο-σῴζω: to save from, keep, preserve, 1
ἀριστεύω: to be the best, noble, 3
Ἀριστοδήμος, ὁ: Aristodemus, 5
Ἁρματίδης, -ίδεω, ὁ: Harmatides (male) 1
γράμμα, τό: writing, letter, 4
Διηνέκης, ὁ: Dieneces (male) 2
Διθύραμβος, ὁ: Dithyrambus (male) 1
ἐπί-γραμμα, -ατος τό: inscription, epigram, 2
ἐπι-γράφω: to inscribe on, 3
ἐπι-κοσμέω: honor, celebrate; decorate, 1
εὐ-δοκιμέω: be of good repute, be renowned, 1
Εὔρυτος, ὁ: Eurytus, 2
ἡγεμών, -όνος, ὁ: leader, guide, 12
θάπτω: to bury, honor with funeral rites, 2
Θεσπιέες, οἱ: the Thespians, 6
ἴδιος, -η, -ον: one's own; private, lone, 5
κατά-κειμαι: to lie down, lie, remain, 1
κεῖμαι: to lie down, 15
κήρ, -ος, ἡ: death, destined fate; Death, 3
κλεινός, -ή, -όν: glorious, famous, renowned 1
κοινός, -ή, -όν: common, ordinary; public, 7
κτείνω: to kill, slay, kill, slay, 2
Λεωπρέπης, -εος ὁ: Leoprepes (male), 1
μάντις, -ιος ἡ: seer, prophet, 9
Μάρων, ὁ: Maron (male) 1
Μεγιστίης, ὁ: Megistias, 4
μετ-ίημι: to let go, release, relax; give up, 2
Μῆδος, ὁ: Mede, Median, 13
μνήμη, ἡ: memorial; remembrance, record, 2
μνημόσυνον, τό: a memorial; remembrance, 4
ξεῖνος, ὁ: guest, foreigner, stranger, 1
ξεινίη, ἡ: guest-friendship, hospitality, 4
οἴχομαι: to go, go off, depart, 11
ὁμοῦ: at the same place, together, 18
Ὀρσιφάντος, -ου, ὁ: Orsiphantus (male) 1
Πελοποννήσος, ὁ: Peloponnesus, 9
πίπτω: to fall, fall down, 18
προ-λείπω: to abandon, leave behind, 1
ῥῆμα, τό: a word, saying, phrase, 2
σαφής, -ές: clear, distinct; *adv*. **σάφα** 2
Σιμωνίδης, ὁ: Simonides, 1
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 19
Σπερχειός, ὁ: Spercheus river, 2
στήλη, ἡ: a block of stone, slab, 3
στρατόπεδον, τό: camp, encampment, 10
τελευτάω: to end, complete, finish; die, 18
τέσσερες, -α: four, 12
τλάω: to bear, endure, suffer, undergo, 11
τοιουτότροπος, -ον: of such a kind, 1
τριηκόσιοι, -αι, -α: three hundred, 3
χιλιάς, άδος, ἡ: one-thousand, a thousand, 14

---

1 **φασὶ**: 3rd pl. pres. φημί
2 **λιπέσθαι**: aor. mid. inf. λείπω
μνημόσυνα: *as a memorial*; acc. neut. pl.
ἀριστεῦσαι: aor. inf.
4 **μάλιστα**: *especially, in particular*
τῷ οὔνομα: *(the one) to whom…;* relative, dat. of possession, missing antecedent is subject of imperfect εὐδοκίμεε
5 **θαφθεῖσι**: aor. pass. pple θάπτω + σφι
σφι: *for them…*; with ἐπιγέγραπται
αὐτοῦ: *there*
6 **ταύτῃ τῇ**: *in this place in which…*
ἔπεσον: 3rd pl. aor. πίπτω
τελευτήσασι: dat. pl. pple with τοῖσι
7 **ἀποπεμφθέντας**: *(for) those having been sent away*; perhaps grammatically incorrect; acc. pl. should be parallel to previous dat.
6 **οἴχεσθαι**: *to go*; inf. expressing purpose
ἐπιγέγραπτα: pf. pass. ἐπιγράφω
9 **μυριάσιν…τριηκοσίαις**: *with 3,000,000*; **τῇδε**: *here*; 'in this place'
10 **τέτορες**: τέσσερες
11 **τοῖσι πᾶσι…τοῖσι**: *for all*; dat. of interest
12 **ἰδίῃ**: *privately*; adverb
13 **ὦ Ξεῖνε**: vocative, direct address
ἀγγέλλειν: infinitive as imperative
τῇδε: *here*; 'in this place'
14 **κείνων**: gen. pl. demonatrative ἐκείνων
15 **τοῦτο…τόδε**: supply ἐπιγέγραπται
16 **τόδε**: *this (is)*; supply linking verb
κλεινοῖο Μεγιστίας: gen. sg.
17 **κτεῖναν**: unaugmented 1st aor. κτείνω
ἀμειψάμενοι: *having crossed*; aor. pple
18 **σάφα εἰδώς**: *knowing clearly*; adv.; οἶδα
20 **ἔξω ἢ**: *besides, beyond*; 'further than'
23 **κατὰ ξεινίην**: *account of guest-friendship*
25 **παρεὸν**: *it being at hand…to*; inf. absolute
χρησαμένοισι: *employing a common plan*
26 **ἢ ἀποσωθῆναι**: *either to get safe*; aor. pass
ὡς: *since they had been dismissed*; plpf. pass. periphrastic (pf. pass. + impf. εἰμί)
27 **κατεκέατο**: impf. κατάκειμαι

Ἀλπηνοῖσι ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον, ἢ εἴ γε μὴ ἐβού-
λοντο νοστῆσαι, ἀποθανεῖν ἅμα τοῖσι ἄλλοισι, παρεόν σφι
τούτων τὰ ἕτερα ποιέειν οὐκ ἐθελῆσαι ὁμοφρονέειν, ἀλλὰ
γνώμῃ διενειχθέντας Εὔρυτον μέν, πυθόμενον τῶν Περσέων
τὴν περίοδον αἰτήσαντά τε τὰ ὅπλα καὶ ἐνδύντα ἄγειν
ἑωυτὸν κελεῦσαι τὸν εἵλωτα ἐς τοὺς μαχομένους, ὅκως δὲ
αὐτὸν ἤγαγε, τὸν μὲν ἀγαγόντα οἴχεσθαι φεύγοντα, τὸν
δὲ ἐσπεσόντα ἐς τὸν ὅμιλον διαφθαρῆναι, Ἀριστόδημον
2 δὲ λιποψυχέοντα λειφθῆναι. εἰ μέν νυν ἢ μοῦνον Ἀριστό-
δημον ἀλγήσαντα ἀπονοστῆσαι ἐς Σπάρτην ἢ καὶ ὁμοῦ
σφεων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν ἐμοί, οὐκ
ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίαν προσθέσθαι· νυνὶ δὲ τοῦ
μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ τῆς μὲν αὐτῆς ἐχομένου
προφάσιος οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγκαίως σφι
230 ἔχειν μηνῖσαι μεγάλως Ἀριστοδήμῳ. οἳ μέν νυν οὕτω
σωθῆναι λέγουσι Ἀριστόδημον ἐς Σπάρτην καὶ διὰ πρόφασιν
τοιήνδε, οἳ δὲ ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου,
ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην οὐκ ἐθελῆσαι,
ἀλλ᾽ ὑπομείναντα ἐν τῇ ὁδῷ περιγενέσθαι, τὸν δὲ συνάγγε-
231 λον αὐτοῦ ἀπικόμενον ἐς τὴν μάχην ἀποθανεῖν. ἀπονοστήσας
δὲ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος ὄνειδός τε εἶχε καὶ
ἀτιμίην· πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς
ἔναυε Σπαρτιητέων οὔτε διελέγετο. ὄνειδος δὲ εἶχε ὁ τρέσας
Ἀριστόδημος καλεόμενος. ἀλλ᾽ ὃ μὲν ἐν τῇ ἐν Πλαταιῇσι
232 μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενειχθεῖσαν αἰτίην· λέγεται δὲ
καὶ ἄλλον ἀποπεμφθέντα ἄγγελον ἐς Θεσσαλίην τῶν τριη-
κοσίων τούτων περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην·

αἰτέω: to ask, ask for, beg, 16
αἰτίη, ἡ: cause, responsibility, blame, 13
ἀλγέω: to feel pain, suffer, 1
Ἀλπηνοί, οἱ: Alpeni (place) 3
ἀνα-λαμβάνω: to take up, find, resume, 2
ἀπο-νοστέω: to return, come home, 5
Ἀριστοδήμος, ὁ: Aristodemus, 5
ἀ-τιμίη, ἡ: disgrace, dishonor, derision, 3
ἀ-τιμόω: to dishonor, 2
δια-λέγομαι: to converse with, discuss, 1
δια-φέρω: to carry over; differ, surpass, 2
δια-φθείρω: to destroy, corrupt, kill, 11
Εἵλως, -ωτος ὁ: Helot (a Spartan serf), 1
ἐναύω: to kindle, light, 1
ἐν-δύ(ν)ω: to put on (clothing), go into, 10
ἐπι-φέρω: to bring against, put on, 1
ἐσ-πίπτω: to fall into, 4
ἔσχατος, -η, -ον: extreme, last, furthest, 14
Εὔρυτος, ὁ: Eurytus, 2
Θεσσαλίη, ἡ: Thessaly, 19
κατα-λαμβάνω: to seize, lay hold of, find, 12
κομιδή, ἡ: provisions, care; removal, return, 2
Λακεδαίμων, -ονος, ἡ: Lacedaemon, 6
λιπο-ψυχέω: to swoon, lose one's strength, 1
μεγάλως: greatly, mightily, 10
μῆνις, ἡ: wrath (often of the gods), 8
μηνίω: to be greatly angry, be wroth, 2
νοστέω: to return, come back, 7
νυνί: now; as it is, 1
οἴχομαι: to go, go off, depart, 11
ὄνειδος, τό: reproach, censure, rebuke, 4
ὅμιλος, ὁ: crowd, 5
ὁμοῦ: at the same place, together, 18
ὁμο-φρονέω: be like-minded, of one mind, 1
ὀφθαλμιάω: to suffer from ophthalmia, 1
πάσχω: to suffer, experience, 19
Παντίτης, ὁ: Pantites (male) 1
περι-γίγνομαι: be superior to, prevail over, 4
περί-οδος, ὁ: circumference, journey around 8
Πλαταιαί, αἱ: Plataea (elsewhere sg.) 1
προσ-τίθημι: to add, attribute, impose, give, 9
πρό-φασις, -ιος, ἡ: excuse, pretext, 4
πῦρ, -ος, τό: fire, 6
Σπάρτη, ἡ: Sparta, 16
Σπαρτιήτης, ὁ: a Spartan, 19
στρατόπεδον, τό: camp, encampment, 10
συν-άγγελος, ὁ: fellow messenger, 1
σῴζω: to save, keep, preserve, 9
τρέω: run scared, flee from fear, run away, 1
τριηκόσιοι, -αι, -α: three hundred, 3
ὑπο-μένω: to await, remain; withstand, 9
φεύγω: to flee, escape; 18

---

1 **ἐς τὸ ἔσχατον**: *utterly*; 'to the utmost'
ἢ: *or*
2 **νοστῆσαι**: aor. inf. νοστέω
ἀποθανεῖν: aor. inf. ἀποθνήσκω
παρεόν…ποιέειν: *it being at hand to*; inf. abs., pres. pple πάρ-ειμι
σφι: *to them*; with παρεόν
3 **τούτων τὰ ἕτερα**: *either of these things*
οὐκ ἐθελήσαι: *(they) were not willing…*; aor.
4 **ἀλλὰ γνώμῃ διενειχθέντας**: *but having differed in opinion*; dat. respect, aor pass. modifies missing acc. subj. of ἐθελῆσαι
Εὔρυτον…κελεῦσαι: *Eurytus bade his helot*
πυθόμενον…αἰτῆσαντα…: modify Εὔρυτον
6 **ἑωυτὸν**: *him*; ἑαυτὸν
ἐς τοὺς μαχομένους: *to the fighters*
ὅκως δὲ: *and when…*
7 **αὐτὸν ἤγαγε**: *(the helot) led him*; aor. ἄγω
τὸν μὲν ἀγαγόντα: *the one leading*; helot
τὸν δὲ ἐσπεσόντα: *the one having fallen*
8 **διαφθαρῆναι**: aor. pass. inf. διαφθείρω
λειφθῆναι: aor. pass. inf. λείπω
9 **ἢ…ἢ**: *either…or*
10 **ἀπονοστῆσαι**: aor. inf. ἀπονοστέω
ὁμοῦ…γενέσθαι: *together there was a safe return for both of them*
11 **δοκέειν ἐμοί**: *it seems to me*
12 **ἄν…προσθέσθαι**: *would not have placed (acc) upon (dat)*; apodosis in a past contrafactual (εἰ aor, ἄν + aor. ind.)
νυνὶ δὲ: *but as it is*
τοῦ μὲν…τοῦ δὲ…: *one…the other…*; both in gen. abs., aor. pple ἀπόλλυμι
13 **αὐτῆς…προφάσιος**: *clinging to the same excuse*; partitive gen.
14 **ἀναγκαίως ἔχειν**: *it is necessary*; 'it holds necessarily' ἔχω + adv. is 'to be' + adj.
15 **μηνῖσαι**: aor. inf. μηνίω
16 **σωθῆναι**: *came safely to*; aor. inf. σώζω
17 **οἱ δὲ**: *others say that he, as a messenger…*
18 **ἐξεὸν**: *though it being possible…*. inf. ἐξεστιν in an inf. abs. that is concessive
22 **ἠτίμωτο**: *was dishonored suffering this*
23 **ὁ τρέσας…**: *called Arist. the Trember*
25 **ἀνέλαβε**: *made good*; 'repaired, recovered'
ἐπενειχθεῖσαν: aor. pass. pple. ἀναφέρω

νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.
233 οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο ὑπ᾽ ἀναγκαίης ἐχόμενοι πρὸς τὴν βασιλέος στρατιήν· ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δή, τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνόν, ἀποσχισθέντες τούτων χεῖράς τε προέτεινον καὶ ἤισαν ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς [καὶ] μηδίζουσι καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν βασιλέι, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερμοπύλας ἀπικοίατο καὶ ἀναίτιοι
2 εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέι. [ὥστε] ταῦτα λέγοντες περιεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τούτων τῶν λόγων μάρτυρας· οὐ μέντοι τά γε πάντα εὐτύχησαν· ὡς γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόντας, τοὺς μὲν τινὰς καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλεῦνας αὐτῶν κελεύσαντος Ξέρξεω ἔστιξαν στίγματα βασιλήια, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω· τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτα ἐφόνευσαν Πλαταιέες στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.
234 Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο, Ξέρξης δὲ καλέσας Δημάρητον εἰρώτα ἀρξάμενος ἐνθένδε. ‘Δημάρητε, ἀνὴρ εἷς ἀγαθός. τεκμαίρομαι δὲ τῇ ἀληθείῃ· ὅσα γὰρ εἶπας, ἅπαντα ἀπέβη οὕτω. νῦν δέ μοι εἰπέ, κόσοι τινὲς εἰσὶ οἱ λοιποὶ Λακεδαιμόνιοι, καὶ τούτων ὁκόσοι τοιοῦ-
2 τοι τὰ πολέμια εἴτε καὶ ἅπαντες.’ ὁ δ᾽ εἶπε ‘Ὦ βασιλεῦ, πλῆθος μὲν πολλὸν πάντων τῶν Λακεδαιμονίων καὶ πόλιες πολλαί· τὸ δὲ θέλεις ἐκμαθεῖν, εἰδήσεις. ἔστι ἐν τῇ Λακεδαίμονι Σπάρτη πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστα. [καὶ]

ἀγωνίζομαι: to contend, compete, fight, 2
ἀλήθειη, ἡ: truth, 7
ἀληθής, -ές: true, 7
ἀν-αίτιος, -η, -ον: not responsible, innocent, 2
ἀπάγχομαι: to hang oneself, choke oneself, 1
ἀπο-βαίνω: to turn out, result; disembark, 4
ἀπο-κτείνω: to kill, slay, 3
ἀπο-σχίζω: to separate, to split off, 1
ἆσσον: nearer (+ gen.) 1
ἄστυ, τὸ: a city, town, 15
ἀ-τιμόω: to dishonor, 2
ἅπας, ἅπασα, ἅπαν: every, quite all, 16
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
εἰρωτάω: ask, inquire, question (**ἐρωτάω**) 4
εἴτε: either...or; whether...or, 14
ἐκ-μανθάνω: to learn well or thoroughly, 3
ἐνθένδε: hence, from here, 1
ἐπείγω: to urge on, hasten; *mid*. hurry, 3
Εὐρυμαχος, ὁ: Eurymachus, 2
εὐ-τυχέω: prosper, be well off, successful, 4
Θερμοπύλαι, αἱ: Thermopylae, 14
Θεσσαλοί, οἱ: the Thessalians, 12
Θηβαῖοι, οἱ: the Theban, 6
κατ-υπέρτερος, η, ον: superior, above (gen) 2
κολωνός, ὁ: a hill, 5
κόσος, -η, -ον: how many, how great, 2
Λακεδαίμων, -ονος, ἡ: Lacedaemon, 6
Λεοντιάδης, -εω, ὁ: Leontiades (male) 3
λοιπός, -ή, -όν: remaining, the rest, 15
μάρτυς. ὁ, ἡ: a witness, 2
μέντοι: however, nevertheless; certainly, 13
μετ-έπειτα: thereafter, 5
μηδίζω: to side with Medes; make a Mede, 8
νοστέω: return, come back, 7
ὀκτα-κισ-χίλιοι: eight thousand, 2
ὁκόσος, -η, -ον: how much, many, or great, 4
περι-γίνομαι: be superior to, prevail over, 4
Πλαταιέες, οἱ: the Plataeans, 3
προ-τείνω: to hold out before, propose, 2
προσ-έρχομαι: to come or go to, approach, 1
Σπάρτη, ἡ: Sparta, 16
στίγμα, -ματος, τό: mark, tattoo, brand, 1
στίζω: to tattoo, to brand, mark, 2
τεκμαίρομαι: to judge by signs, conjecture, 2
τετρακόσιοι, -αι, -α: four hundred, 10
τέως: till then; as long as, 3
τρῶμα, τό: wound; disaster, (Att. ταῦμα) 3
ὕδωρ, ὕδατος, τό: water, 15
φονεύω: to murder, kill, slay, 2
ὥστε: so that, that, so as to, 18

---

1 **ὡς ἠτίμωτο**: as he had been dishonored; impf. or plpf. pass. τιμάω
ἀπάγξασθαι: aor. mid. inf. ἀπάγχομαι
3 **ὑπ' ἀναγκαίης ἐχόμενοι**: *held by necessity*; pass. pple. and gen. of cause
4 **πρὸς**: *against...*
ὡς: *when*
εἶδον: 3rd pl. aor. ὁράω
4 **τῶν Περσέων...πρήγματα**: *the Persians' affairs becoming superior*; i.e. prevailing
τῶν...κολωνόν: gen. absolute
ἀποσχισθέντες aor. pass. pple
7 **τούτων**: *from these*; gen. separation
ἦισαν: 3rd pl. impf. ἔρχομαι
8 **ἀληθέστατον**: superlative ἀληθής
ὡς: *that...*; governed by pple λέγω
9 **ἐν πρώτοισι**: *among the first (of Greeks)*
ἔδοσαν: 3rd pl. aor. δίδωμι
βασιλέι: *to the king*; dat. ind. object
ὑπὸ δὲ ἀναγκαίης: see line 3
10 **ἀπικοίατο**: *arrived*; 3rd pl. aor. opt. ἀπικνέομαι in ind. disc., secondary seq.
11 **εἶεν**: *were*; 3rd pl. pres. opt. εἰμί
γεγονότος: pf. pple γίνομαι
βασιλέι: dat. of interest
14 **ὡς γὰρ**: *for when*
ἔλαβον: 3rd pl. aor. λαμβάνω
ἐλθόντας: *(while) approaching*; aor. pple
τοὺς μὲν...τοὺς δὲ πλεῦνας: *some...most*
15 **προσιόντας**: acc. pl. pple προσέρχομαι
πλεῦνας: *most*
16 **κελεύσαντος Ξέρξεω**: gen. abs.
ἀπὸ τοῦ στρατητοῦ: from…; the Persians branded Leontiades first
17 **χρόνῳ**: *much time later*; degree difference
18 **στρατηγήσαντα...σχόντα**: *while*…; aor. pple ἔχω
20 **οὕτω ἠγωνίσαντο**: *fought in this way*; aor., Herodotus is concluding his narrative
21 **εἰρώτα**: εἰρώταε, 3rd sg. impf. εἰρωτάω
εἶς: 2nd sg. pres. εἰμί
23 **ὅσα...ἅπαντα**: *as much as....all*; 'all that'
εἶπας: 2nd sg. 1st aorist λέγω (εἶπον)
ἀπέβη: 3rd sg aor. ἀποβαίνω with pl. subj
24 **τούτων ὁκόσοι...ἅπαντας**: *how many of these are such in war or in fact are all*
27 **τὸ δὲ εθέλεις...**: (that) which…; relative
εἰδήσεις: 2nd sg. fut. οἶδα

οὗτοι πάντες εἰσὶ ὅμοιοι τοῖσι ἐνθάδε μαχεσαμένοισι· οἵ γε μὲν ἄλλοι Λακεδαιμόνιοι τούτοισι μὲν οὐκ ὅμοιοι, ἀγαθοὶ δέ.' εἶπε πρὸς ταῦτα Ξέρξης· 'Δημάρητε, τέῳ τρόπῳ ἀπονητότατα τῶν ἀνδρῶν τούτων ἐπικρατήσομεν; ἴθι ἐξηγέο· σὺ γὰρ ἔχεις αὐτῶν τὰς διεξόδους τῶν βουλευμάτων οἷα βασι-
235 λεὺς γενόμενος.' ὁ δ' ἀμείβετο· 'Ὦ βασιλεῦ, εἰ μὲν δὴ συμβουλεύεαί μοι προθύμως, δίκαιόν με σοί ἐστι φράζειν τὸ ἄριστον· εἰ τῆς ναυτικῆς στρατιῆς νέας τριηκοσίας ἀποστείλειας ἐπὶ τὴν Λάκαιναν χώρην. ἔστι δὲ ἐπ' αὐτῇ νῆσος ἐπικειμένη τῇ οὔνομα ἐστὶ Κύθηρα, τὴν Χίλων ἀνὴρ παρ' ἡμῖν σοφώτατος γενόμενος κέρδος μέζον ἔφη εἶναι Σπαρτιήτῃσι κατὰ τῆς θαλάσσης καταδεδυκέναι μᾶλλον ἢ ὑπερέχειν, αἰεί τι προσδοκῶν ἀπ' αὐτῆς τοιοῦτο ἔσεσθαι οἷόν τοι ἐγὼ ἐξηγέομαι, οὔτι τὸν σὸν στόλον προειδώς, ἀλλὰ πάντα ὁμοίως φοβεόμενος ἀνδρῶν στόλον. ἐκ ταύτης τῆς νήσου ὁρμώμενοι φοβεόντων τοὺς Λακεδαιμονίους. παροίκου δὲ πολέμου σφι ἐόντος οἰκηίου οὐδὲν δεινοὶ ἔσονταί τοι μὴ τῆς ἄλλης Ἑλλάδος ἁλισκομένης ὑπὸ τοῦ πεζοῦ βοηθέωσι ταύτῃ. καταδουλωθείσης δὲ τῆς ἄλλης Ἑλλάδος ἀσθενὲς ἤδη τὸ Λακωνικὸν μοῦνον λείπεται. ἢν δὲ ταῦτα μὴ ποιῇς, τάδε τοι προσδόκα ἔσεσθαι. ἔστι τῆς Πελοποννήσου ἰσθμὸς στεινός· ἐν τούτῳ τῷ χώρῳ πάντων Πελοποννησίων συνομοσάντων ἐπὶ σοὶ, μάχας ἰσχυροτέρας ἄλλας τῶν γενομενέων προσδέκεο ἔσεσθαί τοι. ἐκεῖνο δὲ ποιήσαντι ἀμαχητὶ ὅ τε
236 ἰσθμὸς οὗτος καὶ αἱ πόλιες προσχωρήσουσι.' λέγει μετὰ τοῦτον Ἀχαιμένης, ἀδελφεός τε ἐὼν Ξέρξεω καὶ τοῦ ναυτικοῦ στρατοῦ στρατηγός, παρατυχών τε τῷ λόγῳ καὶ δείσας

ἀδελφεός, ὁ: a brother, 17
ἀ-μαχητί: without a fight, without a battle, 1
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
αἰεί: always, forever, in every case, 17
ἀ-πόνητος -ον: without toil, without trouble 1
ἀπο-στέλλω: to send out or away, dispatch, 2
ἀ-σθενής, -ές: weak; sickly, ill 3
Ἀχαιμένης, -έος ὁ: Achaemenes, 7
βοηθέω: to come to aid, help, assist, (dat) 19
βούλευμα, -ατος, τό: plan, design, purpose, 2
δείδω: to fear, 12
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δι-έξ-οδος, ὁ: pathway, lane, route, 1
δίκαιος, -α, -ον: just, right, lawful, fair, 16
ἐνθάδε: here, hither, there, thither, 1
ἐξ-ηγέομαι: to lead out, explain, command, 6
ἐπί-κειμαι: to lie on or near, set to, 4
ἐπι-κρατέω: to rule over, overpower, 7
ἰσθμός, ὁ: isthmus, a narrow passage, 6
ἰσχυρός, -ά, -όν: strong, powerful; severe, 3
κατα-δουλόω: to reduce to slavery, enslave, 2
κατα-δύω: to go down (into), enter, 1
κέρδος, -εος, τό: profit, advantage, gain, 4
Κύθηρα, τά: Cythera (island), 1
Λάκαινα, ἡ: Laconian (fem. adj. **Λάκων**) 1
Λακωνικός, -ή, -όν: Laconian; *subs* Laconia 1
μέζων, -ον: better, greater, longer (**μείζων**) 4
οἰκήιος, -η, -ον: one's own; kin, 6
παρα-τυγχάνω: to happen to be near, 1
πάρ-οικος, -ον: bordering, dwelling beside, 1
Πελοποννήσιος, -η, -ον: Peloponnesian, 4
Πελοποννήσος, ὁ: Peloponnesus, 9
πρό-θυμος, -ον: eager, zealous; ready, 6
πρό-οιδα: to know in advance 1
προσ-δέκομαι: to receive; expect, await, 2
προσ-δοκάω: to expect, 4
προσ-χωρέω: to go to, approach, 2
σοφός, -ή, -όν: wise, skilled, 4
Σπαρτιήτης, ὁ: a Spartan, 19
στόλος, ὁ: expedition, armed voyage, 10
συμ-βουλεύω: advise, deliberate together, 16
συν-όμνυμι: to swear an oath together, 1
τριηκόσιοι, -αι, -α: three hundred, 3
ὑπερ-έχω: to rise above, be prominent, 3
φοβέω: to put to flight, terrify, frighten, 9
φράζω: to point out, tell, indicate, 16
Χίλων, ὁ: Chilon (male) 1

---

1 **εἰσὶ**: 3rd pl. pres. εἰμί
ὅμοιοι: *similar*; + dat.
3 **εἶπε**: 3rd sg. aor. εἶπον
τέῳ τρόπῳ: *in what way*; τέῳ → τίνῳ
ἀπονητότατα: *with the least trouble*; adv.
τῶν ἀνδρῶν τούτων: obj. of main verb
ἴθι: sg. imperative ἔρχομαι
8 **ἐξηγέ(σ)ο**: pres. mid. imperative ἐξηγέομαι
5 **ἔχεις**: *you possess*; i.e. you know
οἷα…γενόμενος: *since having been*; οἷα + pple (just as ὡς + pple) is causal in sense
6 **ὃ δ'**: *and he…;* i.e. Demaratus
7 **συμβουλεύε(σ)αι μοι**: *you deliberate with me*; 2nd sg. pres. mid.
προθύμως: *earnestly*; elsewhere 'eagerly'
δίκαιόν..ἐστι: it is right that…; + acc. + inf.
8 **εἰ…ἀποστείλειας**: (*it would be best) if you should send away*; aor. opt. ἀποστέλλω is a protasis in a future less vivid (εἰ opt., ἄν + opt.) with a missing apodosis
9 **ἐπ' αὐτῇ**: *near it*; i.e. near Laconia
10 **ἐπικειμένη**: *lying*; pres. mid. pple
τῇ: *whose…*; 'to whom' dat. possession
τὴν: *which…*; relative
11 **παρ' ἡμῖν**: *among us*
κέρδος μέζον…εἶναι: *that it is a greater gain to…*; neuter predicate
ἔφη: 3rd sg. aor. φημί
12 **κατὰ…θαλάσσης**: *below the sea*
καταδεδυκέναι: aor. inf. καταδύω, add Cythera as acc. subject
μᾶλλον ἤ: *rather than*
τοιοῦτο…οἷον: *such as…*; 'the sort that'
13 **ἔσεσθαι**: *will be*; fut. inf. εἰμί
14 **προειδώς**: nom. sg. aor. pple πρό-οιδα
16 **φοβεόντων**: *let them put to flight*; 3rd pl. pres. imperative φοβέω
παροίκου…οἰκηίου: gen. absolute
17 **οὐδὲν δεινοὶ**: *not at all fearful*
ἔσονται: 3rd pl. fut. εἰμί
μὴ…βοηθέωσι: *lest they send help*; fearing clause (μὴ + 3rd pl. subj)
18 **ταύτῃ**: *here*
19 **καταδουλωθείσης..**: gen. abs. (aor. pass)
20 **ἢν…ποιῇς**: *if you do not do*; pres. subj.
21 **προσδόκα**: sg. imperative προσδοκάω
22 **συνομοσάντων**: gen. abs., aor. συνόμνυμι
23 **ἐπὶ σοὶ**: *against you*
24 **προσδέκε(σ)ο**: *you accept*; 2nd sg. pres.
27 **παρατυχών**: nom. sg. aor. pple + dat.

μὴ ἀναγνωσθῇ Ξέρξης ποιέειν ταῦτα, ‘Ὦ βασιλεῦ, ὁρῶ σε 1
ἀνδρὸς ἐνδεκόμενον λόγους ὃς φθονέει τοι εὖ πρήσσοντι ἢ
καὶ προδιδοῖ πρήγματα τὰ σά. καὶ γὰρ δὴ καὶ τρόποισι
τοιούτοισι χρεώμενοι Ἕλληνες χαίρουσι· τοῦ τε εὐτυχέειν
2 φθονέουσι καὶ τὸ κρέσσον στυγέουσι. εἰ δ’ ἐπὶ τῇσι παρ- 5
εούσῃσι τύχῃσι, τῶν νέες νεναυηγήκασι τετρακόσιαι, ἄλλας
ἐκ τοῦ στρατοπέδου τριηκοσίας ἀποπέμψεις περιπλέειν Πελο-
πόννησον, ἀξιόμαχοί τοι γίνονται οἱ ἀντίπαλοι· ἁλὴς δὲ
ἐὼν ὁ ναυτικὸς στρατὸς δυσμεταχείριστός τε αὐτοῖσι γίνεται,
καὶ ἀρχὴν οὐκ ἀξιόμαχοί τοι ἔσονται, καὶ πᾶς ὁ ναυτικὸς τῷ 10
πεζῷ ἀρήξει καὶ ὁ πεζὸς τῷ ναυτικῷ ὁμοῦ πορευόμενος· εἰ
δὲ διασπάσεις, οὔτε σὺ ἔσεαι ἐκείνοισι χρήσιμος οὔτε ἐκεῖνοι
3 σοί. τὰ σεωτοῦ δὲ τιθέμενον εὖ γνώμην ἔχω τὰ τῶν ἀντι-
πολέμων μὴ ἐπιλέγεσθαι πρήγματα, τῇ τε στήσονται τὸν
πόλεμον τά τε ποιήσουσι ὅσοι τε πλῆθος εἰσί. ἱκανοὶ γὰρ 15
ἐκεῖνοί γε αὐτοὶ ἑωυτῶν πέρι φροντίζειν εἰσί, ἡμεῖς δὲ
ἡμέων ὡσαύτως. Λακεδαιμόνιοι δὲ ἢν ἴωσι ἀντία Πέρσῃσι
237 ἐς μάχην, οὐδὲν τὸ παρεὸν τρῶμα ἀκεῦνται.’ ἀμείβεται
Ξέρξης τοῖσιδε. ‘Ἀχαίμενες, εὖ τε μοι δοκέεις λέγειν καὶ
ποιήσω ταῦτα. Δημάρητος δὲ λέγει μὲν τὰ ἄριστα ἔλπεται 20
2 εἶναι ἐμοί, γνώμῃ μέντοι ἐσσοῦται ὑπὸ σεῦ. οὐ γὰρ δὴ
κεῖνό γε ἐνδέξομαι ὅκως οὐκ εὐνοέει τοῖσι ἐμοῖσι πρήγμασι,
τοῖσί τε λεγομένοισι πρότερον ἐκ τούτου σταθμώμενος καὶ
τῷ ἐόντι, ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει
καὶ ἔστι δυσμενὴς τῇ σιγῇ, οὐδ’ ἂν συμβουλευομένου τοῦ 25
ἀστοῦ πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο,

ἀκέομαι: to heal, cure; repair, 1
ἁλής, -ές: all together, all at once, 13
ἀμείβομαι: *mid*. answer; exchange, change, 17
ἀνα-γιγνώσκω: persuade, recognize; read 3
ἀντί-παλος, ὁ: adversary; rival wrestler, 1
ἀντι-πολέμοι, οἱ: adversaries, enemies, 1
ἀξιό-μαχος, -η, -ον: worthy in war; match, 5
ἀρήγω: to help, aid; ward off, 1
ἀστός, ὁ: townsman, country-man, 5
Ἀχαιμένης, -έος ὁ: Achaemenes, 7
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δια-σπάω: to tear asunder, pull apart, 2
δυσ-μενής, -ές: bearing ill-will; *sub*. enemy, 1
δυσ-μετα-χείρωτος, -ον: hard to subdue, 1
ἔλπομαι: to expect, hope, suppose, 2
ἐν-δέκομαι: to receive, admit, consent to, 5
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐσσόομαι: be weaker/inferior (**ἡσσάομαι**) 11
εὐ-νοέω: to be well-disposed, favorable, 1
εὐ-τυχέω: prosper, be well off, successful, 4
ἱκανός, -ή, -όν: enough, sufficient; capable, 4
ἵστημι: to make stand; set up, stop, 18
κρέσσων, -ον:, stronger, better superior, 3
μέντοι: however, nevertheless; certainly, 13
ναυαγέω: to suffer shipwreck, 1
ὁμοῦ: at the same place, together, 18
Πελοποννήσος, ὁ: Peloponnesus, 9
περι-πλέω: to sail around, 2
πολίητης, ὁ: citizen, fellow-countryman, 6
πρήσσω: to do, accomplish, make, act, 10
προ-δίδωμι: to betray; give up, 4
σεωυτοῦ, -ῆς, -οῦ: yourself, 6
σιγή, ἡ: silence, 1
σταθμάομαι: to judge, estimate, conclude, 1
στρατόπεδον, τό: camp, encampment, 10
στυγέω: to hate, loathe, 1
συμ-βουλεύω: advise, deliberate together, 16
τετρακόσιοι, -αι, -α: four hundred, 10
τριηκόσιοι, -αι, -α: three hundred, 3
τρῶμα, τό: wound; disaster, (Att. τραῦμα) 3
τύχη, ἡ: chance, luck, fortune, success, 6
ὑπο-τίθημι: to place under, propose, suggest, 5
φθονέω: to be jealous, begrudge (dat); refuse 4
φροντίζω: to think, worry, give heed to, 4
χαίρω: to rejoice, be glad; fare well, 2
χρήσιμος, -η, -ον: useful, serviceable; fit 3
ὡσ-αύτως: in the same manner, just so, 3

---

1 **μὴ ἀναγνωσθῇ**: *lest…be persuaded*; fearing clause; 3rd sg. aor. pass. subj. ἀναγινώσκω
ὁρῶ: ὁράω
2 **ἐνδεκόμενον λόγους**: *receiving the words*
ὃς: *who…*; relative
πρήσσοντι: dat. sg. pres. pple πρήσσω
ἢ: *or*
πρήγματα τὰ σά: *your power*
4 **χρεώμενοι…χαίρουσι**: *enjoy employing*; dat
τοῦ…εὐτυχεειν: *being successful*; articular inf., object of φθονέουσι
5 **τὸ κρέσσον**: acc. direct object
ἐπὶ: *in the case of present misfortunes*
6 **τῶν**: *of which*; partitive gen.
7 **ἀποπέμψεις**: 2nd sg. fut.
ἐὼν: nom. sg. pres. pple εἰμί
9 **δυσμεταχείριστός**: superlative adjective
10 **ἀρχὴν**: *originally*; adverbial acc.
ἔσονται: fut. εἰμί
τῷ πεζῷ: object of fut. ἀρήγω 'help'
11 **ὁ πεζὸς**: add ἀρήξει
12 **εἰ δὲ διασπάσεις…ἔσε(σ)αι**: future more vivid condition (fut., fut.); 2nd sg. fut. εἰμί
13 **τὰ σεωτοῦ..τιθέμενον εὖ…μὴ ἐπιλέγεσθαι**: *that (you) arranging your own affairs well not regard*; supply acc. subject of the inf.
γνώμην ἔχω: *I have the opinion*
14 **τῇ…τά…ὅσοι**: *where…what…how many…*; in apposition to πρήγματα
στήσονται: 3rd pl. fut. ἵστημι
16 **ἑωυτῶν πέρι**: *concerning themselves*
φροντίζειν: *to consider*; epexegetical inf. (explanatory inf.) with ἱκανοὶ
17 **ἢν ἴωσι**: *if…*; 3rd pl. pres. subj. ἔρχομαι in a future more vivid (ἐὰν + subj., fut.)
18 **παρεὸν**: *present*; neut. pple πάρ-ειμι
ἀκεῦνται: *they will heal*; fut. ἀκέομαι
τοῖσιδε: *with these (words)*
19 **εὖ**: *well*; adv. modifies λέγειν
20 **τὰ…ἔλπεται**: *(things) which he expects*; relative pronoun with missing antecedent
21 **γνώμῃ**: *in his opinion*; dat. of respect
ἐσσοῦται: 3rd sg. pres. ἐσσόομαι, the subject is Demaratus
22 **κεῖνό…ὅκως**: *that…(namely) that…*; κεῖνό is neut. acc. direct object of fut. ἐνδέκομαι
23 **ἐκ τούτου**: *from this one*; i.e. Demaratus
24 **τῷ ἐόντι**: *and by (being) the fact that..*;
25 **ἂν…ὑποθέοιτο**: *would propose*; potential aor. opt. in a future less vivid condition

εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι· σπάνιοι δὲ εἰσὶ οἱ τοιοῦτοι· ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντι ἐστὶ εὐμενέστατον πάντων, συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα. οὕτω ὦν κακολογίης τῆς ἐς Δημάρητον, ἐόντος ἐμοὶ ξείνου,
238 ἔχεσθαι τινὰ τοῦ λοιποῦ κελεύω. ‘ταῦτα εἴπας Ξέρξης διεξήιε διὰ τῶν νεκρῶν, καὶ Λεωνίδεω, ἀκηκοὼς ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, ἐκέλευσε ἀποταμόντας τὴν κεφαλὴν ἀνασταυρῶσαι. δῆλά μοι πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι, ἐν δὲ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βασιλεὺς Ξέρξης πάντων δὴ μάλιστα ἀνδρῶν ἐθυμώθη ζῶντι Λεωνίδῃ· οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα παρενόμησε, ἐπεὶ τιμᾶν μάλιστα νομίζουσι τῶν ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ πολέμια. οἳ μὲν δὴ ταῦτα
239 ἐποίευν, τοῖσι ἐπετέτακτο ποιέειν. ἄνειμι δὲ ἐκεῖσε τοῦ λόγου τῇ μοι [τὸ] πρότερον ἐξέλιπε. ἐπύθοντο Λακεδαιμόνιοι ὅτι βασιλεὺς στέλλοιτο ἐπὶ τὴν Ἑλλάδα πρῶτοι, καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν, ἔνθα δή σφι ἐχρήσθη τὰ ὀλίγῳ πρότερον εἶπον· ἐπύθοντο δὲ τρόπῳ θωμασίῳ. Δημάρητος γὰρ ὁ Ἀρίστωνος φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω καὶ τὸ οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι, πάρεστι δὲ εἰκάζειν εἴτε εὐνοίῃ ταῦτα ἐποίησε εἴτε καὶ καταχαίρων. ἐπείτε γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι ὁ Δημάρητος καὶ πυθόμενος ταῦτα ἠθέλησε Λακεδαιμονίοισι ἐξαγγεῖλαι. ἄλλως μὲν δὴ οὐκ εἶχε σημῆναι· ἐπικίνδυνον γὰρ ἦν μὴ λαμφθείη· ὁ δὲ μηχανᾶται τοιάδε· δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτα ἐν τῷ

ἄλλως: otherwise, in another way, 9
ἀνα-σταυρόω: to impale, 2
ἀν-έρχομαι: to go back, return; go up, 1
ἀν-ήκω: to have come up, have reached, 7
ἀπο-τάμνω: to cut off, sever, 3
ἀρετή, ἡ: excellence, goodness, virtue, 15
Ἀρίστων, -ωνος, ὁ: Ariston, 4
δελτίον, τό: tablet, wooden tablet, 3
Δελφοί, οἱ: Delphi (town) 12
δῆλος, -η, -ον: clear, evident, conspicuous, 6
Δημάρτος, Δημαρήτου, ὁ: Demaratus, 14
δι-εξ-έρχομαι: to go through; recount, 10
δίπτυχος, -ον: two-folded, 1
εἰκάζω: to guess, make like, 7
εἴτε: either...or; whether...or, 14
ἐκεῖ-σε: to there, to that place, 1
ἐκ-κνάω: to scrape off, scrape from, 2
ἐκ-λείπω: to leave out, omit, pass over, 10
ἔνθα: where; there, then, 9
ἐξ-αγγέλλω: to send out, 4
ἔπειτα: thereupon, then, 8
ἐπι-κίνδυνος, -ον: in danger, risk, 1
ἐπι-τάσσω: arrange (behind), order, enjoin, 4
εὖ: well, 20
εὐ-μενής, -ές: well-disposed, kindly, 1
εὔ-νοιη, ἡ: good-will, kindness, favor, 2
εὔνοος, -ή, -όν: well-disposed, well-minded, 2
ζώω: to live, (Att. **ζάω**) 9
ἥκιστος, -η, -ον: least; not at all, 2
θυμόω: to make angry or impassioned, 4
θωμάσιος, -α, -ον: strange, marvelous, 1
κακο-λογίη, ἡ: maligning, speaking pooring, 1
κατα-χαίρω: to exult over (in spite), 1
κηρός, ὁ: wax, 3
λαμβάνω: to take, receive, catch, grasp, 26
Λεωνίδης, ὁ: Leonidas, 20
λοιπός, -ή, -όν: remaining, the rest, 15
Μῆδος, ὁ: Mede, Median, 13
μηχανάομαι: to contrive, devise well, 8
νεκρός, ὁ: corpse, dead body, 6
νομίζω: believe, consider; be accustomed, 16
ξεῖνος, ὁ: guest-friend, foreigner, stranger, 9
παρα-νομέω: to act unlawfully, transgress, 1
πολέμιος, -η, -ον: hostile, of the enemy, 21
πρήσσω: to do, accomplish, make, act, 10
πρόσω: forwards, further, far, 15
σημαίνω: to show, indicate, declare, 9
Σοῦσα, τά: Susa, 8
σπάνιος, -η, -ον: scarce, rare, seldom, 2
στέλλω: to equip, make ready, send, 9
στρατ-ηλατέω: to lead an army, command, 8
συμ-βουλεύω: advise, deliberate together, 16
συμ-μάχομαι: fight together with, be an ally, 1
τεκμήριον, τό: sign, indication, proof, 2
τιμάω: to honour, value, esteem, 19
φεύγω: to flee, escape; 18

---

1 **εἰ μὴ**: *unless he should advance*; pres. opt. ἀνήκω, protasis in a future less vivid;
πρόσω: *further in*; + partitive gen.
εὐμενέστατον: *most kindly*; superlative adv. used as a predicate adjective
3 **συμβουλευομένου**: *(if) consulting*; gen. abs.
ἂν συμβουλεύσειε: *would consult*; pot. opt.
4 **κακολογίης**: *from…*; gen. of separation
ἐόντος…ξείνου: *(since) he is a guest-friend to me*; the gen. abs. is causal in sense
5 **ἔχεσθαι τινὰ**: *that anyone refrain*; + gen.
τοῦ λοιποῦ (χρόνου): *in the future*; 'during the remaining (time)' gen. time within
5 **εἴπας**: 1st aorist nom. sg. εἶπον
6 **διεξῄιε**: *passed through*; impf. διεξέρχομαι
ἀκηκοὼς: nom. sg. aor. pple ἀκούω
7 **ἐκέλευσε**: *ordered (his soldiers)*
ἀποταμόντας: aor. pple ἀποτάμνω
8 **ἀνασταυρῶσαι**: aor. inf., soldiers are subj.
δῆλά μοι: *(it is) clear to me…*
πολλοῖσι…τεκμηρίοισι: *by…*; dat. means
9 **ἐν δὲ…γέγονε**: *and in this (situation) it not the least happened that…*; parenthetical
10 **ἐθυμώθη**: 3rd sg. aor. pass θυμόω + dat.
θῶντι: *(while) being alive*; pres. pple
11 **ἄν…ταῦτα παρενόμησε**: *would have done these things unlawfully*; ἄν + aor. ind. expresses past (unreal) potential
τιμᾶν: τιμάειν, inf. τιμάω
12 **τῶν…ἀνθρώπων**: *among people whom…*; relative attracted into gen. of antecedent
13 **τὰ πολέμια**: *in matters of war*; acc. respect
οἳ μὲν…τοῖσι: *those whom…*
14 **ἐπετέτακτο**: 3rd sg. plpf. mid. ἐπιτάσσω
ἄνειμι: *I will proceed*; fut. ἀνέρχομαι
15 **τῇ…ἐξέλιπε**: *where it left off*
16 **στέλλοιτο**: opt., ind. disc., secondary seq.
18 **ἐχρήσθη**: aor. pass. χράω 'proclaim'
τὸ οἰκὸς: *what is reasonable is an ally*
εὐνοίῃ: *with good will*; dat. of cause
25 **εἶχε**: *he was not able*; impf. ἔχω + aor. inf.
26 **μὴ**: *lest he be…*; fearing, aor. pass. opt.

ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέος γνώμην, ποιήσας δὲ ταῦτα ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. ἐπεὶ δὲ καὶ ἀπίκετο ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ Γοργὼ ὑπέθετο ἐπιφρασθεῖσα αὐτή, τὸν κηρὸν ἐκκνᾶν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. πειθόμενοι δὲ εὗρον καὶ ἐπελέξαντο, ἔπειτα δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν. ταῦτα μὲν δὴ οὕτω λέγεται γενέσθαι.

Γοργώ, ἡ: Gorgo (wife of Leonidas), 1
γράμμα, τό: piece of writing, letter, 4
γράφω: to write, 3
δελτίον, τό: tablet, wooden tablet, 3
ἐκ-κνάω: to scrape off, scrape from, 2
ἔπειτα: thereupon, then, 8
ἐπι-λέγω: to say, think over; read, choose, 13
ἐπι-στέλλω: to send to, send a message, 2
ἐπι-τήκω: to melt upon, pour over, 1
ἐπι-φράζω: to tell, indicate besides; devise, 5
εὑρίσκω: to find, discover, devise, invent, 19
θυγάτηρ, ἡ: a daughter, 14
κηρός, ὁ: wax, 3
Κλεομένης, -εος, ὁ: Cleomenes, 4
Λακεδαίμων, -ονος, ἡ: Lacedaemon, 6
μηδ-είς, μηδ-εμίη, μηδ-έν: no one, nothing, 14
ξύλον, τό: wood, 11
ὁδο-φύλαξ, -κος, ὁ: road-guard, sentinel, 1
πρίν: until, before, 10
συμ-βάλλω: contribute; guess, join battle, 11
ὑπο-τίθημι: to place under, propose, suggest, 5

---

2 **ἐπὶ**: *over, on top of*; acc. place to which
ἵνα: *so that…*; purpose
3 **μηδὲν πρῆγμα παρέχοι**: *he might bring* (acc) *no trouble*; governs a double acc.; opt. is a purpose clause, secondary sequence
πρὸς: *from…*; gen of source like gen. agent
6 **ἀπίκετο**: aor. ἀπικνέομαι
εἶχον: *were able*; impf. ἔχω + inf.
7 **πρίν**: *until*
υπέθετο: 3rd sg. aor. mid. ὑποτίθημι
ἐπιφρασθεῖσα: fem. nom. sg. aor. pass. deponent pple ἐπιφράζω
ἐκκνᾶν: εκκνάειν, pres. inf.
8 **κελεύουσα** *bidding (them)*
εὑρήσειν σφέας: that they…; indirect disc. (acc. subj. + fut. inf.) governed by ὑπέθετο
εὗρον: aor. εὑρίσκω
9 **ἐπελέξαντο**: i.e. read over
10 **ἐπέστειλαν**: 3rd pl. 1st aorist ἐπιστέλλω
λέγεται: *are said*; neuter pl. subject

λύω, λύσω, ἔλυσα, λέλυκα, λέλυμαι, ἐλύθην: loosen, ransom

	PRESENT		FUTURE		
	Active	Middle/Pass.	Active	Middle	Passive
Primary Indiative	λύω λύεις λύει λύομεν λύετε λύουσι(ν)	λύομαι λύε(σ)αι λύεται λυόμεθα λύεσθε λύονται	λύσω λύσεις λύσει λύσομεν λύσετε λύσουσι(ν)	λύσομαι λύσε(σ)αι λύσεται λυσόμεθα λύσεσθε λύσονται	λυθήσομαι λυθήσε(σ)αι λυθήσεται λυθησόμεθα λυθήσεσθε λυθήσονται
Secondary Indicative	ἔλυον ἔλυες ἔλυε(ν) ἐλύομεν ἐλύετε ἔλυον	ἐλυόμην ἐλύε(σ)ο ἐλύετο ἐλυόμεθα ἐλύεσθε ἐλύοντο			
Subjunctive	λύω λύῃς λύῃ λύωμεν λύητε λύωσι(ν)	λύωμαι λύῃ λύηται λυώμεθα λύησθε λύωνται			
Optative	λύοιμι λύοις λύοι λύοιμεν λύοιτε λύοιεν	λυοίμην λύοιο λύοιτο λυοίμεθα λύοισθε λύοιντο	λύσοιμι λύσοις λύσοι λύσοιμεν λύσοιτε λύσοιεν	λυσοίμην λύσοιο λύσοιτο λυσοίμεθα λύσοισθε λύσοιντο	λυθησοίμην λυθήσοιο λυθήσοιτο λυθησοίμεθα λυθήσοισθε λυθήσοιντο
Imp	λῦε λύετε	λύε(σ)ο λύεσθε			
Pple	λύων, λύουσα, λύον	λυόμενος, λυομένη, λυόμενον	λύσων, λύσουσα, λύσον	λυσόμενος, λυσομένη, λυσόμενον	λυθησόμενος, λυθησομένη, λυθησόμενον
Inf.	λύειν	λύεσθαι	λύσειν	λύσεσθαι	λυθήσεσθαι

2nd sg. mid/pass -σ is often dropped except in pf. and plpf. tenses: ε(σ)αι → ῃ,ει ε(σ)ο → ου

AORIST			PERFECT		
Active	Middle	Passive	Middle	Passive	
			λέλυκα λέλυκας λέλυκε λελύκαμεν λέλύκατε λελύκασι(ν)	λέλυμαι λέλυσαι λέλυται λελύμεθα λελύσθε λελύνται	**Primary Indiative**
ἔλυσα ἔλυσας ἔλυε(ν) ἐλύσαμεν ἐλύσατε ἔλυσαν	ἐλυσάμην ἐλύσα(σ)ο ἐλύσατο ἐλυσάμεθα ἐλύσασθε ἐλύσαντο	ἐλύθην ἐλύθης ἐλύθη ἐλύθημεν ἐλύθητε ἐλύθησαν	ἐλελύκη ἐλελύκης ἐλελύκει ἐλελύκεμεν ἐλελύκετε ἐλελύκεσαν	ἐλελύμην ἐλέλυσο ἐλέλυτο ἐλελύμεθα ἐλελύσθε ἐλέλυντο	**Secondary Indiative**
λύσω λύσῃς λύῃ λύσῃ λύσωμεν λύσωσι(ν)	λυσώμαι λύσῃ λύσηται λυσώμεθα λύσησθε λύσωνται	λυθῶ λυθῇς λυθῇ λυθῶμεν λυθῆτε λυθῶσι(ν)	λελύκω λελύκῃς λελύκῃ λελύκωμεν λελύκητε λελύκωσι(ν)	λελυμένος ὦ —— ᾖς —— ᾖ —— ὦμεν —— ἦτε —— ὦσιν	**Subjunctive**
λύσαιμι λύσαις λύσαι λύσαιμεν λύσαιτε λύσαιεν	λυσαίμην λύσαιο λύσαιτο λυσαίμεθα λύσαισθε λύσαιντο	λυθείην λυθείης λυθείη λυθεῖμεν λυθεῖτε λυθεῖεν	λελύκοιμι λελύκοις λελύκοι λελύκοιμεν λελύκοιτε λελύκοιεν	λελυμένος εἴην —— εἴης —— εἴη —— εἴημεν —— εἴητε —— εἴησαν	**Optative**
λῦσον λύσατε	λῦσαι λύσασθε	λύθητι λύθητε		λέλυσο λέλυσθε	**Imp**
λύσᾱς, λύσᾱσα, λῦσαν	λυσάμενος, λυσαμένη, λυσάμενον	λύθείς, λυθεῖσα, λυθέν	λελυκώς, λελυκυῖα, λελυκός	λελυμένος, λελυμένη, λελυμένον	**Pple**
λῦσαι	λύσασθαι	λυθῆναι	λελυκέναι	λελύσθαι	**Inf.**

Adapted from a handout by Dr. Helma Dik (http://classics.uchicago.edu/faculty/dik/niftygreek)

Alphabetized Core Vocabulary List

This is an alphabetized list of the running core vocabulary (words occurring 20 or more times) found at the beginning of this commentary. To use this book properly, readers should review and master the running core vocabulary as they read. If you encounter a word in the text that is not found in the facing vocabulary, it is most likely in the running vocabulary and alphabetized list below. Digital flashcards are available online.

The number of occurrences of each word in Herodotus' *Histories Book 7* was tabulated with the help of vocabulary tools in the Perseus Digital Library (perseus.tufts.edu).

ἀγαθός, -ή, -όν: good, brave, noble
ἄγγελος, ὁ: messenger, envoy
ἀγγέλλω, ἀγγελῶ, , ἤγγειλα: to announce, proclaim, report
ἄγω, ἄξω, ἤγαγον, ἦχα, ἦγμαι, ἤχθην: to lead, to bring, to carry, convey
Ἀθηναῖος, -α, -ον: Athenian, of Athens
Αἴγυπτος, ὁ: Egypt
αἴτιος, -α, -ον: responsible, blameworthy
αἰχμή, ἡ: spear(point); war, battle
ἀκούω, ἀκούσομαι, ἤκουσα, ἀκήκοα, —, ἠκούσθην: to hear, listen to
ἄκρη, ἡ: promontory (on the sea), headland
ἄκρος, -η, -ον: topmost, excellent
ἁλίσκομαι, ἁλώσομαι, ἑάλων, ἑάλωκα, —, —: to be taken, be caught
ἀλλά: but
ἄλλος, -η, -ο: other, one...another
ἅμα: at the same time; along with (+ dat.)
ἀμφότερος, -η, -ον: each of two, both
ἄν: modal adv.
ἀνά: up, upon (dat.); up to, on to (acc.)
ἀναγκαίη, ἡ: necessity, force, (Ion ἀναγκή)
ἀναγκαῖος, -η, -ον: necessary, inevitable
ἀνάγκη, ἡ: necessity, force, constraint
ἀνήρ, ἀνδρός, ὁ: a man; husband
ἄνεμος, -ου, ὁ: wind
ἄνευ: without (+ gen.)
ἄνθρωπος, ὁ: human being, human, man
ἀν-ίημι, -ήσω, -ηκα, -εικα, -ειμαι, -είθην: to send up, let go, give up
ἀντί: instead of, in place of (+ gen.)
ἀντίος, -η, -ον: opposite; ἀντίον in reply
ἄνω: up, above, 32
ἄξιος, -η, -ον: worthy of, deserving of
ἀπ-αλλάσσω: set free, release; *mid*. depart
ἀπ-ικνέομαι, ἀπίξομαι, ἀπικόμην, —, ἀπῖγμαι, —: to come, arrive
ἀπό: from, away from. (+ gen.)
ἀπο-δείκνυμι, -δέξω, -έδεξα, -δέδεχα, -δέδεγμαι, -εδέχθην: show, indicate, declare
ἀπο-θνήσκω: to die off, perish
ἀπ-όλλυμι, -ὀλῶ, -ώλεσα, -ολώλεκα, —, —: to lose, destroy, kill, ruin
ἀπο-πέμπω, -πέμψω, -έπεμψα, πέπομφα, πέπεμμαι, επέμφθην: send away, dismiss

ἄρα: then, after all, as it turned out
ἄριστος, -η, -ον: best, most excellent
ἅρμα, -ατος, τό: a chariot
Ἀρταβανος, ὁ: Artabanus
ἀρχή, ἡ: a beginning; rule, office
ἄρχω: to begin; to rule, be leader of
αὐτός, -ή, -ό: -self; he, she, it; the same

βάρβαρος, ὁ: foreigner, a non-Greek
βασιλεύς, ὁ: a king, chief
βασιληίη, -ης, ἡ: a kingship, rule
βασίληιον, τό: palace
βασίληιος, -ον: royal, kingly
βίος, ὁ: life
βούλομαι, βουλήσομαι, —, —, βεβούλημαι, ἐβουλήθην: to wish, be willing, desire

γάρ: for, since
γε: at least, at any rate; indeed
γῆ, ἡ: earth
γίνομαι, γενήσομαι, ἐγένομην, γέγονα, γεγένημαι, —: come to be, become; happen
γνώμη, ἡ: opinion, intention, purpose
γυνή, γυναικός, ἡ: a woman, wife

Δαρεῖος, -ου, ὁ: Darius
δέ: but, and, on the other hand
δέκα: ten
δεῖ: it is necessary, must, ought (+ inf.)
δεινός, -ή, -όν: terrible; wondrous, clever
δεξιός, -ή, -όν: on the right hand or side
δεύτερος, -η, -ον: second, next
δή: indeed, surely, really, certainly, just
διά: through (gen.) on account of (acc.)
δια-βαίνω: to walk across, cross
δίδωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην: to give, offer, grant, provide
διό: δι᾽ ὅ, on which account
δοκέω, δόξω, ἔδοξα, δεδόκηκα, δέδογμαι, ἐδοκήθην: to seem (good); think, imagine
δοῦλος, ὁ: a slave; *adj*. slavish
δύο: two

ἐάν: εἰ ἄν, see **ἢν** below
ἐάω, ἐάσω, εἴασα, εἴακα, εἴαμαι, εἰάθην: to allow, permit, let be, suffer
ἐγώ: I
ἐθέλω (θέλω), ἐθελήσω, ἠθέλησα, ἠθέληκα, —, —: to be willing, wish, desire
ἔθνος, -εος, τό: race, people, tribe
εἰ: if, whether
εἶδον: saw, beheld (aor. of ὁράω)
εἴκοσι: twenty
εἰμί, ἔσομαι: to be, exist

εἶπον: said, spoke (aor. of λέγω)
εἰρέω (fut.), **εἶπον, εἴρηκα, ἔρημαι, ἐρρήθην**: will say (pres. often **λέγω, φημί**)
εἴρομαι, εἰρήσομαι, ἠρόμην: to ask, enquire, question (Att. **ἔρομαι**)
εἷς, μία, ἕν: one, single, alone
ἐκ, ἐξ: out of, from (+ gen.)
ἕκαστος, -η, -ον: each, every one
ἐκεῖνος, -η, -ον: that, those
ἐλάσσων, -ον: smaller, fewer
ἐλαύνω, ἐλῶ, ἤλασα, ἐλήλακα, ἐλήλαμαι, ἠλάθην: to march, drive, set in motion
Ἑλλάς, -άδος, ἡ : Hellas, Greece
Ἕλλην, Ἕλληνος, ὁ: a Greek
ἐμός, -ή, -όν: my, mine
εὖ: well, 22
ἐν: in, on, among. (+ dat.)
ἐνθαῦτα: here, hither, there, thither, then
ἔξ-εστι: it is allowed, permitted; is possible
ἐξ-ίημι, -ήσω, -ηκα, -εικα, -ειμαι, -είθην: to send out, let out
ἔξω: out of (+ gen.); adv. outside
ἐπεί (**ἐπείτε**): when, after, since, because
ἔπ-ειμι, -έσομαι:: to be upon, be set upon
ἐπεί-τε: see **ἐπεί**
ἐπ-έρχομαι, ἐλεύσομαι, -ῆλθον, -ελήλυθα, –, –: come upon, approach, attack
ἐπί: near, at (gen), to (acc), upon (dat)
ἐπίσταμαι: to know (how), understand
ἐπ-ίστημι, -στήσω, -έστησα, -έστηκα, -έσταμαι, -εστάθην: to set near, set against
ἐπι-χώριος, -η, -ον: local, native
ἔπος, -εος, τό: a word
ἑπτά: seven
ἔρχομαι, ἐλεύσομαι, ἦλθον, ἐλήλυθα, –, –: to come or go
ἐς: into, to, in regard to (acc.)
ἕτερος, -η, -ον: one (of two), other
ἔτι: still, besides, further
ἔτος, -εως, τό: a year
ἔχω, ἕξω, ἔσχον, ἔσχηκα, ἔσχημαι, –: to have, hold; be able; be disposed
ἑωυτοῦ, -ῆς, -οῦ: himself, her-, it-, **ἑαυτοῦ**

Ζεύς, ὁ: Zeus (gen. Διός, Ζηνός, dat. Διΐ, acc. Δία)

ἤ: or (either...or); than
ἤδη: already, now, at this time
ἥλιος, ὁ: the sun
ἡμέρη, ἡ: day
ἢν (**ἐάν**): εἰ ἄν, if (ever) (+ subj.)
ἤπειρος, ἡ: mainland, land

θάλασσα, ἡ: sea
θεῖος, -η, -ον: from god, divine
θεός, ὁ: a god, divinity

θηέομαι, θεήσομαι, ἐθηησάμην: to see, watch, look at; consider (Att. **θεάομαι**)
θυμός, ὁ: desire, heart; soul, life
θύω: to sacrifice

ἵνα: in order that (+ subj.); where (+ ind.)
ἵππος, ὁ: a horse
ἱρός, -ή, -όν: holy, divine; temple (**ἱερός**)

καί: and, also, even, too
κακός, -ή, -όν: bad, base, cowardly, evil
καλέω, καλέω, ἐκάλεσα, κέκληκα, κέκλημαι, ἐκλήθην: to call, summon, invite
καλός, -ή, -όν: beautiful, fair, noble, fine
κατά: down from (gen) or along (acc)
κατ-ίημι: to send down, let go down
κελεύω, -σω, ἐκέλευσα, κεκέλευκα, κεκέλευσμαι, ἐκελεύσθην: to bid, order, command
κεφαλή, ἡ: the head
κοτέ: ever, at some time, once
κτάομαι: to procure, get, gain, acquire
κού: anywhere, somewhere; I suppose
κω: yet, up to this time

Λακεδαίμόνιος, -η, -ον: Lacedaemonian
λαμβάνω, λήψομαι, ἔλαβον, εἴληφα, εἴλημμαι, ἐλήφθην: take, receive, catch, grasp
λέγω, λέξω, ἔλεξα, εἴλοχα, λέλεγμαι, ἐλέχθην: to say, speak (fut. often **εἰρέω**)
λείπω: to leave, forsake, abandon
λόγος, ὁ: word, speech, account

μάλα: very, very much, exceedingly
μάλιστα: most of all; certainly, especially
μᾶλλον: more, rather
μάχη, ἡ: battle, fight, combat
μάχομαι, μαχέομαι, ἐμαχεσάμην, —, μεμάχημαι, —: to fight, contend, dispute
μεγάλως: greatly, exceedingly, very much
μέγας, μεγάλη, μέγα: big, large important
μέλλω, μελλήσω, ἐμέλλησα: to be about to, to intend to
μέν: on the one hand
μένω: to stay, remain
μέσος, - η, -ον: middle, in the middle of
μετά: with (+ gen.); after (+ acc.)
μή: not, lest
μιν: himself, her-, it-, one-; (3rd person pronoun, acc. sg. **αὐτόν**)
μοῦνος, -η, -ον: alone, only, solitary
μυριάς, άδος, ἡ: ten-thousand, countless
μυρίος, -η, -ον: countless, endless, infinite

ναυτικός, ή, όν: naval; navy; *neut*. fleet
νῆσος, ἡ: an island
νῆυς, νεός, ἡ: a ship, boat, (**νηῖ, νέα; νέες**)
νόμος, ὁ: law, custom

νῦν: now; as it is

Ξέρξης, ὁ: Xerxes

ὅδε, ἥδε, τόδε: this, this here
ὁδός, ἡ: road, way, path, journey
οἶδα: to know (pf. with present sense)
οἶκα: to seem likely; it seems, (Att. **ἔοικά**)
οἰκέω, οἰκήσω, ᾤκησα, ᾤκηκα, ᾤκημαι, ᾠκήθην: to inhabit, dwell, live
οἶκος, ὁ: a house, abode, dwelling
οἰκός, -ότος: likely, reasonable (Att. **εἰκός**)
οἷος, -α, -ον: of what sort, as
ὅκως: how, in what way; in order that, that
ὀλίγος, -η, -ον: few, little, small
ὁμοῖος, -η, -ον: like, similar, resembling; *adv*. likewise
ὁμοιόω: to make like, assimilate; be like
ὅμως: nevertheless, however, yet
ὀνομάζω: to name, call by name
ὀπίσω: back(wards), again, hereafter
ὅπλον, τό: a tool, implement; arms
ὁράω, ὄψομαι, εἶδον, ἑώρακα, ὦμμαι, ὤφθην: to see, look, behold
ὁρμάω, ὁρμήσω, ὥρμησα, –, ὥρμημαι, ὡρμήθην: to set out, begin; set in motion
ὁρμέω: to lie at anchor
ὄρος, -εος, τό: a mountain, hill
ὅσος, -η, -ον: as much as, as many as
ὅτε: when
ὅτι: that; because
οὐ, οὐκ, οὐχ: not
οὐδαμός, -ή, -όν: no one; *adv*. in no way
οὐ-δέ: and not, but not, nor, not even
οὐδ-εἷς, οὐδε-μία, οὐδ-έν: no one, nothing
οὔνομα, -ατος τό: name (Att. **ὄνομα**)
οὔ-τε: and not, neither...nor
οὗτος, αὕτη, τοῦτο: this, these
οὕτως: in this way, thus, so
ὀφείλω: to owe, ought (+ inf.)

παῖς, παιδός, ὁ, ἡ: a child, boy, girl; slave
πάλαι: long ago, formerly, of old
πάλλω: to brandish, poise, shake
παρά: from, at, *or* to the side of
πάρ-ειμι, -έσομαι: to be near, be present
παρ-έχω, -έξω, -εσχον, -έσχηκα, -έσχημαι, –: to provide, furnish, grant
πᾶς, πᾶσα, πᾶν: every, all, the whole
παύω, παύσω, ἔπαυσα, πέπαυκα, πέπαυμαι, ἐπαυθην: to stop, make cease
πεδίον, τό: plain
πεζός, ή, όν: on foot, infantry
πείθω, πείσω, ἔπεισα, πέποιθα, πέπεισμαι, ἐπείσθην: to persuade, trust; *mid*. obey

πειράω: try, attempt; make trial of (gen.)
πέμπω, πέμψω, ἔπεμψα, πέπομφα, πέπεμμαι, ἐπέμφθην: to send; dismiss
περί: around; about, concerning
Πέρσης, -ου, ὁ: a Persian
πλέω, πλεύσομαι, ἔπλευσα, πέπλευκα, πέπλευσμαι, ἐπλεύσθην: to sail
πλέων, πλεῖν (πλέον): more, greater
πλῆθος, -εος, ἡ: crowd, multitude; size
πλήν: except, but (+ gen.)
ποιέω, -ήσω, ἐποίησα, πεποίηκα, πεποίημαι, ἐποιήθην: to do, make; *mid*. consider
πολεμέω, -ήσω: wage war, fight, (+ dat.)
πολέμιος, -α, -ον: hostile, of the enemy
πόλεμος, ὁ: war, battle, fight
πόλις, ἡ: a city
πολύς, πολλά, πολύ: much, many
πορεύομαι, πορεύσομαι, ἐπόρευσα: to travel, journey, march
ποταμός, ὁ: river, stream
πρῆγμα, τό: deed, act; affair, trouble
πρό: before, in front; in place of (+ gen.)
πρός: to (acc), near, in addition to (+ dat.)
πρόσ-ειμι: to be in addition
πρότερος, -α, -ον: former, earlier; before
πρῶτος, -η, -ον: first, earliest
πυνθάνομαι, πεύσομαι, ἐπυθόμην, –, πέπυσμαι, –: to learn by inquiry or hearsay

ῥέω, ῥυήσομαι, ἐρρύην, ἐρρύηκα, –, –: to flow, run, stream down

σκευή, ὁ: attire, equipment, gear
σός, -ή, -όν: your, yours
στάδιον, τό: a stade, (600 Greek feet)
στεινός, -ή, -όν: narrow
στρατεύω, στρατεύσω, ἐστράτευσα: march, wage war, campaign
στρατηγέω, -ήσω: wage war, campaign against
στρατηγός, ὁ: general, leader
στρατίη, ἡ: army, expedition, campaign
στρατός, τό: army, encamped army
σύ: you
σύμ-μαχος, -ον: allied; an ally
συμ-φορή, ἡ: event, accident, misfortune
σύν: along with, with, together (+ gen.)
σφεῖς: they

τάσσω, τάξω, ἔταξα, τέταχα, τέταγμαι, ἐτάχθην: arrange, put in order (**τάττω**)
τε: and, both
τεῖχος, -εος τό : wall, city-wall
τίθημι: to set, put, place, arrange
τις, τι: anyone, -thing; someone, -thing
τοι: ya know, let me tell you, surely
τοιόσδε, -άδε, -όνδε: such

τοιοῦτος, -αύτη, -οῦτο: such, of such a kind
τοσοῦτος, αύτη, οῦτο: so great/much/many
τότε: at that time, then
τρεῖς, τρία: three
τρόπος, ὁ: manner, way; turn
τυγχάνω, τεύξομαι, ἔτυχον, τετύχηκα, —, —: to chance to, get; meet; happen

ὑπό: by, because of (gen), under (dat)
ὕστερος, -α, -ον: after, later, next, last

φαίνω, φανῶ, ἔφηνα, πέφηνα, πέφασμαι, ἐφάνθην: to show; *mid*. appear, seem
φέρω, οἴσω, ἤνεγκον, ἐνήνοχα, ἐνήνεγμαι, ἠνέχθην: to bring, carry, bear
φημί, ἐρέω, εἶπον, εἴρηκα, εἴρημαι, ἐρρήθην: to say, claim, assert
φυλάσσω, -άξω, ἐφύλαξα, πεφύλαχα, πεφύλαγμαι, ἐφυλάχθην: keep watch, guard
φυλακή, ἡ: a watch, guard

χείρ, χειρός, ἡ: hand
χίλιοι, -αι, -α: a thousand
χράομαι, χρήσομαι, ἐχρησάμην, —, κέχρημαι, ἐχρήσθην: to use, employ (+ dat.)
χράω, χρήσω, ἔχρησα, —, κέχρημαι, ἐχρήσθην: declare or direct by oracle
χρή: it is necessary or fitting; must, ought
χρῆμα, -ατος, τό: money, goods
χρηστήριον, τό: an oracle
χρόνος, ὁ: time
χωρέω, χωρήσω, ἐχώρησα, κεχώρηκα, —, —: to go, come; have room for
χώρη, ἡ: land, region, area, place
χῶρος, ὁ: ground, place, land

ὦν: and so, then; at all events (Att. **οὖν**)
ὡς: as, thus, so, that; when, since